UNIVERSITY OF THE PACIFIC
LIBRARY
1851
STOCKTON, CALIFORNIA

WITHDRAWN

# ILIAS.

CUM PROLEGOMENIS, NOTIS CRITICIS, COMMENTARIIS EXEGETICIS

EDIDIT

J. VAN LEEUWEN J. F.

LITT. HUM. DR., IN ACADEMIA LUGDUNO-BATAVA PROF. ORD.

PARS ALTERA.

LIBRI XIII—XXIV.

LUGDUNI BATAVORUM

IN AEDIBUS SOCIETATIS CUI NOMEN:

A. W. SIJTHOFF's UITGEVERSMAATSCHAPPIJ.

MCMXIII.

LIBRARY
DEC 14 1962
UNIVERSITY OF THE PACIFIC
114173

## μάχη ἐπὶ ταῖσ νανσίν.

N Ζεὺσ δ' ἐπεὶ οὖν Τρῶάσ τε καὶ Ἕκτορα νηύσ' ἐπέλασσε,
τοὺσ μὲν ἔα παρὰ τῆισι πόνον τ' ἐχέμεν καὶ ὀϊζὺν 2ᵇ = Θ 529
νωλεμέωσ, αὐτὸσ δὲ πάλιν τρέπεν ὄσσε φαεινώ, 3ᵇ = Φ 415
νόσφιν ἐφ' ἱπποπόλων Θρηϊκων καθορώμενοσ αἶαν
Μυσῶν τ' ἀγχιμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν
γλακτοφάγων Ἀβίων τε δικαιοτάτων ἀνθρώπων.
εἰσ Τροίην δ' οὐ πάμπαν ἔτ' ἔτρεπεν ὄσσε φαεινώ·
οὐ γὰρ ὅ γ' ἀθανάτων τιν' ἐρέλπετο ϝὸν κατὰ θυμὸν 8ᵇ = Ψ 345
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηξέμεν' ἢ Δαναοῖσι. 9 cf. Θ 11

---

2. παρὰ] περὶ Zen. Aristoph., Ar. fortasse utrumque, πρὸσ l. a. in T. — ἐχέμεν] ὀχέμεν Zen. (? ὀχέειν Ribbeck). ‖ 5. ἀγχιμάχων H²] ἀγχεμ. Ω (item Π 248, 272 P 165). ‖ 6. δικαιοτάτων] sic Ar., -των τ' olim quidam, vocem Ἀγαυῶν pro nomine proprio habentes, voces ἱππημολγῶν et ἀβίων pro adiectivis. ‖ 8. ὅ γ'(ε)] ἔτ' Aristoph. ‖ 9. ἀρηξέμεν('αι) A] -γεμεν pap. 732 et Morg. C D T (cf. B 436).

---

1—9. Ad alias iam curas Iuppiter oculos et animum convertit, promissum Thetidi datum solvisse se ratus, victores enim in ipsis castris adesse Troianos. Sedet nunc in cacumine Idae; cf. Λ 182 sq., 337 M 253 Ξ 157.

5. ἀγχιμάχων] sic *Mysorum* gens *hastata* opponitur gentibus vicinis *sagittas* in hostem eminus mittentibus sive τηλεμάχοισ, ut utamur epitheto quod in nomen proprium abiit (cf. Z initio). — Dicunturne incolae *Mysiae Asianae*, Troianorum socii, quorum mentio fit B 858 alibi? An *Thraciae* cogitanda est ea gens, cui *Moesi* nomen fuit postea? Cf. Strab. 295.

6. γλακτοφάγων] †. Vitae incultae subest notio: homines illi non sunt σιτοφάγοι neque πίνουσ' αἴθοπα ϝοῖνον sed Cyclopum more *lacte* potissimum vitam sustentant (cf. Z 142 et ι 222—225, 246—249). *Massagetas* sic designat Herodotus I 216, non γλακτοφάγουσ tamen sed γλακτοπότασ vocans.

— Ἀβίων] hos Γαβίουσ vocavit Aesch. fr. 198. An Fάβιοι nomen fuit huius gentis? Aliunde non est cognita, quapropter olim fuerunt qui pro adiectivo hoc nomen haberent (cf. A 99). — De *Agrippaeis* et *Getis* similia rettulit Herodotus IV 23 et 93.

— δικαιοτάτων] *cultissimorum*. Cur tantis laudibus eos extollat poeta nescimus, sed veluti mirantis haec est vox, quod in longinqua illa barbarie, ubi vel agros conserendi ars ignoretur, extet gens tam bene morata, quemadmodum inter Centauros feros vixit Chiron unus omnium δικαιότατοσ (cf. Λ 832). Conferri possunt quae de Phaeacum gente cum remotissima tum cultissima atque beatissima habet Odyssea.

7—9. Non putabat Iuppiter fore ut caelitum ullus pugnae se immisceret, quippe quos abstinere iussisset (cf. Θ init. et 399 sqq.). De ὅ γε ex abundanti posito cf. A 190.

οὐδ' ἀλαοσκοπιὴν εἶχε κρείων ἐνοσίχθων 10 cf. K 515
καὶ γὰρ ὃ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
ὑψόθ' ἐπ' ἀκροτάτησ κορυφῆσ Σάμου ὑλήεσσησ
Θρηϊκίησ· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
φαίνετο δὲ Πριάμοιο πόλισ καὶ νῆεσ Ἀχαιῶν.
ἔνθ' ἄρ' ὅ γ' ἐξ ἁλὸσ ἕζετ' ἰών, ἐλέαιρε δ' Ἀχαιοὺσ 16 = 353
Τρωσὶν δαμναμένουσ, Διὶ δὲ κρατερῶσ ἐνεμέσσα.
αὐτίκα δ' ἐξ ὄρεοσ κατεβήσετο παιπαλόεντοσ
κραιπνὰ ποσὶ προβιβάσ· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη 18ª = ρ 27
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνοσ ἰόντοσ.
τρὶσ μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ, 21 cf. Δ 381
Αἰγάσ, ἔνθα τέ ϝοι κλυτὰ δώματα βένθεσι λίμνησ
χρύσεα μαρμαίροντα τετεύχαται, ἄφθιτά τ' αἰεί.
ἔνθ' ἐλθὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω 23ᵇ-26 = Θ 41 sqq.
ὠκυπέτα, χρυσέησι ϝεθείρησιν κομάοντε,
χρυσὸν δ' αὐτὸσ ἔδυνε περὶ χροΐ, γέντο δ' ἱμάσθλην
χρυσείην εὔτυκτον, ἑϝοῦ δ' ἐπεβήσετο δίφρου,

---

10. ἀλαοσκοπιὴν] ἀλαὸσ σκοπιὴν pap. Morg. $A^2$ (cf. K 515). || 12. ἀκροτάτησ κορυφῆσ] -τησι -φῆσι Aristoph. (cf. A 66 et § 57). — Σάμου] Σάου l. a. ant. (cf. Archil. fr. 6 CIG. 2058 $A^{34}$). || 18. Apud Long. de subl. 9, 8 additur: καὶ κορυφαὶ Τρώων τε πόλισ καὶ νῆεσ Ἀχαιῶν (= Υ 60). || 21. τέ Strab. 386] δέ Ω. Cf. Θ 48. || 22. ἄφθιτά τ' (ε) Knight] ἄφθιτα Ω, ἄφθιτον Bentley.

---

10. ἀλαοσκοπιὴν] cf. K 515.

12. ὑψόθ'(ι)] § 322.

— Σάμου . . . Θρηϊκίησ] *Samothraces*, quae etiam Ω 78, 753 commemoratur. Illuc igitur venit Neptunus, ut Iuppiter in Idam, ad spectandam pugnam. Cf. Θ 440. — B 634 alibi sic vocatur *Cephallenia*.

13. Ἴδη] sedes dei Troianis faventis. Hanc igitur praesertim nunc intuetur Neptunus.

17—38. Mira ambage Neptunus utitur ut a Samothrace profectus Troiam et ad ipsum praelium perveniat. Rediens autem (O 219) bigis non utitur. Nempe quae prisci poetae περὶ Ποσειδάωνοσ γαιηϝόχου cecinerant, cuius sub curru tremunt saxa et nemora, suo consilio adaptavit noster poeta, cui *maris* deus erat Neptunus. Et recte fecit, quoniam sic occasionem est nactus pulcherrimis versibus Neptuni per maris fluctus iter pingendi. Versus 23—27ª imitatus est Vergilius Aen. V 817—819.

20. Cum ingentibus his dei passibus cf. saltus equorum divinorum E 770—772.

21. Αἰγάσ] urbem orae Achaiae. Cf. Θ 203.

24. χρυσέησι] § 18 et 61.

— κομάοντε] § 191.

ϝβῆ δ' ἐλάειν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησε ϝάνακτα,
γηθοσύνη δὲ θάλασσα διίστατο. τοὶ δ' ἐπέτοντο
ῥίμφα μάλ', οὐδ' ὑπένερθε ϝδιαίνετο χάλκεοσ ἄξων·
τὸν δ' ἐσ Ἀχαιῶν νῆασ ἐῢσκαρθμοι ϝφέρον ἵπποι.
ἔστι δέ τι σπέοσ εὐρὺ βαθείησ βένθεσι λίμνησ,
μεσσηγὺσ Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσησ·
ἔνθ' ἵππουσ ἔστησε Ποσειδάων ἐνοσίχθων
λύσασ ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον ϝβάλεν εἶδαρ
ἔδμεναι, ἀμφὶ δὲ ποσσὶ πέδασ ἔβαλε χρυσείασ,
ἀρρήκτουσ ἀλύτουσ, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
νοστήσαντα ϝάνακτα. ὃ δ' εἰσ στρατὸν ὤιχετ' Ἀχαιῶν.
Τρῶεσ δὲ φλογὶ ϝῖσοι ἀϝολλέεσ ἠὲ θυέλληι
Ἕκτορι Πριαμίδηι ἄμοτον μεμαῶτεσ ἕποντο,
ἄβρομοι ἀϝίϝαχοι· ϝέλποντο δὲ νῆασ Ἀχαιῶν
αἱρήσειν, κτενέειν δὲ παρ' αὐτόθι πάντασ ἀρίστουσ.

[δ 845
33 cf. Ω 78, 753
34ª = E 368
35 cf. E 369
35ª = Θ 50
37 = Θ 275
40 cf. 80

---

27. ἐπὶ κύματ'] κατὰ κῦμα pap. Morg. — αὐτοῦ] -τῶι l. a. ant. ‖ 28. ἠγνοίησε] -σαν Ar. G. Cf. Δ 724. ‖ 29. γηθοσύνη Ar.] -νηι Aristoph. Herodian. A (ut Φ 390, cuius alia est ratio). Cf. λ 540. ‖ 39. ἠὲ] ἠδὲ pap. Par. G L (cf. E 162). ‖ 42. αὐτόθι pap. Par. A C T] -φι D (cf. M 302). — ἀρίστουσ C] Ἀχαιοὺσ pap. 732 et Morg. A D T.

---

27. ἐλάειν] § 191.

— ἄταλλε] *lasciviebat*; †, sed cf. h. Merc. 400 Hes. Op. 131 et adiectivum ἀταλόσ Σ 567 al.; nec non ἀτιτάλλειν E 271 al.

28. κευθμῶν] †; ceteris locis nominativus sing. est κευθμών aut κεῦθοσ.

29. γηθοσύνη . . . θάλασσα] nihil quod sit consimile habet Homerus; cf. tamen χθὼν γελάσασα sive *splendens* T 362 et mare *vultu procellam portendens* Ξ 17. Etiam Π 34 huc facit. Longius remoti sunt loci ubi *tela* veluti vita et mente praedita χροὸσ ἆσαι velle dicuntur (cf. Λ 574) vel ubi *ignis* vocatur animal (cf. B 426); nam θάλασσα nostro loco, ut ceteris, est ipsa unda maris, aqua (cf. K 572), non dea. Contrarium est ἀγάστονοσ Ἀμφιτρίτη μ 97 sive ipsius maris epitheton tributum maris deae.

— διίστατο] cedens unda deo maripotenti *viam siccam* nunc praebet, *cubile* λ 243 sq.; cf. regia submarina Nerei (A 358) et ipsius Neptuni.

35. ἀμβρόσιον . . . εἶδαρ] cf. E 777.

37. ὄφρ' ἔμπεδον αὖθι μένοιεν] *ut illo ipso loco ubi erant manerent.*

39—41. Troiani et mox vs. 53 Hector assimulantur *igni* (ut Λ 596 al.) vel *procellae*, unde tonitru est erupturum. *Taciti* nunc procedunt Troes Hectorem densa turma secuti, ἄνευ βρόμου καὶ ἄνευ ϝιϝαχῆσ, *neque frementes neque clamantes*, perinde atque Achivi Γ 8 sq.; sed plenum minarum est illud silentium. Adiectiva ἄβρομοσ et ἀϝίϝαχοσ †; simile est asyndeton

ἀλλὰ Ποσειδάων γαιήοχοσ ἐνοσίγαιοσ
Ἀργείουσ ὤτρυνε, βαθείησ ἐξ ἁλὸσ ἐλθών,
ϝεισάμενοσ Κάλχαντι δέμασ καὶ ἀτειρέα φωνήν. 45 cf. P 555 X 227
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ· 46 = Π 555
„Αἴαντε, σφὼι μέν τε σαώσετε λαὸν Ἀχαιῶν
ἀλκῆσ μνησαμένω μηδὲ κρυεροῖο φόβοιο.
ἄλλοι μὲν γὰρ ἐγώ γ' οὐ δέδϝια χεῖρασ ἀάπτουσ
Τρώων, οἳ μέγα τεῖχοσ ὑπερκατέβησαν ὁμίλωι, 50 cf. 87
ἔξουσιν γὰρ πάντασ ἐϋκνήμιδεσ Ἀχαιοί·
τῆι δὲ δὴ αἰνότατον περιδέδϝια μή τι πάθωμεν,
ἦι ῥ' ὅ γε λυσσώιδησ φλογὶ ϝείκελοσ ἡγεμονεύει,
Ἕκτωρ, ὃσ Διὸσ εὔχετ' ἐρισθενέοσ πάῖσ εἶναι.
σφῶϊν δ' ὧδε θεῶν τισ ἐνὶ φρεσὶ ποιήσειε,
αὐτώ θ' ἑστάμεναι κρατερῶσ καὶ ἀνωγέμεν' ἄλλουσ·
τῶι κε καὶ ἐσσυμένον περ ἐρωήσαιτ' ἀπὸ νηῶν
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιοσ αὐτὸσ ἐγείρει."
ἦ, καὶ σκηπανίωι γαιήοχοσ ἐνοσίγαιοσ 59ª = Ω 247
ἀμφοτέρω κεκοπὼσ πλῆσεν μένεοσ κρατεροῖο,
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδασ καὶ χεῖρασ ὕπερθε. 61 = E 122
αὐτὸσ δ', ὥσ θ' ἵρηξ ὠκύπτεροσ ὦρτο πέτεσθαι,

---

47. τε] κε pap. Par. D T. ‖ 51. ἔξουσιν] σχήσουσιν Aristoph. (ut Δ 820 N 151 Ξ 100). Cf. Υ 27. — πάντασ] -τεσ pap. Morg. D T. ‖ 53. ὅ γε] ὅ γ' (vel ὅδ') ὁ Ω. — λυσσώιδησ] λυσσητὴρ Menrad (ut Θ 299; cf. ν 194). ‖ 57. ἐσσυμένον ... ἐρωήσαιτ'(ε)] -νοσ ...-σειˇ νChrist; cf. comment. ‖ 58. καί ... ἐγείρει] κέν ... -ρηι A² C. ‖ 60. κεκοπὼσ] sic et -φὼσ Ar., -πὼν libri Chius et Antimachi. Cf. σ 335 et § 157 sq.

---

ἄϝιστοσ ἄπυστοσ α 242 et apud tragicos sic dicitur ἄσιτοσ ἄποτοσ, ἄκλαυτοσ ἀστένακτοσ. Alieni hinc sunt loci ubi altos clamores Troiani eorumque socii dicuntur edere (cf. Γ 2—9), quibus locis alia atque nostro est rerum facies.

43. ἐνοσίγαιοσ] § 21.

47. σφὼι] novicium pro σφῶϊ vel ὔμε, cf. § 92.

— σαώσετε] aor. mixt., ut -σέμεναι Τ 401. Cf. § 152.

53. φλογὶ ϝείκελοσ] cf. vs. 39—41.

54. En priscae fabulae, quae Hectorem — ut Sarpedonem — dei Idaei filium faciebat, vestigium manifestum. Item O 637; cf. K 50.

57. ἐρωήσαιτ'(ε)] *retineatis*. Ceteris locis verbum est intransitivum (B 179 al.).

59—61. Scipionem Neptunus gerit auguris sumta figura; quo scipione ita nunc utitur ut alibi *Mercurius* (cf. Ω 343 al.), *Minerva* (cf. ν 429 al.), *Circe* (cf. κ 238 al.).

59. ἐνοσίγαιοσ] § 21.

62. Cf. Γ 151 sq.

ὅσ ῥά τ' ἀπ' αἰγίλιποσ πέτρησ περιμήκεοσ ἀρθεὶσ
ὁρμήσηι πεδίοιο διωκέμεν' ὄρνεον ἄλλο,
ὥσ ἀπὸ τῶν ἴτξε Ποσειδάων ἐνοσίχθων.
τοῖιν δ' ἔγνω πρόσθεν Ὀϊλῆοσ ταχὺσ Αἴασ,
αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
„Αἶαν, ἐπεί τισ νῶϊ θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
μάντιι ϝειδόμενοσ κέλεται παρὰ νηυσὶ μάχεσθαι, . . .
οὐδ' ὅ γε Κάλχασ ἐστί, θεοπρόποσ οἰωνιστήσ·
ἴχνεα γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
ῥεῖ' ἔγνων ἀπιόντοσ, ἀρίγνωτοι δὲ θεοί περ.
καὶ δ' ἐμοὶ αὐτῶι θυμὸσ ἐνὶ στήθεσσι φίλοισι
μᾶλλον ἐφορμάεται πολεμιζέμεν' ἠδὲ μάχεσθαι,
μαιμάουσι δ' ἔνερθε πόδεσ καὶ χεῖρεσ ὕπερθε." 75b cf. E 122
τὸν δ' ἀπαμειβόμενοσ προσέφη Τελαμώνιοσ Αἴασ·
„οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρεσ ἄπτοι
μαιμῶσιν, καί μοι μένοσ ὄρορε, νέρθε δὲ ποσσὶ 78b = H 212
ἔσσυμαι ἀμφοτέροισι· μενοινάω δὲ καὶ οἷοσ
Ἕκτορι Πριαμίδηι ἄμοτον μεμαῶτι μάχεσθαι." 80 cf. 40
ὣσ οἳ μὲν τοιαῦτα πρὸσ ἀλλήλουσ ἀγόρευον
χάρμηι γηθόσυνοι, τήν σφιν θεὸσ ἔμβαλε θυμῶι·

---

63. *περιμήκεοσ ἀρθεὶσ*] *περίμηκεσ ἀερθεὶσ* Menrad, *πτερύγεσσιν ἀερθεὶσ* Hartman. Cf. § 256 et *ε* 393. ‖ 64. *ὁρμήσηι*] *οἰμήσηι* Agar (ut X 139, 308). ‖ 71. *ἴχνεα*] *ἴχνια* Ar. *Ω*, *ἴχματα* Zen. Aristoph., *ἴθματα* olim alii (propter sequens *κνημάων*). Extat *ἴχνη* sive *ἴχνε'(α)* *τ* 436 h. Merc. 76, *ἴχνεσι* *ρ* 317, pluralis *ἴχνια* vitio natus in codd. redit *Σ* 321 *Ψ* 764 *β* 406 *γ* 30 *ε* 193 *η* 38 h. Merc. 218, 220, 342, 351. ‖ 75. *ὕπερθε*] *ἄπτοι* pap. Morg. ‖ 77. *νῦν*] *δὴ* pap. 732. ‖ 78. *μαιμῶσιν, καί μοι*] **μαιμάουσ', ἐν δὲ*? Fick *μαιμάουσι, μένοσ δέ μοι*. Cf. vs. 75 et *Υ* 93.

---

63. αἰγίλιποσ] cf. I 15.
— περιμήκεοσ] *excelsae*. Cf. οὐρανομήκησ *ε* 239.
64. πεδίοιο] cf. B 785.
— διωκέμεν'(αι)] § 125.
— ὄρνεον ἄλλο] cf. Φ 22 ἰχθύεσ ἄλλοι.
68. Cf. Γ 59.
69. μάντιι] § 74.
71. *Incessu patuit deus*; cf. Verg. Aen. I 405.
72. Non *ipsi di* agnitu sunt faciles (cf. A 198), sed eorum *vestigia* solo impressa et mira incessus celeritas.
74. ἐφορμάεται] § 191.
— πολεμιζέμεν'(αι)] § 125.
75. μαιμάουσι] § 190 sq.
78. μαιμῶσιν] § 190 sq.
— ὄρορε] intransitivum, ut (l. a. Ξ 397 et) θ 539, ὑπώρορε ω 62. Transitivum est B 146 al., dubia res est *τ* 201. Cf. § 284.
79. μενοινάω] § 190 sq.
82. χάρμηι γηθόσυνοι] *alacres ad impetum in hostes faciendum*, πρόθυμοι

τόφρα δὲ τοὺσ ὄπιθεν γαιήοχοσ ὤρσεν Ἀχαιούσ,
οἳ παρὰ νηυσὶ θοῇσιν ἀνέψυχον φίλον ἦτορ. 84b cf. K 575
τῶν ῥ' ἅμα τ' ἀργαλέωι καμάτωι φίλα γυῖ' ἐλέλυντο, 85b cf. H 6
καί σφιν ἄχοσ κατὰ θυμὸν ἐγίγνετο δερκομένοισι
Τρῶασ, τοὶ μέγα τεῖχοσ ὑπερκατέβησαν ὁμίλωι. 87 cf. 50
τοὺσ οἵ γ' εἰσοράοντεσ ὑπ' ὀφρύσι δάκρυ' ἔλειβον,
οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ. ἀλλ' ἐνοσίχθων 89 cf. O 700
ῥεῖα μετισάμενοσ κρατερὰσ ὥτρυνε φάλαγγασ. 90 cf. P 285
Τεῦκρον ἔπι πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων
Πηνέλεών θ' ἥρωα Θόαντά τε Δηΐπυρόν τε 92b-94 = 478sqq.
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρασ ἀϋτῆσ·
τοὺσ ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα· 94 = P 219 cf. o 208
„αἰδώσ, Ἀργεῖοι κοῦροι νέοι! ὔμιν ἐγώ γε 95a = E 787
μαρναμένοισι πέποιθα σαωσέμεναι νέασ ἡμάσ.
εἰ δ' ὔμεσ πολέμοιο μεθήσετε λευγαλέοιο,
νῦν δὴ ῥεῖδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι, 99 = O 286 Υ 344 Φ 54 h. Merc. 219 cf. τ 36
δεινόν, ὅ τ' οὔ ποτ' ἐγώ γε τελευτήσεσθαι ἔφασκον,
Τρῶασ ἐφ' ἡμετέρασ ἴμεναι νέασ, οἳ τὸ πάροσ περ

85. φίλα] ὑπὸ pap. Morg. || 90. μετισάμενοσ] μετεισ. Ω, *ῥεῖ' ἐπιρεισάμενοσ (item P 285)? Cf. § 201. || 92. Πηνέλεον Aristoph.] -λεων Ω, Cf. § 62 et B 494. || 100. ὅ τ' οὔ] ὃ οὐ Ω, ὃ μή Heyne (cf. B 302).

εἰσ τὴν μάχην. Vocem χάρμην sive *studium pugnandi* non a verbi χαίρειν stirpe repetendam esse, licet multi repetiverint inani sonorum similitudine decepti, testatur vocis vis. Neque noster poeta eam inde nunc repetit, sed ad adiectivum γηθόσυνοι interpretandum et veluti defendendum — nam quis sobria mente ob pugnam et caedem laetetur! — addit verba: *quod studium deus eorum animo iniecerat* sive: *quod iis gratum fecerat.*

— ἔμβαλε θυμῶι] quemadmodum ἐνὶ φρεσὶ θέμεναι est *ciere consilium*, sic θυμῶι ἐμβαλεῖν est *studium movere.* Idem valet μνήσασθαι χάρμησ vs. 721 al.

83. Iung. ὄπιθεν . . . ὦρσεν.

88. εἰσοράοντεσ] § 191.

95. αἰδώσ] cf. E 787.

— Ἀργεῖοι κοῦροι νέοι] *Argivi iuvenes*, flos et robur Argivorum (πάντεσ ἄριστοι ἐόντεσ vs. 117). Qui nisi repellitis hostem, nulla etiam spes nobis est salutis. — Mox et seniores in pugnam incitaturus est Neptunus (cf. vs. 209 sqq., 361).

— ὔμιν] § 92.

96. ἡμάσ] § 95.

97. ὔμεσ] § 92.

99. ὦ πόποι] ut h. l., sic et Ξ 49 (v. l. P 171) ν 209 haec exclamatio, quae orationis initium facere solet, in media oratione est usurpata.

101. ἴμεναι] § 125.

φυζακινῆισ' ἐλάφοισι ϝεϝοίκεσαν, αἵ τε καθ' ὕλην
θώων παρδαλίων τε λύκων τ' ἤϊα πέλονται,
αὔτωσ ἠλάσκουσαι ἀνάλκιδεσ οὐδ' ἐπὶ χάρμηι·
ὥσ Τρῶεσ τὸ πρίν γε μένοσ καὶ χεῖρασ Ἀχαιῶν 105ᵇ = Z 502
μιμνέμεν' οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ' ἢ βαιόν.
νῦν δὲ ϝεκὰσ πόλιοσ κοίλησι' ἐπὶ νηυσὶ μάχονται 107 = E 791
ἡγεμόνοσ κακότητι μεθημοσύνηφί τε λαῶν,
οἳ κείνωι ἐρίσαντεσ ἀμυνέμεν' οὐκ ἐθέλουσι
νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάσ.
ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιόσ ἐστι
ἥρωσ Ἀτρεΐδησ, εὐρὺ κρείων Ἀγαμέμνων, 112 = A 102
οὕνεκ' ἄρ' ἀτίμασσε ποδώκεα Πηλεΐωνα,
ἡμάσ γ' οὔ πωσ ἔστι μεθιέμεναι πολέμοιο.
ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένεσ ἐσθλῶν. 115ᵇ cf. O 203
ὔμεσ δ' οὐκέτι καλὰ μεθίετε θούριδοσ ἀλκῆσ 116ᵇ = 234
πάντεσ ἄριστοι ἐόντεσ ἀνὰ στρατόν. οὐδέ κ' ἐγώ γε
ἀνδρὶ μαχεσσαίμην, ὅσ τισ πολέμοιο μεθείη
λυγρὸσ ἐών· ὔμιν δὲ νεμεσσάομαι περὶ κῆρι.

---

103. *παρδαλίων*] sic Ar., *πορδ.* pap. Morg. A (cf. *P* 20 *Φ* 573 *δ* 457). ‖ 107. *δὲ (ϝ)εκὰσ* Zen. Aristoph. pap. Morg.] *δ' ἔκαθεν* Ar. *Ω*; cf. *E* 791. ‖ 108. *μεθημοσύνηφι* § 46] *-νησι*. Cf. vs. 121. ‖ 113. *ἄρ' ἠτίμασσε* (*-μησε*) Brandreth] *ἀπητίμησε* (ut Aesch. Eum. 95). Cf. *H* 140 *A* 79 *N* 461 *Ω* 607 et § 144. ‖ 115. *τοι*] sic et *τε* Ar. ‖ 118. *μεθείη*] *μεθ(ε)ίει* A C T (cf. *Γ* 221).

---

103. ἤϊα] *praeda, cibus*. In Iliade vox non redit, in Odyssea valet *viaticum* (β 289 al.); *paleas* autem ε 368? Sed haec homonyma videtur esse vox, ab alia stirpe ducta.

104. Iung. αὔτωσ ... οὐδ' ἐπὶ χάρμηι, *sic temere neque ut praelia gerant* (ἐπί ut Ψ 574 al.). Subridentis est cervas *non avidas dimicandi* dicere.

105—107. Troiani illi, qui antehac non sunt ausi obstare quominus Achivi e navibus egressi in littore castra ponerent, iam audaciores facti ipsas nostras naves oppugnant. Cf. O 720—723.

106. μιμνέμεν'(αι)] § 125.

108. ἡγεμόνοσ] *ducis nostri*, Agamemnonis.

110. νηῶν] cf. Δ 11.

115. *At quamprimum rem melius agamus; est ducum strenuorum, cum in errorem inciderint, in illo errore non perseverare*. Verbum ἀκέεσθαι etiam κ 69 ita ut hoc loco est usurpatum; cum adiectivo ἀκεστῶι cf. στρεπτόσ I 497 O 203.

116. ὔμεσ] § 92.

117—119. *Neque viris imbellibus tantopere succenseam* (cf. I 32) *quantopere succenseo vobis*.

117. οὐδέ κ'(ε)] § 326.

119. λυγρὸσ ἐών] = εἰ κακὸσ εἴη. Adi.

ὦ πέπονεσ, τάχα δή τι κακὸν ποιήσετε μεῖζον — 121b sq.a cf. O 561
τῆιδε μεθημοσύνηι· ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστοσ
αἰδόα καὶ νέμεσιν! δὴ γὰρ μέγα νεῖκοσ ὄρωρε. — 122b = O 400 cf. P 384
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸσ πολεμίζει
καρτερόσ, ἔρρηξεν δὲ πύλασ καὶ μακρὸν ὀχῆα." — 124 cf. M 291
ὣσ ῥα κελευτιάων γαιήοχοσ ὦρσεν Ἀχαιούσ.
ἀμφὶ δ' ἄρ' Αἴαντασ δοιοὺσ ἵσταντο φάλαγγεσ — [sq.
καρτεραί, ἂσ οὔτ' ἄρ κεν Ἄρησ ὀνόσαιτο μετελθὼν — 127 sq. cf. P 398
οὔτε κ' Ἀθηναίη λαοσσόοσ· οἳ γὰρ ἄριστοι — 127b cf. Δ 539
κρινθέντεσ Τρῶάσ τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
φράξαντεσ δόρυ δουρί, σάκοσ σάκεϊ προθελύμνωι.
ἀσπὶσ ἄρ' ἀσπίδ' ἔρειδε, κόρυσ κόρυθ', ἀνέρα δ' ἀνήρ, — 131-133 = Π 215 sqq.
ψαῦον δ' ἱππόκομοι κόρυθεσ λαμπροῖσι φάλοισι
νευόντων· ὥσ πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
ἔγχεα δ' ἐπτύσσοντο θρασειάων ἀπὸ χειρῶν — 134b = Δ 553
σειόμεν'· οἳ δ' ἰθὺσ φρόνεον, μέμασαν δὲ μάχεσθαι.
Τρῶεσ δὲ προέτυψαν ἀολλέεσ, ἦρχε δ' ἄρ' Ἕκτωρ — 136 = O 306 P 262

---

124. μακρὸν ὀχῆα] cf. M 121. ‖ 127. ἄρ Brandreth] ἄν. Cf. P 658 et Δ 187. ‖ 131. κόρυθ' (κορυδ) pap. Morg.] κόρυσ Ω. Cf. Π 215 et § 66. ‖ 134. ἀπὸ] ὑπὸ v Herwerden (cf. Γ 128).

---

λυγρόσ id quod κακόσ sive *ignavus* valet etiam N 237 ι 454 σ 107.

— νεμεσσάομαι] § 191.

122. αἰδόα καὶ νέμεσιν] cf. Λ 649 et de forma αἰδόα § 77.

124. Cf. M 121, 452—462.

125. κελευτιάων] § 191.

127. ὀνόσαιτο] optativus ut Δ 223.

130. Imitati sunt Tyrt. fr. 11[31] Eur. Heracl. 837 Verg. Aen. X 361. De ipsa re cf. M 105.

— σάκεϊ προθελύμνωι] *parte clipei inferiore.* Cf. I 541.

131. ἔρειδε] clipeum militis iuxta se collocati.

132 sq. Si quis caput promitteret vel dextrorsum vel sinistrorsum moveret, vicini galeam contingebat. Verbum ψαύειν absolute dictum est, ut in vs. parall.; genitivum adiunctum habet Ψ 519, 806 h. Ven. 125.

132. φάλοισι] cf. Ε 743 sq.

134. ἐπτύσσοντο] hastae militum, quorum complures ordines deinceps acie densissima erant collocati, cum eminus adspiciebantur in hostes intentae, — quales eas poeta mentis oculis nunc contuetur, — veluti in solidum aliquod corpus coniunctae et compressae videbantur. „A close clump of spears underlying and overlying each other" (A. Lang). Aliena — non enim primitiva — hinc est *plicandi* vel *contexendi* notio, sed verum praebent loci ubi πτύχεσ clipeorum dicuntur coria alterum alteri super imposita.

135. οἳ δ' ἰθὺσ φρόνεον] cf. Θ 118.

ἀντικρὺ μεμαώσ, ϝολοοίτροχοσ ὣσ ἀπὸ πέτρησ,
ὅν τε κατὰ στεφάνησ ποταμὸσ χειμάρροοσ ὄσηι,
ῥήξασ ἀσπέτωι ὄμβρωι ἀναιδέοσ ἔχματα πέτρησ·
ὕψι δ' ἀναθρώισκων πέτεται, κτυπέει δέ Θ' ὑπ' αὐτοῦ
ὕλη, ὃ δ' ἀσφαλέωσ Θέει ἔμπεδον, ἧοσ ἵκηται 141ª cf. ν 86
ϝισόπεδον, τότε δ' οὔ τι κυλίνδεται ἐσσυμένοσ περ.
ὣσ Ἕκτωρ τῆοσ μὲν ἀπείλεε μέχρι θαλάσσησ
ῥέα διελεύσεσθαι κλισίασ καὶ νῆασ Ἀχαιῶν
κτείνων, ἀλλ' ὅτε δὴ πυκινῆισ' ἐνέκυρσε φάλαγξι,
'στῆ ῥα μάλ' ἐγχριμφθείσ. οἳ δ' ἀντίοι υἷεσ Ἀχαιῶν
νύσσοντεσ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι 147 = O 278 P 731
ὦσαν ἀπὸ σφείων· ὃ δὲ χασσάμενοσ 'πελεμίχθη, cf. Ξ 26 ω 527
ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώσ· 148 = Λ 535
„Τρῶεσ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 149 = M 439
παρμένετ'· οὔ τοι δϝηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί, 150 = Θ 173
καὶ μάλα πυργηδὸν σφέασ αὐτοὺσ ἀρτύναντεσ, 152ᵇ = M 43
ἀλλ', οἵω, χάσσονται ὑπ' ἔγχεοσ, εἰ ἐτεόν με
ὦρσε θεῶν ὄχ' ἄριστοσ, ἐρίγδουποσ πόσισ Ἥρησ.“
ὣσ ϝειπὼν ὤτρυνε μένοσ θυμόν τε ϝεκάστου. 155 = E 470
Δηΐφοβοσ δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει 156ᵇ = Λ 296

---

137. ϝολοοίτροχοσ] ὁλοότροχοσ C, ϝολϝότροχοσ Knight. ‖ 141. ἧοσ (ἕωσ) A] ἕωσ ἂν L, ὄφρ' ἂν pap. Morg. Syr., εἰσ ὅ κεν ἵληι Porphyr. ad Λ 269. Cf. O 23 κ 65 ρ 298 τ 367 ψ 151. ‖ 143. τῆοσ (τειοσ) Brandreth] εἵωσ. Cf. M 141. ‖ 144. ῥέα διελεύσεσθαι Ar.] ῥεῖα δ' ἐλεύσεσθαι Ω, item Υ 263; ῥεῖα διξεσθαι Nauck (quod verbum ita adhibitum apud poetam non extat), ῥεῖ' ἐπιρρίσεσθαι vHerwerden (cf. I 652; Pallis ῥεῖ' ἐπελεύσεσθαι). Apta δια- est praepositio, sed ῥέα molestum (cf. § 8 et P 461 sq.). ‖ 148. χασσάμενοσ 'πελεμίχθη] χάσσατο πολλὸν ὀπίσσω Zen. ‖ 154. ὄχ' ἄριστοσ] cf. Λ 288. ‖ 155. Θυμόν τε Bentley] καὶ θυμὸν.

---

137. Eadem imagine utitur Hesiodus Scut. 374 sqq. et 437 sqq.

— ϝολοοίτροχοσ] †, vox a verbo ϝέλλειν ducta, ut ϝόλμοσ Λ 147. Cf. Herodot. V 92 VIII 52 Xen. Anab. IV 2 § 3 Theocrit. XXII 49.

— -οσ ὣσ] cf. § 101.

138. κατὰ στεφάνησ] *de summo margine* collis sive clivi.

139. ἀναιδέοσ] cf. Γ 56.

141. ἀσφαλέωσ] οὐδὲν σφαλλόμενοσ, *minime vacillans*, nullis enim obstaculis a recto tramite deflecti se passus.

— ἧοσ] § 323.

143. τῆοσ] § 323.

— ἀπείλεε] § 191.

149. γεγωνώσ] § 260.

150. Cf. B 816—877.

152. πυργηδὸν] cf. Δ 334 et de ipsa re M 105.

154. En priscae notioni admixta recentior, ut solet poeta Iliadis. Nam is deus, qui *Hectori favet*, primitus *Iunonis maritus* profecto non fuit.

*Πριαμίδησ, πρὸ ϝέθεν δὲ ἔχ' ἀσπίδα πάντοσ' ἐρίσην,* 157 = 803
*κοῦφα ποσὶ προβιβὰσ καὶ ὑπασπίδια προποδίζων.*
*Μηριόνησ δ' αὐτοῖο 'τιτύσκετο δουρὶ φαεινῷι,* 159[b] sq.[a] = 370 sq.
*καὶ 'βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσ' ἐρίσην* 160[a] = Λ 350
*ταυρείην. τῆσ δ' οὔ τι διήλασεν, ἀλλὰ πολὺ πρὶν*
*ἐν καυλῶι ἐράγη δολιχὸν δόρυ· Δηΐφοβοσ δὲ* 162[a] cf. P 607
*ἀσπίδα ταυρείην 'σχέθ' ἀπὸ ϝέο, 'δείσε δὲ θυμῶι*
*ἔγχοσ Μηριόναο δαΐφρονοσ. αὐτὰρ ὅ γ' ἥρωσ*
*ἄψ ἑτάρων εἰσ ϝέθνοσ ἐχάζετο, 'χώσατο δ' αἰνῶσ* 165[a] cf. Γ 32
*ἀμφότερον, νίκησ τε καὶ ἔγχεοσ ὃ ξυνέραξε·*
*'βῆ δ' ἴμεναι παρά τε κλισίασ καὶ νῆασ Ἀχαιῶν,* 167 = Θ 220
*οἰσόμενοσ δόρυ μακρόν, ὅ οἱ κλισίηφι 'λέλειπτο.*
*οἳ δ' ἄλλοι 'μάρναντο, βοὴ δ' ἄσβεστοσ ὀρώρει.* 169 = 540
169[b] = Λ 500
*Τεῦκροσ δὲ πρῶτοσ Τελαμώνιοσ ἄνδρα κατέκτα,* 170 cf. M 378
*Ἴμβριον αἰχμητήν, πολυΐππου Μέντοροσ υἱόν.*
*'ναῖε δὲ Πήδαιον, πρὶν ἐλθέμεν' υἷασ Ἀχαιῶν,*

---

157. *πρὸ ϝέθεν*] *πρόσθεν* Ω. Cf. vs. 803. — *δὲ ἔχ'(ε)*] *δ' ἔχεν* Ω. ‖ 159. *αὐτοῖο*] *ἐν τοῖσι* Apoll. lex., *αὖ τοῖο* Duentzer, *ἄρα τοῖο* Hoogvliet, item vs. 370. Cf. comment. ‖ 163.*'δείσε*] neglecto ϝ (*'δϝεῖσε*). ‖ 166. *ξυνέραξε*] *ξυνέηξε* Zen., [*ξυν*]*έηκε* pap. 732. Cf. vs. 257. ‖ 168. *ὅ*] *ἃ* l. a. ant. (coll. *μ* 97). ‖ 172. *'ναῖε δὲ*] *ὅσ νάε* (*ναῖε*?) Zen., *ὅσ ναῖε* C. Cf. *Z* 34.

---

158. κοῦφα . . . προβιβὰσ] item alibi κοῦφα πηδᾶν, πάλλειν (cf. Ar. Lys. 1282). Similia sunt: μακρὰ βιβάσ, ὀρθὰ βαδίζειν, κραιπνὰ προβαίνειν, μεγάλα πατάσσειν, alia; *obiecti* enim *interni* sunt omnes hi accusativi (= κοῦφα βήματα προβιβάσ cet.). Cf. etiam θ 201.

159. αὐτοῖο] non neglegitur nunc propria huius pronominis vis (cf. § 98), sed Deiphobus dum hostes petit, *ipse* a Merione percussus esse dicitur. Eadem pronominis vis est vs. 370.

162. καυλῶι] sic vocatur *pars cuspidis ea quae hastili immissa est*, item N 608 Π 115 P 607, et nonnullae huiusmodi cuspides in Troade et in Cypro sunt effossae; cf. etiam Z 320. Π 338 pars *gladii* quae capulo est inserta sic dicitur. — Alia species hastarum, quarum hastile recipitur fistula aenea cuspidi subiuncta, indicatur P 297 ι 156, et huiusmodi cuspides in sepulcris Mycenaeis — ut in lacubus Helveticis et in Europae parte septentrionali — complures inventae sunt.

163 sq. *Deiphobus autem clipeum protenderat, hastam Merionis metuens.* Item Υ 278: Aeneas ἐράλη καὶ ἀπὸ ϝέθεν ἀσπίδ' ἀνέσχε | δρείσασ. Cf. etiam N 408 Φ 571 + 581 X 275. — Oppositum est στήμεναι ὦμωι σάκοσ κλίναντα (cf. Λ 593).

167. ἴμεναι] § 125.

172—175. *Imbrius* Priami gener nuper *Pedaeo*, ex urbe aliunde non

κούρην δὲ Πριάμοιο νόθην ἔχε, Μηδεσικάστην·
αὐτὰρ ἐπεὶ Δαναῶν νέεσ ἤλυθον ἀμφιϝέλισσαι, 174-176 = O 549 sqq.
ἂψ εἰσ Φίλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι,
ναῖε δὲ πὰρ Πριάμωι, ὃ δέ μιν τίε ϝῖσα τέκεσσι.
τόν ῥ' υἱὸσ Τελαμῶνοσ ὑπ' οὔατοσ ἔγχει μακρῶι
νύξ', ἐκ δ' ἔσπασεν ἔγχοσ· ὃ δ' αὖθ' ἔπεσεν μελίη ὥσ, 178ª = M 395
ἥ τ' ὄρεοσ κορυφῆι ϝέκαθεν περιφαινομένοιο
χαλκῶι ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσηι·
ὥσ ἔπεσ', ἀμφὶ δέ ϝοι βράχε τεύχεα ποικίλα χαλκῶι. 181ᵇ = M 396
Τεῦκροσ δ' ὥρμήθη μεμαώσ ϝ' ἀπὸ τεύχεα δῦσαι, [sqq.
Ἕκτωρ δ' ὁρμηθέντοσ ἀκόντισε δουρὶ φαεινῶι· 183ᵇ-185ª = P 304
183ᵇ sq. = 403 sq.
ἀλλ' ὃ μὲν ἄντα ϝιδὼν ἠλεύατο χάλκεον ἔγχοσ P 525 sq.
184 = 503 Π 610
τυτθόν, ὃ δ' Ἀμφίμαχον, Κτεάτοι' υἱ' Ἀκτορίωνοσ, cf. X 274
186 cf. O 577
νισσόμενον πόλεμόνδε κατὰ στῆθοσ βάλε δουρί, 186ᵇ sq.ª = O 420
186ᵇ = Λ 108 [sq.
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι. 187 = Λ 504
Ἕκτωρ δ' ὡρμήθη κόρυθα κροτάφοισ' ἀραρυῖαν
κρατὸσ ἀφαρπάξαι μεγαλήτοροσ Ἀμφιμάχοιο,
Αἴασ δ' ὁρμηθέντοσ ὀρέξατο δουρὶ φαεινῶι
Ἕκτοροσ· ἀλλ' οὔ πηι χρὼσ ϝείσατο, πᾶσ δ' ἄρα χαλκῶι
σμερδαλέωι κεκάλυφθ'. ὃ δ' ἄρ' ἀσπίδοσ ὀμφαλὸν οὖτα,
ὦσε δέ μιν σθένεϊ μεγάλωι· ὃ δὲ χάσσατ' ὀπίσσω
νεκρῶν ἀμφοτέρων, τοὺσ δ' ἐξερύσσαν Ἀχαιοί.
Ἀμφίμαχον μὲν ἄρα Στιχίοσ δῖόσ τε Μενεσθεύσ,
ἀρχοὶ Ἀθηναίων, νόμισαν μετὰ λαὸν Ἀχαιῶν,
Ἴμβριον αὖτ' Αἴαντε, μεμαότε θούριδοσ ἀλκῆσ.

---

177. ῥ'(α)] δ' Syr. || 178. *αὖθ'(ι)] αὖτ' Ω, αἶψ' olim quidam. Cf. P 244 δ 20. || 179. κορυφῆι Ar. A C] -φῆισ D T. Cf. B 456. || 182. *ϝ'(ε)] adiecimus. || 185. υἱ'(α)] υἱὸν (cf. vs. 792 et § 17)? || 190. ὀρέξατο pap. 732 A C D T] ἀκόντισε L et l. a. in T. || 191. χρὼσ Zen.] χρόοσ (qui nominativus est inauditus) Ar. pap. 732, χροὸσ (genitivus) Herodianus et Ω, neque syntaxi favente neque numeris. || 195. Στιχίοσ] Σχεδίοσ l. a. in T. || 196. λαὸν] ἄνοσ l. a. in A.

---

cognita, ubi cum uxore habitabat, *Troiam* cum suis confugit adventantibus Achivis. Cf. O 547—551.

172. πρὶν] § 18.

— ἐλθέμεν'(αι)] § 125.

176. πὰρ Πριάμωι] cf. Z 247—250.

177. Teucer, qui cum sagittandi tum hastam mittendi peritus fuit (cf. vs. 314), hasta iam utitur, alibi (e. g. Θ 266) arcu. Cf. M 372.

185. Κτεάτοι'(ο)] § 59.

191 sq. Commentarii instar sunt X 322—326.

197. μεμαότε] § 160.

ὥσ τε δύ' αἶγα λέοντε κυνῶν ὕπο καρχαροδόντων
ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήϊα πυκνά, 199b cf. Ψ 122
ὑψόθ' ὑπὲρ γαίησ μετὰ γαμφηλῆισιν ἔχοντε,
ὥσ ῥα τὸν ὑψόθ' ἔχοντε δύω Αἴαντε κορυστὰ 201 cf. Σ 163
τεύχε' ἐσυλήτην. κεφαλὴν δ' ἀπαλῆσ ἀπὸ δειρῆσ
'κόψεν 'Οϊλεΐδησ, κεχολωμένοσ Ἀμφιμάχοιο,
σφαιρηδὸν δέ μιν ἧκε μελιξάμενοσ δι' ὁμίλου·
Ἕκτορι δὲ προπάροιθε ποδῶν ἔπεσ' ἐν κονίησι.
καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη
υἱωνοῖο πεσόντοσ ἐν αἰνῆι δηϊοτῆτι,

198. αἶγα] αἶγε Zen. || 200. ἔχοντε] -ντεσ Syr. || 203. 'Οϊλεΐδησ Knight] 'Οϊλιάδησ Ω, ἄρ' 'Ιλιάδησ Zen.; cf. B 527 et M 365. || 204. σφαιρηδὸν δέ μιν ἧκε Heyne] ἧκε δέ μιν σφαιρηδόν. || 207. ἐν αἰνῆι δηϊοτῆτι] ἐνὶ κρατερῆι ὑσμίνηι Syr.

198—202. Ut capram e stabulo abripiunt duo leones invitis canibus custodibus, sic Aiaces, qui ἶσον θυμὸν ἔχοντεσ, ὁμώνυμοι atque παρ' ἀλλήλοισι μένοντεσ solent pugnare cf. P 720 sq.), corpus Imbrii abstulerunt e media turba hostium. Imagini *unus* leo praedam ore tenens aptior erat (alia ratio est loci E 541—560); quapropter Zenodotus duas capras, parum sane felici coniectura, duobus his leonibus tribuebat praedam. Nihil tamen est mutandum, sed carminum antiquiorum vestigium hic agnoscitur. Nam ante nostri poetae aetatem nata est comparatio, qua ita nunc utitur ille mutata ut poscebat carminis ratio, et veluti ante oculos nunc cernimus *duos* Aiaces fieri ex *uno* illo, quem habuerunt fabulae antiquissimae (cf. B 530 N 681, 701—708 Ξ 459 sq. P 651 sqq. Ψ 708—779 γ 109 δ 499—510 λ 543—564). Nec non ex eodem heroë vel potius gigante procrevit *Teucer*, qui h. l. ambobus Aiacibus comes it et Imbrium occidit (vs. 170 sqq.; cf. etiam vs. 313). Primitus igitur Teucer fuit alter quidam Aiax, sed veles et sagittarius, non armatus vel hasta pugnans; alter autem in alterum veluti adspicientibus nobis mutatur O 478—483. Quocum loco conferenda est Odysseae ea pars, ubi *Ulixi sagittario*, quem solum cognitum habuerunt priscae illae fabulae, unde materiem sui carminis duxit Odysseae poeta, substituitur Ulixes is quem novit Ilias δουρὶ κλυτὸσ et σάκεϊ τετραθελύμνωι armatus (cf. χ 119—125).

199. ῥωπήϊα] *virgulta densa et vix pervia* (gall. *le maquis*). Vox redit Φ 559 Ψ 122 ξ 473; cf. ῥῶπεσ κ 166 ξ 49 π 47. Idem fere valet δρίοσ ξ 353.

200 sq. ὑψόθ'(ι)] § 322.

201. κορυστὰ] cf. Δ 457.

202. ἐσυλήτην] § 195.

204. σφαιρηδὸν] †, *ut pīlam*. Cf. ῥόλμον ὥσ (*ut pīlam*) Λ 147.

— μελιξάμενοσ] *in hostes conversus*.

207. υἱωνοῖο] *Amphimachus* filius fuit *Cteati*, hic *Actoris* (B 620 N 185), Ἀκτορίωνε autem Λ 750 sq. dicuntur *filii Neptuni*, ex Actoris igitur uxore a deo procreati, ut Hercules a Iove ex uxore Amphitryonis; de cuiusmodi fabulis cf. E 396. Sed primitus *pro-*

'βῆ δ' ἰμεναι παρά τε κλισίασ καὶ νῆασ Ἀχαιῶν 208 = Θ 220
ὀτρυνέων Δαναούς, Τρώεσσι δὲ κήδε' ἔτευχε.
'Ιδομενεὺσ δ' ἄρα ϝοι δουρὶ κλυτὸσ ἀντεβόλησε,
ἐρχόμενοσ παρ' ἑταίρου, ὅ ϝοι νέον ἐκ πολέμοιο
ἦλθε κατ' ἰγνύην βεβλημένοσ ὀξέϊ χαλκῶι.
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὃ δ' ἰητροῖσ' ἐπιτείλασ
ἤϊεν εἰσ κλισίην, ἔτι γὰρ πολέμοι' ἐμενοίνα
ἀντιάειν. τὸν δὲ προσέφη κρείων ἐνοσίχθων,
ϝεισάμενοσ φθογγὴν Ἀνδραίμονοσ υἷι Θόαντι,
ὅσ πάσηι Πλευρῶνι καὶ αἰπεινῆι Καλυδῶνι 217b = Ξ 116
Αἰτωλοῖσ' ἐράνασσε, θεὸσ δ' ὣσ 'τίετο δήμωι· 218b = E 78
„'Ιδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ 219a = 255
οἴχονται, τὰσ Τρωσὶν ἀπείλεον υἷεσ Ἀχαιῶν;“ 219b = Υ 83
τὸν δ' αὖτ' 'Ιδομενεύσ, Κρητῶν ἀγόσ, ἀντίον ηὔδα· 221 = Δ 265
„ὦ Θόαν, οὔ τισ ἀνὴρ νῦν γ' αἴτιοσ, ὅσσον ἐγώ γε
γιγνώισκω· πάντεσ γὰρ ἐπιστάμεθα πτολεμίζειν.
οὔτε τινὰ δϝέοσ ἴσχει ἀκήριον οὔτε τισ ὄκνωι 224 cf. E 812, 817
ϝείκων ἀνδύεται πόλεμον κακόν· ἀλλά ποθ' οὕτωσ

214. εἰσ κλισίην] ἐκ κλισίησ D. Cf. vs. 240. || 218. In T H a ditur: τῶι μιν ἐεισάμενοσ προσέφη κρείων ἐνοσίχθων (cf. B 22 al.), in L: τ. μ. ἐ. ἔπεα πτερόεντα προσηύδα. Cf. K 191 P 585. || 222. Θόαν] πέπον D. Cf. O 467 P 171. — γ'(ε) Ar.] om. Ω. || 224. οὔτε τινα] οὐδέ τινα l. a. ant. || 225. ἀνδύεται] sic Ar., alii olim ἀδδύεται. Cf. Π 231 et § 10.

*prietatis* alicuius, non *originis*, notio nomini Ἀκτορίων infuisse videtur (cf. A 552).

208. ἶμεναι] § 125.

209. Post iuniores (cf. vs. 95) Neptunus seniores, qui in praelium nondum processerunt, iam est incitaturus.

211. ἑταίρου] militis alicuius ignoti, θεράποντόσ τινοσ. Cuius nomen non commemorari est quod miremur; quapropter fuere qui Ἕταιρον nomen proprium intellegerent (cf. A 99). Nam non significari *Merionen*, qui Idomenei sodalis fuit aliunde notissimus, docent versus vicini (161—168 et 246 sq.). Magis etiam mirum quod Idomeneus in hoc rerum discrimine armis positis (cf. vs. 235 et 241) et vallo relicto (cf. M 117) militem vulneratum deduxit in tabernaculum.

212. ἰγνύην] *poplitem*, † (ἰγνύσι dat. plur. est h. Merc. 152).

213. ἰητροῖσ'(ι)] cf. Π 28.

214. πολέμοι'(ο)] § 59.

215. ἀντιάειν] § 191.

219 sq. ποῦ τοι ἀπειλαὶ | οἴχονται] duae structurae permixtae sunt: ποῦ ἔασι, ut Υ 83, et πῆι οἴχονται, ut πῆι ἔβαν εὐχωλαί Θ 229 De voce ἀπειλαί cf. Θ 150.

224. ἀκήριον] cf. E 812.

225 sq. Cf B 116 - 118.

225. ποθ'(ι)] § 322.

μέλλει δὴ φίλον ἔμμεν' ὑπερμενέϊ Κρονίωνι, 226 cf. B 116
νωνύμνουσ ἀπολέσθαι ἀπ' Ἄργεοσ ἐνθάδ' Ἀχαιούσ. 227 = M 70
ἀλλά, Θόαν, καὶ γὰρ τὸ πάροσ μενεδήϊοσ ἦσθα,
ὀτρύνεισ δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ϝίδηαι· 229b cf. Δ 516
τῶι νῦν μήτ' ἀπόλυγε κέλευέ τε φωτὶ ϝεκάστωι."
τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
„Ἰδομενεῦ, μὴ κεῖνοσ ἀνὴρ ἔτι νοστήσειε
ἐκ Τροίησ, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο, 233b cf. P 255 Σ 179
ὅσ τισ ἐπ' ἤματι τῶιδε ϝεκὼν μεθέηισι μάχεσθαι!
ἀλλ' ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἅμα χρὴ
σπευδέμεν', αἴ κ' ὄφελόσ τι γενώμεθα καὶ δύ' ἐόντε.
συμφερτὴ δ' ἀρετὴ πέλετ' ἀνδρῶν καὶ μάλα λυγρῶν·
νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι."
ὣσ ϝειπὼν ὃ μὲν αὖτισ ἔβη θεὸσ ἂμ πόνον ἀνδρῶν, 239 = Π 726 P 82
Ἰδομενεὺσ δ' ὅτε δὴ κλισίην εὐῦτυκτον ἵκανε,
δύσετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δοῦρε,
βῆ δ' ἴμεν' ἀστεροπῆι ἐναλίγκιοσ, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντοσ Ὀλύμπου, 243b = Α 532
δεικνὺσ σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ ϝοι αὐγαί. 244b = Χ 27
ὣσ τοῦ χαλκὸσ ἔλαμπε περὶ στήθεσφι θέοντοσ. 245 = Χ 32

---

227. ἐνθάδ' Ἀχαιούσ] υἷασ Ἀχαιῶν A. || 228. ἦσθα] ἐσσι Bentley. || 229. ὅθι μεθιέντα ϝίδηαι] ὅτισ μεθίησισ πόνοιο Zen. — ὅθι] ὅτε A C. || 230. τε] δὲ pap. 732 Syr. || 234. τισ] κεν pap. 732. — μεθέηισι Syr.] μεθίησισ Ω (cf. § 122). *Praesentis* subiunctivus neque verbi ἴημι neque verborum εἵημι ἵστημι δίδωμι apud Hom. extat alibi. || 237. δ' ἀρετὴ] δὲ βίη Zen. Aristoph. — πέλετ'(αι) § 275] πέλει. || 245. περὶ] ἐνὶ Zen. Aristoph. pap. 732. — στήθεσφι G] -σσι Ω (cf. B 388).

---

233. κυνῶν μέλπηθρα] cf. H 241 et A 474.

235. ἅμα] *ambos coniunctim.*

236. σπευδέμεν'(αι)] § 125.

237. *Etiam valde imbellium virorum extat virtus coniuncta* (πέλεται ita ut Γ 287 al.), i. e. *eorum coniunctio virtutem aliquam efficit, vis unita fortior*: σφόδρα καὶ κακῶν ἀνδρῶν εἰσ ταὐτὸν συνελθόντων γίγνεταί τισ ἀλκή (Ar.). Cf. K 222—224 et de adiectivo λυγρῶν N 119. Similis dictionis brevitas est Λ 801.

240. ὅτε δὴ κλισίην . . . ἵκανε] tabernaculum petebat cum interpellavit eum Neptunus (vs. 214).

242—245. Heros armatus celeri motu aciem petens assimulatur fulmini; cf. Δ 75—79 et E 4—8. Praeterea huc faciunt X 26—32. — Celer etiam belli Troiani tempore fuit Idomeneus, licet aetate esset provectior sed citius quam iuniores fuit fatigatus (cf. vs. 512).

243. ἀπ' αἰγλήεντοσ Ὀλύμπου] cf. A 532.

*Μηριόνησ δ' ἄρα ϝοι θεράπων ἐῢσ ἀντεβόλησε*
*ἐγγὺσ ἔτι κλισίησ· μετὰ γὰρ δόρυ χάλκεον ἧιε*
*οἰσόμενοσ. τὸν δὲ προσέφη σθένοσ Ἰδομενῆοσ·*
*„Μηριόνη, Μόλου υἱὲ πόδασ ταχύ, φίλταθ' ἑταίρων,*
*τίπτ' ἦλθεσ πόλεμόν τε λιπὼν καὶ δηΐοτῆτα;*
*ἦέ τι βέβλησαι, βέλεοσ δέ σε τείρει ἀκωκή;*
*ἦέ τιν' ἀγγελίην μετ' ἔμ' ἤλυθεσ; οὐδέ τοι αὐτὸσ*
*ἧσθαι ἐνὶ κλισίησι λιλαίομαι, ἀλλὰ μάχεσθαι.“*
*τὸν δ' αὖ Μηριόνησ πεπνυμένοσ ἀντίον ηὔδα·* 254 = 266 cf. Π 619
*„ἔρχομαι, εἴ τί τοι ἔγχοσ ἐνὶ κλισίησι λέλειπται,*
*οἰσόμενοσ· τό νυ γὰρ κατέϝαξ' ἐμόν, ὃ πρὶν ἔχεσκον,*
*ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντοσ.“*
*τὸν δ' αὖτ' Ἰδομενεύσ, Κρητῶν ἀγόσ, ἀντίον ηὔδα·* 259 = Δ 265
*„δούρατα δ', αἴ κ' ἐθέλησθα, καὶ ἓν καὶ ϝείκοσι δήεισ*
*ἑσταότ' ἐν κλισίῃ πρὸσ ἐνώπια παμφανάοντα,* 261b = Θ 435
*Τρώϊα, τὰ κταμένων ἀποαίνυμαι. οὐ γὰρ ὀΐω*
*ἀνδρῶν δυσμενέων ϝεκὰσ ἱστάμενοσ πολεμίζειν.*

---

255 Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων, 255a = 219

---

246. Θεράπων ἐῢσ] sic Ar., δουρὶ κλυτὸσ Zen. Aristoph ; litteras traditas quidam Θεραπωνεύσ olim interpretabantur. || 247. ἧιε § 308] ἤιει. || 251. βέβλησαι § 117] βέβληαι. || 252. τιν' ἀγγελίην Bentley] τευ ἀγγελίησ Ω, τευ (τε') ἀγγελίην Buttmann. Cf. Γ 206. || 254. πεπνυμένοσ] δουρὶ κλυτὸσ pap. Morg. || 255. Om. pap. 732 et Morg. Syr. A C D T. || 256. κλισίησι] -ηφι pap. Morg. L (ut vs. 168). || 257. κατέϝαξ' ἐμόν Naber] κατεάξαμεν Ar. Ω, κατεήξαμεν Zen. (cf. vs. 166), κατεαξομενοι pap. Morg. vitiose sed verum indicans, κατέαξα μὲν l. a. in T. || 260. δ'(ἐ)] τ' Syr., γ' C.

---

247—258. Merionis hastae cuspis modo erat fracta; cf. vs. 161—168.

247. ἧιε] § 308.

252. ἀγγελίην . . . ἤλυθεσ] cf. Γ 205 sq.

— οὐδέ τοι αὐτὸσ—λιλαίομαι] *ne ipse quidem in tabernaculis desidere cupio; etiam sponte in aciem venturus eram.*

256—258. Coll. vs. 168 putaverit quispiam Idomeneum et Merionen, sive parabaten et aurigam, fuisse contubernales, ut Achillem et Patroclum. Sed cf. vs. 267 sqq.

257. Quod traditum est κατεϝάξαμεν, verbo vicino ἔχεσκον parum convenit. Si quis servet tamen, vertat: *hasta enim illa, quam modo habebam, nobis perit* (καταϝέϝαγεν ἡμιν), ut commune [domenei et suum id damnum dicat Meriones. Nam pluralem pro singulari dictum accipi non sinit lingua epica (cf. Z 414).

260. καὶ ἓν καὶ ϝείκοσι] *vel unam et viginti hastas.* Numerus rotundus (20 + 1); cf. E 193. — Particulae καί . . . καί apud Homerum non valent *cum . . . tum.* Cf. N 636 [Ω 641].

261. ἐνώπια] cf. Θ 435.

— παμφανάοντα] § 191.

263. Est Idomeneus ἀγχίμαχόσ τισ (cf. N 5).

τῶι μοι δούρατά τ' ἔστι καὶ ἀσπίδεσ ὁμφαλόεσσαι
καὶ κόρυθεσ καὶ θώρηκεσ λαμπρὸν γανάοντεσ."
τὸν δ' αὖ Μηριόνησ πεπνυμένοσ ἀντίον ηὔδα· 266 = 254
„καί τοι ἐμοὶ παρά τε κλισίηι καὶ νηῒ μελαίνηι 267 cf. Λ 329 Κ 74
πόλλ' ἔναρα Τρώων· ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι.
οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆσ,
ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν 270ᵇ = Ξ 155 cf. Δ 225
ἵσταμαι, ὁππότε νεῖκοσ ὀρώρηισι πτολέμοιο.
ἄλλον πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
λήθω μαρνάμενοσ, σὲ δὲ ϝίδμεναι αὐτὸν οἴω."
τὸν δ' αὖτ' Ἰδομενεύσ, Κρητῶν ἀγόσ, ἀντίον ηὔδα· 274 = Δ 265
„ϝοῖδ' ἀρετὴν οἷόσ ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι; 275 cf. ω 407
εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντεσ ἄριστοι
εἰσ λόχον, ἔνθα μάλιστ' ἀρετὴ διαϝείδεται ἀνδρῶν, —
ἔνθ' ὅ τε δειλὸσ ἀνὴρ ὅσ τ' ἄλκιμοσ ἐξεφαένθη·
τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼσ ἄλλυδισ ἄλλοσε, 279 cf. 284 P 733 φ 412 sq.ª
οὐδέ ϝοι ἀτρέμασ ἧσθαι ἐρητύει ἐν φρεσὶ θυμόσ, 280ᵇ cf. I 462
ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρουσ πόδασ ἵζει,
ἐν δέ τέ ϝοι καρδίη μεγάλα στέρνοισι πατάσσει 282ᵇ cf. H 216 Ψ 370
κῆρασ ὀϊομένωι, πάταγοσ δέ τε γίγνετ' ὀδόντων· 283ᵇ cf. Κ 375

---

267. *παρά τε*] *πάρα τ' ἐν* (melius *πάρ' ἐνί*) Doederlein. || 271. *ὀρώρησι πτολέμοιο* Brandreth] *-ρηται πολ.* Cf. § 284 et similis perfecti forma *ἐρρίγησι Γ* 353; vHerwerden *ὀρίνηται* (cf. *τ* 377, 524). || 278. Spurius (del. Koeppen)? Cf. comment. — *δειλὸσ*] neglecto *ϝ*; vChrist *δσ δϝειλόσ*, Nauck *δσ τε δϝ. δσ τ'*.

---

265. γανάοντεσ] § 191.

267. Quam facile explicatu foret παρὰ νηῒ καὶ κλισίηι = *apud navem et in tabernaculo* (cf. Δ 382), tam insolite dictum est *apud tabernaculum et navem*. Cf. nota crit.

275. οἷοσ] § 17.

277. Hoc est quod ω 507 dicitur ἵνα τε κρίνονται ἄριστοι. De verbi usu cf. Θ 535, de ipsa re A 227.

278. δειλὸσ] *ignavus* (ut Att.); qui adiectivi usus videtur esse originis recentis indicium. Ceteris locis Homericis δ(ϝ)ειλόσ significat *miserum* (Att. δείλαιοσ).

— ἐξεφαένθη] § 280.

279. τρέπεται χρὼσ ἄλλυδισ ἄλλοσε] *color identidem mutatur*; vir pavidus παντοῖοσ γίγνεται ὑπὸ τοῦ δέουσ. Locutio ἄλλυδισ ἄλλοσε hic et ι 458 abiit in formulam, itaque conferri possunt loci ubi bis idem sed aliis verbis dicitur (X 203).

281. *Modo sinistro pedi, modo dextro, modo ambobus innititur conquiniscens et sub clipeo abditus*, ut Aeneas Υ 278 sq.

283. κῆρασ ὀϊομένωι] accusativo sic iunctum verbum etiam β 351 κ 248 υ 224, 349 valet id quod att. προσδοκᾶν. Cf. δόσεσθαι Σ 224 al. (ad A 105).

τοῦ δ' ἀγαθοῖ' οὔτ' ἄρ τρέπεται χρὼσ οὔτε τι λίην 284 cf. 279
ταρβέει, αἴ κε πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
ἀράεται δὲ τάχιστα μιγήμεναι ἐν δαΐ λυγρῇι· —
οὐδέ κεν ἔνθα τεόν γε μένοσ καὶ χεῖρασ ὄνοιτο. 287b cf. Z 502
εἴ περ γὰρ καὶ βλῆιο πονεύμενοσ ἠὲ τυπείησ,
οὗ κεν ἐν αὐχέν' ὄπισθε πέσοι βέλοσ οὐδ' ἐνὶ νώτωι,
ἀλλά κεν ἢ στέρνων ἢ νηδύοσ ἀντιάσειε
πρόσσω χιεμένοιο μετὰ προμάχων ὀαριστύν.
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥσ 292 = Y 244
ἑσταότεσ, μή πού τισ ὑπερφιάλωσ νεμεσήσηι· 292a = ν 296 cf. B 435
ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἑλέ' ὄβριμον ἔγχοσ."
ὣσ 'φάτο, Μηριόνησ δὲ θοῶι ἀτάλαντοσ Ἄρηϊ 295 = 328
καρπαλίμωσ κλισίηθεν ἀνείλετο χάλκεον ἔγχοσ, 295b = 528
'βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώσ. 297 = 469
οἷοσ δὲ βροτολοιγὸσ Ἄρησ πόλεμόνδε μέτεισι,
τῶι δὲ Φόβοσ φίλοσ υἱὸσ ἅμα κρατερὸσ καὶ ἀταρβὴσ 299 cf. γ 111
ἔσπετο, ὅσ τ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν· —
τὼ μὲν ἄρ' ἐκ Θρηΐκησ Ἐφύρουσ μέτα θωρήσσεσθον,
ἠὲ μετὰ Φλεγύασ μεγαλήτορασ· οὐδ' ἄρα τώ γε
ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδοσ ἔδωκαν· —
τοῖοι Μηριόνησ τε καὶ Ἰδομενεύσ, ἀγοὶ ἀνδρῶν,
ἤϊσαν εἰσ πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῶι. 305b cf. Δ 495
τὸν καὶ Μηριόνησ πρότεροσ πρὸσ μῦθον ἔειπε· 306 cf. E 632

---

285. *ταρβέει, αἴ κε* Menrad] *ταρβεῖ ἐπειδὰν* (*ἐπειδὰν* †). Cf. § 191 et 326. || 287. *οὐδέ κεν*] **οὔ κέ τισ*? Cf. X 199 υ 88 ω 108 Aesch. Ag. 71. || 288. *καὶ* pap. 732] *κε* Ω (cf. E 394), *τε* Bekker (cf. B 123). — *βλῆιο* Bekker] *βλῆο* C, *βλεῖο* Ω. Cf. Atticum *ἐμπλήμην* (Ar. Ach. 236 Lys. 235 al.). || 301. *ἐκ Θρηΐκησ Ἐφύρουσ*] *εἰσ Ἐφύρουσ πόλεμον* Pausan. IX 36 § 2. — *Θωρήσσεσθον*] *-σσοντο* Strab. 442 (cf. Π 218). || 303. *ἀμφοτέρων*] *-ροισ* L.

---

284. ἀγαθοῖ'(ο)] § 59.
286. ἀράεται] § 191.
288. πονεύμενοσ] § 7 et 191.
289. οὗ κεν] § 326.
— αὐχέν'(ι)] § 13.
291. ὀαριστύν] vox *blandam amicorum* vel *amantium confabulationem* significans cum amaro risu hic et P 228 profertur. Cf. H 241.
294. ἑλέ'(ο)] § 117.

298—303. Cf. H 208 sq. et de *Terrore* deo Δ 440.
301. Θρηΐκησ] § 17. — *Thracia* Martis regio dicitur etiam θ 361 nec non saepe apud posteros. Praeterea cf. E 462.
— Ἐφύρουσ] cf. B 659.
302 sq. *Ab utrisque invocati Mars et Terror victoriam alteri soli exercitui tribuunt.*

„Δευκαλίδη, πῆι τ' ἂρ μέμονασ καταδύμεν' ὅμιλον;
ἢ ἐπὶ δεξιόφιν παντὸσ στρατοῦ, ἢ ἀνὰ μέσσουσ,
ἢ ἐπ' ἀριστερόφιν; ἐπεὶ οὔ ποθι ϝέλπομαι οὕτωσ
δεύεσθαι πολέμοιο κάρη κομάοντασ Ἀχαιούσ."
τὸν δ' αὖτ' Ἰδομενεύσ, Κρητῶν ἀγόσ, ἀντίον ηὔδα· 311 = Δ 265
„νηυσὶ μὲν ἐν μέσσηισιν ἀμυνέμεν' εἰσὶ καὶ ἄλλοι,
Αἴαντέσ τε δύω Τεῦκρόσ θ', ὅσ ἄριστοσ Ἀχαιῶν
τοξοσύνηι, ἀγαθὸσ δὲ καὶ ἐν σταδίηι ὑσμίνηι·
οἵ μιν ἄδην ἐλάουσι καὶ ἐσσυμένον πολέμοιο, 315 cf. T 423
Ἕκτορα Πριαμίδην, εἰ καὶ μάλα καρτερόσ ἐστι. 316b = E 410
αἰπύ ϝοι ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
κείνων νικήσαντι μένοσ καὶ χεῖρασ ἀάπτουσ 318b = H 309
νῆασ ἐνιπρῆσαι, ὅτε μὴ αὐτόσ γε Κρονίων
ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῆισι.
ἀνδρὶ δέ κ' οὐ ϝείξειε μέγασ Τελαμώνιοσ Αἴασ,
ὅσ θνητόσ τ' εἴη καὶ ἔδοι Δημήτεροσ ἀκτήν, 322b cf. Φ 76
χαλκῶι τε ῥηκτὸσ μεγάλοισί τε χερμαδίοισι. 323b = Δ 265
οὐδέ κ' Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειε
ἔν γ' αὐτοσταδίηι· ποσὶ δ' οὔ πωσ ἔστιν ἐρίζειν.

309. ποθι] ποτε l. a. ant. || 315. ἐλάουσι § 191] ἐλόωσι Ar. Ω, ἐάσουσι olim quidam, satiabunt interpretati; cum tamen explicari nequeat ἐ- (vel ἑ-), la Roche coniecit ἄσουσι. Cf. T 402, 423 (l. a. Φ 221 Ω 557) e 290 et § 192[1]. Tyrtaeus vulgatam sequitur (ἴσ κόρον ἠλάσατε fr. 11[10]). — πολέμοιο] -μίζειν Zen. (cf. Δ 717 δ 416). || 316. Om. pap. 732 et Morg. A C D T. — εἰ καὶ] καὶ εἰ Ω (ut π 98, 116; cf. § 14 et E 410). || 318. κείνων] sic Ar., -νω pap. 732 et Morg. D (ν pro ιν). — ἀάπτουσ] sic Ar., ἀέπτουσ Aristoph. (cf Δ 567).

307. καταδύμεν'(αι)] § 125.

308 sq. ἐπὶ δεξιόφιν . . . ἐπ' ἀριστερόφιν] id quod suadet Meriones, posteriore loco collocat, more in lingua Graeca solito. Sinistra exercitus Troiani pars est ea quae Scamandro est propior; item vs. 326. Cf. E 355.

309. οὔ ποθι . . . οὕτωσ] *nusquam tantopere* laborant Achivi quantopere ab ea parte ubi sinistra ala exercitus hostilis iis est opposita. Illuc igitur ut properent suadet Meriones; cui Idomeneus assentitur.

310. κάρη κομάοντασ] cf. B 11 et § 191.

312. ἀμυνέμεν' εἰσὶ] cf. I 688 et determino -έμεν'(αι) § 125.

313. Αἴαντέ τε δύω Τεῦκρόσ θ' (τε)] cf. vs. 198—202.

317. αἰπύ] i. q. αἰπὺσ πόνοσ, cf. Λ 601. — ἐσσεῖται] § 302.

319. ὅτε μὴ] = εἰ μή *nisi* (sic Π 227), et accedente optativo, ut h. l., = *nisi forte*. Item Ξ 248 π 197 ψ 185.

322. ἔδοι Δημήτεροσ ἀκτήν] cf. Z 142 et Λ 631.

324. οὐδέ κ'(ε)] § 326.

325. ποσὶ — ἐρίζειν] patet poetam e priscis fabulis duxisse quae cecinit de Achillis celeritate.

.νῶϊν δ' ὧδ' ἐπ' ἀριστερ' ἔχε στρατοῦ, ὄφρα τάχιστα
ϝείδομεν ἠέ τιν' εὖχοσ ὀρέξομεν ἠέ τισ ἡμιν." 327 cf. *M* 328
ὣσ 'φάτο, *Μηριόνησ* δὲ θοῶι ἀτάλαντοσ *Ἄρηϊ* 328 = 295
ἦρχ' ἴμεν', ὄφρ' ἀφίκοντο κατὰ στρατόν, ἦι μιν ἄνωγε.
οἳ δ' ὡσ *Ἰδομενῆα* 'ϝίδον φλογὶ ϝείκελον ἀλκήν, 330ᵇ cf. Σ 154
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι δαιδαλέοισι, 331 cf. *Π* 279
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῶι πάντεσ ἔβησαν. 332 = *Λ* 460
τῶν δ' ὁμὸν ἵστατο νεῖκοσ ἐπὶ πρυμνῆισι νέεσσι. 333ᵇ = Ξ 51 *O* 722 *T* 135
ὡσ δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
ἤματι τῶι ὅτε τε πλείστη κόνισ ἀμφὶ κελεύθουσ,
οἳ δ' ἄμυδισ κονίσσ μεγάλην ἵστᾶσιν ὀμίχλην,
ὣσ ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, 'μέμασαν δ' ἐνὶ θυμῶι
ἀλλήλουσ καθ' ὅμιλον ἐναιρέμεν' ὀξέϊ χαλκῶι.
ἔφριξεν δὲ μάχη φθισίμβροτοσ ἐγχείῃσι 339 cf. *H* 62

---

329. ἀφίκοντο] -κοιτο pap. Morg. D. Cf. *υ* 138. — ἄνωγε § 225] ἀνώγει. || 331. δαιδαλέοισι] μαρμαίροντασ H (ut *Π* 279). || 332. αὐτῶι] -τὼ Bentley. || 333. ὁμὸν] ὁμόσ' l. a. ant. (ut vs. 337). Cf. comment. || 336. δ'(ὲ) Heyne] τ'.

---

326. *Nobis autem sic cursum dirige versus sinistram partem exercitus hostilis* (cf. Ε 355). *Dextrorsum igitur nos convertamus!* Ibi pugnabat Asius (cf. Μ 118 sqq.), cui mox occursurus erat Idomeneus (cf. infra vs. 384). — De *dextro* hostium cornu Idomeneus sive ipse poeta tacet, quia ab ea parte minus erat periculi; ibi enim *Achilles* naves et tabernacula habebat. Qui licet pugnae non iam esset particeps, sat cito tamen Troianos repulsurus erat si castrorum eam partem adorirentur, quam ipse obtinebat (cf. Ι 650—655), neque quisquam dubitabat quin posset repellere. *Hanc* ob causam poeta identidem narravit a *Scamandri* potissimum parte pugnatum esse.

— ἔχε] idem verbi usus est χ 15, 75; cf. (δι-)έχειν Ε 100 Ν 520 al. et ad Κ 263 sq. — *Pedites* quoniam nunc sunt Idomeneus et Meriones (cf. vs. 240 sqq. Ρ 612 sq.), ἔχε non potest intellegi ἔχε τοὺσ ἵππουσ (ut Ο 448 Π 378 al.).

327. τιν'(ι)] § 99.

330. φλογὶ ϝείκελον ἀλκήν] *impetu flammae similem*, μαρνάμενον δέμασ πυρόσ. Redit locutio Ν 688 Σ 154, de qua cf. Λ 596. — Fuere qui ἀλκήν in hac locutione interpretarentur *splendorem*, a prisca aliqua *splendendi* stirpe *ark-alk* repetentes, nostro quidem poeta invito.

333. ὁμὸν] *commune*. Ceteris locis ὁμόσ Homero est *unus idemque*.

334—338. Non iam iusto ordine pugnabatur, sed veluti pulveris turbines (ἄελλαι, cf. Π 374) vento concitati huc illuc intra castra ruebant copiae. Non huc facit pulveris *pedibus pugnantium moti* notio, etsi poetae menti et haec nunc fortasse est obversata (cf. Ρ 243).

339. Vertit Verg. Aen. VII 526: *horrescit strictis . . . ensibus*; cf. etiam IX 601 et Δ 282.

μακρῆισ', ἃσ εἶχον ταμεσίχροασ· ὅσσε δ' ἄμερδε
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδισ. μάλα κε θρασυκάρδιοσ εἴη, 343[b] cf. K 41
ὅσ τότε γνθήσειε χιδὼν πόνον οὐδ' ἀκάχοιτο.
τὼ δ' ἀμφὶσ φρονέοντε δύω Κρόνου υἷε κραταιὼ
ἀνδράσιν ἠρώεσσιν ἐτεύχετον ἄλγεα λυγρά.
Ζεὺσ μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι 'βούλετο νίκην, 347 cf. H 21
κυδαίνων Ἀχιλῆα πόδασ ταχύν· οὐδ' ὅ γε πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιῶν Ἰλιόθι πρό,
ἀλλὰ Θέτιν 'κύδαινε καὶ υἷέα καρτερόθυμον.
Ἀργεῖουσ δὲ Ποσειδάων ὀρόθυνε μετελθών,
λάθρηι ὑπεξαναδὺσ πολιῆσ ἁλόσ· ἵχθετο γάρ ῥα
Τρωσὶν δαμναμένουσ, Διὶ δὲ κρατερῶσ ἐνεμέσσα. 353 = 16
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένοσ ἠδ' ἴα πάτρη,
ἀλλὰ Ζεὺσ πρότεροσ 'γεγόνει καὶ πλείον' ἐχείδει. 355 cf. T 219 Φ 440
τῶι ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε,
λάθρηι δ' αἰὲν ἔγειρε κατὰ στρατόν, ἀνδρὶ ἐοικώσ.

---

346. ἡρώεσσιν ἐτεύχετον schol. h. l. et K 364] -σσι τετεύχετον vel -χατο(ν) Ω. || 347. ἄρα] ῥα Ar. A. || 348. οὐδ' ὅ γε] sic Aristoph., οὐδέ τι A (ut I 435). Cf. M 406. || 349. ὀλέσθαι] ὀλέσσαι pap. 732 C. Cf. M 69 T 274 al. — Ἀχαιῶν Bentley] Ἀχαϊκὸν. Cf. A 71. || 350. υἱέα] υἱὸν? Cf. § 78. — Quidam versum — || 351. ὀρόθυνε] ὄτρυνε Zen. Aristoph. || 356. ἀμφαδίην pap. 732[1]] -η(ι) pap. Morg A C T.

---

340. ἃσ εἶχον ταμεσίχροασ] ut h. l., sic et N 407 Ξ 172 O 530 epitheton nominis in enuntiato primario obvii in enuntiatum relativum receptum est. Nec non O 389, 646 Ω 167 alibi occurrunt similia.

— ἄμερδε] *caecabat*. Verbum redit θ 64 (?) τ 18. Ab alia stirpe ductum est *privandi* verbum homonymum ἀμέρδειν (Π 53 al.).

343 sq. εἴη ... γνθήσειε ... ἀκάχοιτο] cf. Δ 223.

347—350. In fine enuntiati poeta redit ad id quod initio dixit. Cf. θ 159—164 et de ipsa re A 5 Θ 8.

352. ὑπεξαναδὺσ] sic dicitur quia Neptunus clam Iove e mari emerserat — ἴχθετο ... δαμναμένουσ] cf. Θ 378.

354. πάτρη] hoc uno loco *originem* significat, ut φρήτρη, ceteris *regionem*. Nempe haec locutio servat vestigium aevi Iliade antiquioris, quo singula numina, ut homines, certae regionis fuerunt incolae et veluti cives. Tunc autem dei Troiam petentis non *eadem* fuit patria atque dei eam tuentis.

355. Poeta ubi praeteritarum tantum rerum rationem habet, etiam ἐπ' ἀθανάτων tempore historico utitur, ut h. l. vel Λ 77. — Fratri seniori iuniorem iniuriam facere non sinit pietas; cf. O 204.

356 sq. Subiectum esse *Neptunum* dici vix opus.

τὼ δ' ἔριδοσ κρατερῆσ καὶ ὁμοίοο πτολέμοιο 358b = O 670 Σ 242
πεῖραρ ἐπαλλάξαντεσ ἐπ' ἀμφοτέροισ' ἐτάνυσσαν,
ἄρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσε. 360b cf. E 176
ἔνθα, μεσαιπόλιόσ περ ἐών, Δαναοῖσι κελεύσασ
Ἰδομενεὺσ Τρώεσσιν ἐπάλμενοσ ἐν φόβον ὦρσε.
πέφνε γὰρ Ὀθρυονῆα Καβησόθεν ἔνδον ἐόντα, 363b cf. O 438
ὅσ ῥα νέον πολέμοιο μετὰ κλέοσ εἰληλούθει,
ἤιτεε δὲ Πριάμοιο θυγατρῶν ϝείδοσ ἀρίστην 365 sq.a cf. Γ 124
Κασσάνδρην ἀνέϝεδνον, ὑπέσχετο δὲ μέγα ϝέργον,
ἐκ Τροίησ ἀϝέκοντασ ἀπωσέμεν' υἷασ Ἀχαιῶν.

---

358. τὼ Ar.] τοι Aristoph., sic (vel οἵ) Ω. || 359. ἀμφοτέροισ(ι)] sic et ἀλλήλοισι Ar. || 362. Τρώεσσιν ἐπάλμενοσ pap. 732 D T] -εσσι μετάλμενοσ pap. Morg. A C, -εσσ' ἐπιάλμενοσ? Cf. Θ 85. || 363. Καβησόθεν ἔνδον ἐόντα] Ἐκάβησ νόθον υἱὸν ἐόντα Arg., ἐνδονέοντα (= κεκινημένον!) quidam interpretabantur olim; *Καβησόθι ϝοικ' (vel δώματ') ἔχοντα (coll. vs. 664)? || 364. μετὰ] κατὰ Aristoph. (ut Pind. Pyth. IV 125). || 366. ἀνέϝεδνον Bentley] ἀνάεδνον. Cf. I 146. || 367. ἀπωσέμεν'(αι)] ἀνωσέμεν Ar. — Olim quidam subiungebant versum: φοίτων ἔνθα καὶ ἔνθα θοὰσ ἐπὶ νῆασ Ἀχαιῶν (cf. B 779).

---

358. ὁμοίοο] cf. Δ 315 et § 59.

359. πεῖραρ ... ἐτάνυσσαν] *rixae bellique restira pugnantibus intendunt* Iuppiter et Neptunus, utrinque finem tenentes (ἐπαλλάξαντεσ). Quae proverbialis est locutio („*the tug of war*", διελκυστίνδα Poll. IX 112; cf. Θ 20—27 Ar. Pac. 492). Alibi dicitur τεῖναι vel τανύσσαι πόλεμον Ρ 736, πολέμου τέλοσ Υ 101, πόνον Ρ 401, ὑσμίνην Ρ 543, ἔριδα (πτολέμοιο) Ξ 389 Π 662. Cf. ὀλέθρου πείρατα Ζ 143 Η 402 al., νίκησ πείρατα Η 102, πεῖραρ ὀϊζύοσ ε 289. Praeterea cf. κατὰ ϝῖσα μάχην τανύσσαι et similia Λ 72 al., et fortasse πεῖραρ ἑλέσθαι Σ 501 huc referendum.

773. σάοσ ... ὄλεθροσ] oxymoron acerbum et minarum plenum locis par. redit; cf. Ι 376 et de forma σάοσ cf. § 62.

775. Cf. Γ 59.

— αἰτιάεσθαι] § 191.

776 sq. *Alias forsitan pugnae subducere me videri potui*, nunc vero non est quod me vituperes. Cf. Φ 83 δ 377 sq. ξ 133 sq. χ 322 et quae de Menelao Agamemnon ait K 120 sq. — Gen. πολέμοιο ut P 422 Τ 170 Ξ 101 h. Cer. 302.

778 sq. *Dum tu in ipsis castris pugnabas, nos hic ante vallum cum Achivis dimicavimus.*

781 sq. *Deiphobus* saucius reliquit campum vs. 538, *Helenus* vulneratus est vs. 593—600; hunc quoque curru in urbem esse abductum, ne inutiliter periclitaretur, cum fert ratio tum Paris nunc dicit.

ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ' ἤμυνε Κρονίων.
νῦν δ' ἄρχ' ὅππηι σε κραδίη θυμός τε κελεύει·
ἦμεσ δ' ἐμμεμαῶτεσ ἅμ' ἑψόμεθ', οὐδέ τί φημι 785 sq. = ψ 127 sq.
ἀλκῆσ δευήσεσθαι, ὅσσ' δύναμίσ γε πάρεστι.
πὰρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσυμένον πολεμίζειν."
ὣσ ϝειπὼν παρέπεισεν ἀδελφεόσ φρένασ ἥρωσ. 788 = Z 61
βὰν δ' ἴμεν' ἔνθα μάλιστα μάχη καὶ φύλοπισ ἦεν,
ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πολυδάμαντα,
Φάλκην Ὀρθαῖόν τε καὶ ἀντίθεον Πολυφήτην
Πάλμυν τ' Ἀσκάνιόν τε Μόρυν Θ', υἷ' Ἱπποτίωνοσ,
οἳ ῥ' ἐξ Ἀσκανίησ ἐριβώλακοσ ἦλθον ἀμοιβοὶ
ἠόϊ τῆι προτέρηι· τότε δὲ Ζεὺσ ὦρσε μάχεσθαι.
οἳ δ' ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλληι,
ἥ ῥά θ' ὑπὸ βροντῆσ πατρὸσ Διὸσ εἶσι πέδονδε,
θεσπεσίωι δ' ὁμάδωι ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσησ,
κυρτὰ φαληριάοντα, πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα·
ὣσ Τρῶεσ πρὸ μὲν ἄλλοι ἀρηρότεσ, αὐτὰρ ἐπ' ἄλλοι,
χαλκῶι μαρμαίροντεσ ἅμ' ἡγεμόνεσσιν ἕποντο.
Ἕκτωρ δ' ἡγέετο βροτολοιγῶι ϝίσοσ Ἄρηϊ, 802ᵇ = Λ 295
Πριαμίδησ· πρὸ ϝέθεν δὲ ἓξ' ἀσπίδα πάντοσ' ἐρύσθην, 803 = 157
ῥινοῖσιν πυκινήν, πολλὸσ δ' ἐπελήλατο χαλκόσ, 804ᵇ cf. P 493

---

785. δ' ἐμμεμαῶτεσ Ar. A T] δὲ μεμ. C D. Cf. P 735, 746 X 143. || 788. ἀδελφεόσ § 59] -φειοῦ. || 792. υἷ'(α)] υἱὸν Z Strab. 565 (cf. § 17). — Strabo l. l. subiungit versum: *Μυσῶν ἀγχεμάχων ἡγήτορα <καρτεροθύμων>*. Cf. N 5 Ξ 512. || 797. ὁ'(ἐ)] sic Ar., olim quidam om. || 803. πρὸ (ϝ)έθεν Herodian. Syr. A C] πρόσθεν pap. Morg. D T (cf. N 157 Ψ 533). — δὲ ἓχ'(ε)] δ' ἔχεν Ω.

---

785. ἦμεσ] § 92.

787. πὰρ] *praeter* (*supra*), item Ξ 509.

789—792. Hector Paride aliisque comitantibus redit ad portam, quam obtinent Polydamas et Cebriones cum Phalce ceterisque sodalibus (cf. vs. 751—753).

790. Πολυδάμαντα] § 21.

793. ἀμοιβοὶ] *qui subirent in locum militum caesorum.*

794. ἠόϊ τῆι προτέρηι] ut Rhesus cum suis e longinqua Thracia (cf. K 434), sic hi heroes ex Ascania nuper demum in Troadem pervenerunt. Ceterum Ascanius B 862 Priamo iam prius auxilia adduxisse dicitur. De ἠόϊ forma cf. § 77.

795. οἳ δ'(ἐ)] copiae quas iam per portam in castra adducunt Hector et Paris.

798. παφλάζοντα] cf. I 516.

799. φαληριάοντα] § 191. Cf. N 743 sq. et Δ 426.

802. ἡγέετο] § 191.

ἀμφὶ δέ ϝοι κροτάφοισι φαεινὴ ᾽σείετο πήληξ.
πάντηι δ᾽ ἀμφὶ φάλαγγασ ἐπειράετο προποδίζων,
εἴ πώσ ϝοι ϝείξειαν ὑπασπίδια προβιβάντι· 807ᵇ cf. Π 609
ἀλλ᾽ οὐ σύγχεε θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν. 808 cf. I 8
Αἴασ δὲ πρῶτοσ προκαλέσσατο, μακρὰ βιβάσθων· 809ᵇ = O 676 Π 534
„δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δεδϝίσσεαι αὕτωσ
Ἀργεῖουσ; οὔ τοί τι μάχησ ἀδαήμονέσ εἰμεν,
ἀλλὰ Διόσ μάστιγι κακῆι ἐδάμημεν Ἀχαιοί. 812 cf. M 37
ἦ θήν πού τοι θυμὸσ ἐϝέλπεται ἐξαλαπάξειν
νῆασ· ἄφαρ δέ τε χεῖρεσ ἀμυνέμεν᾽ εἰσὶ καὶ ἡμιν.
ἦ κε πολὺ φθαίη ἐΰ ναιομένη πόλισ ὑμὴ
χερσὶν ὕφ᾽ ἡμετέρηισι ϝαλοῦσά τε περθομένη τε. 816 = B 374
σοὶ δ᾽ αὐτῶι φημὶ σχεδὸν ἔμμεναι, ὁππότε φεύγων
ἀρήσηι Διὶ πατρὶ καὶ ἄλλοισ᾽ ἀθανάτοισι 818 cf. Z 259
θάσσονασ ἱρήκων ἔμεναι καλλίτριχασ ἵππουσ,
οἵ σε πόλινδ᾽ οἴσουσι κονίοντεσ πεδίοιο.“
ὣσ ἄρα ϝοι ϝειπόντι ἐπέπτατο δεξιὸσ ὄρνισ, 821 = o 160, 525
αἰετὸσ ὑψιπέτησ· ἐπὶ δ᾽ ἴαχε λαὸσ Ἀχαιῶν 822ᵇ cf. 834
θάρσυνοσ οἰωνῶι· ὃ δ᾽ ἀμείβετο ϕαίδιμοσ Ἕκτωρ·
„Αἶαν ἀμαρτοϝεπέσ, βουγάϊε, ποῖον ἔϝειπεσ!
αἴ γὰρ ἐγὼν οὕτω γε Διὸσ πάϊσ αἰγιόχοιο

---

807. *προβιβάντι*] *-βῶντι* Ω (cf. Γ 22). — Zen. addebat versum: *λίην γάρ σφιν πᾶσιν ἐκέκριτο θάρσεϊ πολλῶι.* ‖ 809. *μακρὰ βιβάσθων*] *φώνησέν τε* Syr. ‖ 810. *αὕτωσ* Ar. A D] *οὕτωσ* Syr. C T (cf. vs. 447). ‖ 822 et 834. *ἴαχε*] neglecto ϝ (item *P* 723); **λαὸσ δ᾽ ἐπεϝίαχ᾽*? ‖ 824. *ἀμαρτοϝεπέσ*] *ἀμετροϝεπέσ* Barnes, an **ἀναρτοϝεπέσ* (coll. *ἀρτιεπήσ* X 281 et *ἄρτια βάζειν* Ξ 92 Θ 240)? — *βουγάϊε*] sic Ar., *-γήϊε* Zen., *-κάϊε* l. a. in T (hinc Nicander Theriac. 5 *bubulcum* dixit *βουκαῖον*). Cf. σ 79.

806. ἐπειράετο] § 191.

808. σύγχεε] § 191.

812. Διὸσ μάστιγι] cf. B 782.

814. ἄφαρ] *procul dubio, profecto*, item Λ 418 P 417 Ψ 593 β 169. Proprie: *statim si quis rem secum reputet.* Eadem via postea particula αὐτίκα pervenit ad notionem: *exempli gratia.*

— ἀμυνέμεν᾽ εἰσὶ] cf. I 688 et de termino -νέμεν᾽(αι) § 125.

817. σχεδὸν ἔμμεναι, ὁππότε κτέ.] *tibi proximum esse <tempus> quo . . .*

818. ἀρήσηι] novicium pro ἀρήσεαι, subiunctivi aor. iusta forma; cf. § 117.

820. πεδίοιο] cf. B 785.

821. ἐπέπτατο] § 216.

— δεξιὸσ ὄρνισ] cf. M 238—240. Victores fore Achivos — non statim nunc, sed tamen mox, — Iuppiter iis promittit (cf. Π 367 sq.).

824. βουγάϊε] vox *hominem vastum* contemtim significans redit σ 79.

825—828. οὕτω . . . ὡσ] cf. Θ 538. De Hectore in carminibus poeta nostro antiquioribus revera Iovis (Idaei) filio dicto cf. K 50.

εἴην ἥματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ' ὡσ τίετ' Ἀθηναίη καὶ Ἀπόλλων, 827 sq. = Θ 540 sq.
ὡσ νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι
πᾶσι μάλ'. ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσησ 829 cf. χ 217
μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα
δάψει· ἀτὰρ Τρώων κορέεισ κύνασ ἠδ' οἰωνοὺσ 831 cf. Θ 379
δημῶι καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν." 832 = Θ 380
ὣσ ἄρα φωνήσασ ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο 833 sq.[a] = M 251 sq.
ϝηχῆι θεσπεσίηι, ἐπὶ δ' ἴαχε λαὸσ ὄπισθε. 834[b] cf. 822
Ἀργεῖοι δ' ἐτέρωθεν ἐρίηχον, οὐδ' ἐλάθοντο 835[a] = H 419
ἀλκῆσ, ἀλλ' ἔμενον Τρώων ἐπιόντασ ἀρίστουσ.
ϝηχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸσ αὐγάσ.

Ξ Νέστορα δ' οὐκ ἔλαθεν ϝιαχὴ πίνοντά περ ἔμπησ,
ἀλλ' Ἀσκληπιάδην ϝέπεα πτερόεντα προσηύδα·
„φράζεο, δῖε Μαχάων, ὅπωσ ἔσται τάδε ϝέργα· 3 cf. Δ 14
3[b] = B 252
μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενοσ αἴθοπα ϝοῖνον,
εἰσ ὅ κε θερμὰ λοετρὰ ἐϋπλόκαμοσ Ϝεκαμήδη
θερμήνηι καὶ λούσηι ἄπο βρότον αἱματόεντα·
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα ϝίσομαι εἰσ περιωπήν." 8[b] cf. Ψ 451 κ 146
ὣσ ϝειπὼν σάκοσ εἶλε τετυγμένον υἱοσ ἑοῖο,
κείμενον ἐν κλισίηι, Θρασυμήδεοσ ἱπποδάμοιο,

832. ἐπὶ] παρὰ pap. Morg. et l. a. in A. || 835. ἐρίηχον Heyne] ἐπίαχον. || 837. αὐγάσ] αὐλάσ pap. Morg. et l. a. in T (cf. δ 74). || 5. πῖνε ... αἴθοπα ϝοῖνον] μίμνε ... ἐν κλισίηισι l. a. ant.; cf. comment. || 7. καὶ λούσηι] λούση(ι) δ'(ὲ) D (cf. § 295). || 8. ϝίσομαι § 201] εἴσομαι. || 9. ἑοῖο] ἧοσ Eust.

826 sq. Optativus ut Δ 314.

827. Cf. Θ 540.

830. χρόα λειριόεντα] cf. Λ 573 et Γ 152.

1. Redit oratio illuc unde Λ 804 digressa est; cf. Λ 624—643.

— ἔμπησ] participio postpositum, ad verbum finitum autem (οὐκ ἔλαθεν) trahendum, ut vs. 98 al.; cf. δ 100.

5. Saucio perniciosum hoc consilium rati lectores minus robusti aliud quid rescripserunt.

10 sq. *Thrasymedes* paucis ante horis cum praeesset excubitoribus, clipeum suum commodaverat Diomedi (cf. I 81 et K 257). Tunc igitur alium clipeum per ministrum aliquem e castris petivisse censendus est, ne nudus militaret, Nestor autem suum ipsius clipeum praestantissimum, de quo cf. Θ 192 sq. et K 76, ei misisse. Quo clipeo instructus ceteram noctem vigilans transegit, dein prandium in excubiis cum suis sumsit (cf. I 88) et

χαλκῶι παμφαῖνον· ὃ δ' ἔχ' ἀσπίδα πατρὸσ ἑῆοῖο.
εἵλετο δ' ἄλκιμον ἔγχοσ, ἀκαχμένον ὀξέϊ χαλκῶι, 12 = *K* 135
'στῆ δ' ἐκτὸσ κλισίησ, τάχα δ' εἴσιδε ϝέργον ἀρεικέσ, 13 cf. *ν* 197
τοὺσ μὲν ὀρινομένουσ, τοὺσ δὲ κλονέοντασ ὄπισθε, 14 = *O* 7
Τρῶασ ὑπερθύμουσ· ἐρέριπτο δὲ τεῖχοσ Ἀχαιῶν.
ὡσ δ' ὅτε πορφύρηι πέλαγοσ μέγα κύματι κωφῶι
ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα 17b = *O* 620
αὔτωσ, οὐδ' ἄρα τε προκυλίνδεται οὐδ' ἐτέρωσε,
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸσ οὖρον,
ὥσ ὅ γέρων ὥρμαινε δαϊζόμενοσ κατὰ θυμὸν
διχθάδι', ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων
ἠὲ μετ' Ἀτρεΐδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
ὧδε δέ ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι, 23 = *N* 458
βήμεν' ἐπ' Ἀτρεΐδην. οἳ δ' ἀλλήλουσ ἐνάριζον
μαρνάμενοι· 'λάκε δέ σφι περὶ χροΐ χαλκὸσ ἀτειρὴσ
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι. 26 = *Π* 637 cf. *N* 147
Νέστορι δὲ ξύμβληντο διοτρεφέεσ βασιλῆεσ
πὰρ νηῶν ἀνιόντεσ, ὅσοι 'βεβλήατο χαλκῶι,
Τυδεΐδησ 'Οδυσεύσ τε καὶ Ἀτρεΐδησ Ἀγαμέμνων. 29 = 380

---

16. *πορφύρηι*] sic Ar., *-ρει* Zen. — *κωφῶι*] sic Ar., *πηγῶι* l. a. ant. (ut *ε* 388). ‖ 18 *τε*] sic Ar., *τῆ(ι)* Ambr. L 73, *τὸ* Knight (coll. *X* 221 *ϱ* 525). — *οὐδ' ἐτέρωσε* Bekker] *οὐδετέρωσε*.

---

mox primo mane (Λ init.) in aciem est progressus. Interim Thrasymedis clipeum in Nestoris filiorumque tabernaculum referendum curavit Diomedes. — Sic locum expedivit Shewan (1906).

15. ἐρέριπτο δὲ τεῖχοσ Ἀχαιῶν] idem dicitur vs. 55. Sed quoniam *deiectum esse* vel *corruisse vallum* dici nunc non potest (cf. O 361—366 et M 12), verbum ἐρείπειν — ut ἐξαλαπάζειν — nunc non *deicere* sed *superare, violare* significare apparet. Cf. nostrum: *de vesting is gevallen* = *capta est* et δέδουπε de rege *caeso* dictum Ψ 679. Vs. 15 et vs. 55 sq. salvo contextu possunt omitti, sed quis quo consilio postmodo inserturus erat?

16. κωφῶι] cf. Λ 390.

17. ὀσσόμενον] (*vultu*) *portendens*. Ceteris locis dicitur de animantibus. Cf. A 105. Contrarium est θάλασσα γηθοσύνη N 29.

18. *Mare neque provolvitur* (προ-) *neque revolvitur*: neque ad spectatorem appropinquant fluctus neque ab eo recedunt.

19. κεκριμένον] *certum, constantem*, καθεστῶτα (Ar. Ran. 1003 al.); cf. ἐϋκρινήσ Hes. Op. 670.

24. βήμεν'(αι)] § 125.

26. νυσσομένων] de genitivo cf. Γ 301.

27. ξύμβληντο] § 119.

29. *Diomedes* a Paride vulneratus est, *Ulixes* a Soco, *Agamemnon* a Coone (cf. Λ 369 sqq., 434 sqq., 234 sqq.).

30 πολλὸν γὰρ ἀπάνευθε μάχησ ϝεϝρύατο νῆεσ
θῖν' ἔφ' ἁλὸσ πολιῆσ· τὰσ γὰρ πρώτασ πεδίονδε 31ª = *A* 350
ἔρρυσαν, αὐτὰρ τεῖχοσ ἐπὶ πρύμνῃσιν ἔδειμαν.
οὐδὲ γὰρ οὐδ' εὐρύσ περ ἐὼν ἐδυνήσατο πάσασ
αἰγιαλὸσ νῆασ χαδέμεν, 'στείνοντο δὲ λαοί·
35 τῶι ῥα προκρόσσασ ϝέρυσαν, καὶ 'πλῆσαν ἁπάσησ
ἠϊόνοσ στόμα μακρόν, ὅσον συνεέργαθον ἄκραι.
τῶι ῥ' οἵ γ' ὀψείοντεσ ἀϋτῆσ καὶ πολέμοιο,
ἔγχε' ἐρειδόμενοι, 'κίον ἀθρόοι· ἤχνυτο δέ σφι 38ª cf. *T* 49 = 170
θυμὸσ ἐνὶ στήθεσσιν. ὃ δὲ ξύμβλητο γεραιὸσ
40 Νέστωρ, 'πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν. 40 cf. *I* 8

---

30. γὰρ] γάρ ῥ' A C D (cf. *B* 39). || 32. πρύμνησιν] πρυμνῆσιν Crates. || 36. μακρόν] πολλόν Zen. Aristoph., Ar. utrumque. || 37. τῶι] τῆι Pallis. — ὀψείοντεσ] sic Ar., οψαιοντεσ Zen., i. e. ὄψ' ἀΐοντεσ, sed iure negavit Ar. credibile esse duces vulneratos *nunc demum sensisse* prope naves pugnari. Ptolemaeus Epithetes Zenodoto tribuebat lectionem οὐ ψαύοντεσ. || 40. 'πτῆξε] sic (πτῆξε) Aristoph. Ar., πῆξε Zen. Dionys. Sid. Herodian. pap. Morg., πλῆξε l. a. — Ἀχαιῶν] ἑταίρων Zen., ἀχεύων Leaf (cf. Soph. Oed. C. 1466 et v. l. *I* 612). — Versum quidam —

30. 'ϝεϝρύατο] § 293.

— νῆεσ] *naves eorum* (Diomedis, Ulixis, Agamemnonis), non: *cunctae*.

31. θῖν' (θινὶ)] § 13.

31ᵇ sq. *Has enim Achivi primas* (proximas mari) *in littore collocaverant* (cf. vs. 75), *dein post eas alias rursusque alias, puppibus autem* (ordinis extremi) *fossam et vallum* (nuper) *praetenderant*. Alio sensu, non maris sed Troianorum ratione habita, O 654 πρῶται εἰρῦσθαι dicuntur eae naves quae vallo sunt proximae

34. αἰγιαλὸσ] *ipsa maris ora*, quo naves primo appulerunt, littus inter utrumque promunturium (vs. 36).

— χαδέμεν] § 126.

35. προκρόσσασ] *gradatim assurgentes*. Intellegendi sunt ordines aliquot navium in littore acclivi collocati. Cf. O 653. — Adi. redit Herodot. IV 152 VII 188 et apud Athen. 30 *a*. Cf. M 258.

36. ἠϊόνοσ στόμα μακρόν] cum locutione insolita conferri possunt στόμα λιμένοσ κ 90 et στόμα λίμνησ l. a. Z 4. *Os littoris* nunc dicitur spatium — κοῖλοσ αἰγιαλόσ (κ 385) — quod erat inter promunturia *Sigeum* et *Rhoeteum*, quae tamen nomina apud H. non inveniuntur, veluti duabus his *maxillis* (γνάθοισι, cf. Aesch. Prom. 726) inclusum; ultra quod spatium navibus non erat accessus propter cautes arduas. Cf. A 409.

37. τῶι] *hanc ob causam*. Reges enim vulnerati dum castrorum interiora tenebant, procul aberant a loco ubi pugnabatur.

— ὀψείοντεσ] unum hoc apud Homerum reperitur *desiderativum* (cf. § 144). Cui participio quod *genitivus* adiungitur, notatu dignum; cf. φ 406.

38. ἔγχε'(ϊ)] § 71.

40. 'πτῆξε] insolitus est hic usus verbi πτῆξαι, quod ceteris locis est intransitivum. Cf. X 191 θ 190. — Terret Agamemnonem ceterosque adspectus Nestor, quem pugnae interesse et copiis iussa dare putabant.

τὸν καὶ φωνήσασ προσέφη κρείων Ἀγαμέμνων·
„ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδοσ Ἀχαιῶν, 42 = *K* 87
τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ' ἀφικάνεισ;
δέδϝια μὴ δή μοι τελέσηι ϝέποσ ὄβριμοσ Ἕκτωρ,
ὅσ ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων,
μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι, [*O* 702
πρὶν πυρὶ νῆασ ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούσ. 47 cf. *Θ* 182 *N* 629
κεῖνοσ τῶσ ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται. 48 = *B* 330
ὦ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδεσ Ἀχαιοὶ
ἐν θυμῶι βάλλονται ἐμοὶ χόλον, ὥσ περ Ἀχιλλεύσ,
οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρυμνῆισι νέεσσι." 51 cf. *O* 722
51[b] = *N* 333
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιοσ ἱππότα Νέστωρ·
„ἦ δὴ ταῦτά γ' ἐτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλωσ
Ζεὺσ ὑψιβρεμέτησ αὐτὸσ παρατεκτήναιτο.
τεῖχοσ μὲν γὰρ δὴ κατερήριπεν, ὥι ἐπέπιθμεν
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι, 56 = 68 cf. *H* 338
οἳ δ' ἐπὶ νηυσὶ θοῆισι μάχην ἀλίαστον ἔχουσι
νωλεμέσ, οὐδέ κ' ἔτι γνοίησ, μάλα περ σκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
ὥσ ἐπιμὶξ κτείνονται, ἀϋτὴ δ' οὐρανὸν ἵκει. 60[b] cf. *B* 153

---

44. *δέδϝια* (*δειδια*) Aristoph. L] *δείδω Ω*. Cf. § 168. ‖ 45. *ὅσ* Aristoph. C] *ὥσ Ω* (cf. *X* 236 *Ω* 388). ‖ 48. *τῶσ*] *θ' ὡσ* C D, *γ' ὡσ* l. a. in A (cf. *B* 330). ‖ 58. *γνοίησ*] *γνοίη* Aristoph.

---

45. ποτ'(ε)] *heri* haec facta sunt; cf. Θ 174—182. Fortasse igitur τότ' (quae in libris permutari solent adverbia) legendum est. — Etiam hostes tunc audire potuerunt quae Hector alta voce clamavit; non est igitur cur rogetur quomodo Agamemnon haec scire potuerit. Quamquam, si nihil eiusmodi responderi posset, ne sic quidem molesti quicquam hic locus haberet (cf. K 447). Eadem dein in castris Troianorum Hector gloriatus est (Θ 526 sq.).

46. ἀπονέεσθαι] § 21.

49. ὦ πόποι] cf. N 99.

50. ἐμοί] *erga me*, cf. A 283.

52. γερήνιοσ] cf. B 336.

53. ἑτοῖμα τετεύχαται] *parata adsunt*; i. q. τελεῖται (vs. 48) vel ἄρκιόν ἐστι (cf. B 393). Dicit occasionem naves comburendi et Achivos necandi. Locutio θ 384 redit; cf. μῆτισ ἑτοίμη I 425, πότμοσ ἑτοῖμοσ Σ 96 et similia Plat. Conv. 200 *c* al.

54. *Ne ipse quidem Iuppiter aliter* (= *melius*) *Troianis possit consulere, si victoriam iis velit tribuere.* De verbo παρατεκταίνεσθαι cf. Σ 367.

55. Cf. vs. 15.

58 sq. De Diomede victore simile quid dicitur E 85 sq.

58. οὐδέ κ'(ε)] § 326.

ἥμεσ δὲ φραζώμεθ' ὅπωσ ἔσται τάδε ϝέργα, 61 = Δ 14
εἴ τι νόοσ ῥέξει· πόλεμον δ' οὐχ ὕμι κελεύω
δύμεναι· οὐ γάρ πωσ βεβλημένον ἔστι μάχεσθαι."
τὸν δ' αὖτε προσέϝειπε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„Νέστορ, ἐπεὶ δὴ νηυσὶν ἔπι πρυμνῆισι μάχονται,
τεῖχοσ δ' οὐκ ἔϝραισμε τετυγμένον οὐδέ τι τάφροσ,
ἧι ἔπι πόλλ' ἔπαθον Δαναοί, 'ϝέλποντο δὲ θυμῶι
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι, 68 = 56
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι. 69 = B 116
'ϝείδεα μὲν γὰρ ὅτε πρόφρων Δαναοῖσιν ἄμυνε,
ϝοῖδα δὲ νῦν, ὅτε τοὺσ μὲν ὁμῶσ μακάρεσσι θεοῖσι
κυδάνει, ἡμέτερον δὲ μένοσ καὶ χεῖρασ ἔδησε. 73b cf. Z 502
ἀλλ' ἄγεθ', ὥσ κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντεσ. 74 = B 139
νῆεσ ὅσαι πρῶται ϝερύαται ἄγχι θαλάσσησ, 75a cf. O 654
ἕλκωμεν, πάσασ δὲ ϝερύσσομεν εἰσ ἅλα δῖαν,
ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰσ ὅ κεν ἔλθηι 77a cf. δ 785 ϑ 55
νὺξ ἀμβρότη, αἴ κεν τῆι ἀπόσχωνται πολέμοιο 78b sq.a cf. Δ 799 sq.
Τρῶεσ· ἔπειτα δέ κεν ϝερυσαίμεθα νῆασ ἀπάσασ.

70 *νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεοσ ἰνδάδ' Ἀχαιούσ.* 70 = M 70

62. *ῥέξει*] sic Ar., *γ' ἐρξει* L, sic et *δ' ἔρξει* l. a. aut. (cf. § 224[2]). — **οὐχ ὕμι*] *οὐκ ἄμμε* (*nos ambos*) Ω, *οὐκ ὔμμε* Barnes (cf. § 92). Requiritur pronomen *vos*, dativus autem recte habet (cf. e. g. Z 491 o 93). ‖ 67. *ἧι*] sic et *οἷσ* Ar. ‖ 70. Versum cum vs. 74 sqq. non satis congruentem e N 227 huc invectum om. pap. Morg. A[1] C[1] D. ‖ 72. *ὅτε* Ar. T L] *ὅτι* Ω. ‖ 75. *νῆεσ* A C] *νῆασ* Ω. ‖ 78. *ἀμβρότη* § 28] *ἀβρότη*. Cf. Bacchyl. XVII 42: *ἀμβρότοι' ἐραννὸν ἀοῦσ φάοσ.* — *αἴ* (*εἴ*) *κεν* Lips. Par. 2767] *ἤν καὶ* Ω. Cf. § 326.

61. ἥμεσ] § 92.

62. ὕμι] § 92.

67. ἧι] fossa dum fiebat, ultro et agger factus est; hanc ob causam solius fossae in hoc versu fit mentio.

— ἔπαθον] *laborarunt*, dum ingens opus perfecerunt. Verbi vis eadem I 492 al.

69 sq. Cf. B 116—118.

71—73. *Neque pristina Iovis erga nos benevolentia me latuit neque recens odium.*

74—81. Cf. B 73—75.

74. κεν] § 326.

75. Cf. vs. 31 sq.

— ϝερύαται] § 293.

76. πάσασ] *eas omnes*, ἁπάσασ autem vs. 79 (*ceteras*) *cunctas*.

77. ὕψι] μετεώρουσ, non stantes in littore, sed prope littus in undis natantes et in fugam paratas. Idem valet ὑψόθι in versibus parallelis.

— ἐπ' εὐνάων] cf. A 436. Sic ἐπ' ἀγκύρασ (-ρῶν) dicebatur postea (cf. Herod. Mim. I 41 Ar. Eq. 1244 al.).

78. *Si tunc certe pugnandi finem facturi sint Troiani.* Quae sunt verba cum risu amaro loquentis; nam inauditi quid foret praelium per tenebras continuatum (cf. B 387 al.).

οὐ γάρ τισ νέμεσισ φυγέμεν κακόν, οὐδ' ἀνὰ νύκτα.
βέλτερον ὅσ φεύγων προφύγηι κακὸν ἠὲ ϝαλώηι."
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη πολύμητισ Ὀδυσσεύσ· 82 sq. = Δ 349 sq.
„Ἀτρεΐδη, ποιόν σε ϝέποσ φύγεν ἕρκοσ ὀδόντων!
ὀλόμεν', αἴθ' ὤφειλεσ ἀϝεικελίωι στρατῶι ἄλλωι
σημαίνειν, μηδ' ἧμι ϝανασσέμεν', οἷσιν ἄρα Ζεὺσ
ἐκ νεότητοσ ἔδωκε καὶ εἰσ γῆρασ τολυπεύειν
ἀργαλέουσ πολέμουσ, ὄφρα φθιόμεσθα ϝέκαστοσ.
οὕτω δὴ μέμονασ Τρώων πόλιν εὐρυάγυιαν
καλλείπειν, ἧσ εἵνεκ' ὀϊζύομεν κακὰ πολλά;
σίγαε, μή τισ ἔτ' ἄλλοσ Ἀχαιῶν τοῦτον ἀκούσηι 90 cf. ξ 493
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο, 90ᵃ cf. τ 486
ὅσ τισ ἐπίσταιτο ϝῆισι φρεσὶν ἄρτια βάζειν 92 = Φ 240
σκηπτόοχόσ τ' εἰη, καί ϝοι πειθοίατο λαοὶ 93ᵇ = M 226
τοσσοίδ', ὅσσοισιν σὺ μετ' Ἀργεΐοισι ϝανάσσεισ.
νῦν δέ σε ὠνοσάμην πάγχυ φρένασ, οἷον ἔϝειπεσ, 95 = P 173
ὃσ κέλεαι πολέμοιο συνεσταότοσ καὶ ἀϋτῆσ
νῆασ ἐϋσσέλμουσ ἅλαδ' ἑλκέμεν', ὄφρ' ἔτι μᾶλλον 97ᵃ = 106 cf. I 683
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουσί περ ἔμπησ,
ἡμιν δ' αἰπὺσ ὄλεθροσ ἐπιρρέπηι. οὐ γὰρ Ἀχαιοὶ
σχήσουσιν πόλεμον νηῶν ἅλαδ' ἑλκομενάων,

80. ἀνὰ νύκτα] ὑπαλύξαι Max. Tyr. XLI 3 (ut Θ 243 M 327 δ 512 μ 216). ‖ 84. ὤφειλεσ § 273] ὤφελλεσ. — ἀ(ϝ)εικελίωι στρατῶι ἄλλωι Nauck] -λίου -τοῦ ἄλλου Ω; genitivum parum tuentur ἄρχειν, ϝανάσσειν, ἡγεῖσθαι modo genitivo modo dativo iuncta. ‖ 89. *καλλείπειν] -ψειν Ω, ἐκπέρσειν Zen. Cf. B 544. ‖ 90. ἔτ'(ι) pap. Morg. Vrat.] τ' Ω (om. A¹L), item τ 486. Cf. P 586. ‖ 91. διὰ] ἀνὰ Nauck (coll. B 250). ‖ 95. σε('ο) Zen.] σευ Ω; item P 173 (cf. Ξ 37 et § 92). — Versum Aristoph. Ar. — ‖ 98. ἐπικρατέουσι] ἐελδομένοισι Plat. Leg. 706 e. ‖ 100. πόλεμον] πολέμου Plat. l. l.

80. οὐ . . . νέμεσισ] cf. Γ 156.

81. δσ] cf. H 401.

— φεύγων προφύγηι] sic φεύγοντα ἐκφυγεῖν est Eur. Phoen. 1216 Ar. Ach. 177 al.

83. ἕρκοσ ὀδόντων] cf. Δ 350.

84. ὀλόμεν'(ε)] § 21.

85. ἧμι] § 92.

— ϝανασσέμεν'(αι)] § 125.

85—87. *Quos artem bellicam per totam vitam docuit Iuppiter.* De locutione τολυπεύειν . . . πολέμουσ cf. Σ 367.

88. οὕτω δὴ] cf. B 158.

90. σίγαε] § 191.

91—95. *Improbo te, non enim est prudentis peritive viri ita loqui.*

93. σκηπτόοχοσ] -οὖχοσ Ω. De vocis vi cf. A 279.

97. ἑλκέμεν'(αι)] § 125

99. αἰπὺσ ὄλεθροσ ἐπιρρέπηι] *in nos descendat quod imminet periculum.* Cf. Λ 601.

100. σχήσουσιν πόλεμον] *sustinebunt hostium impetum.*

ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμησ.
ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν."
τὸν δ' ἠμείβετ' ἔπειτα ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„ὦ Ὀδυσεῦ, μάλα πώσ με καθίκεο θυμὸν ἐνιπῆι
ἀργαλέηι· ἀτὰρ οὐ μὲν ἐγὼν ἀϝέκοντασ ἄνωγα
νῆασ ἐϋσσέλμουσ ἅλαδ' ἑλκέμεν' υἷασ Ἀχαιῶν. 106ᵃ = 97
νῦν δ' εἴη ὅσ τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
ἢ νέοσ ἠὲ παλαιόσ· ἐμοὶ δέ κε ϝασμένωσ εἴη."
τοῖσι δὲ καὶ μετέϝειπε βοὴν ἀγαθὸσ Διομήδησ·
„ἐγγὺσ ἀνήρ, — οὐ δϝηθὰ ματεύσομεν! — αἴ κ' ἐθέλητε
πείθεσθαι, καὶ μή τι κότωι ἀγάσησθε ϝέκαστοσ,
οὕνεκα δὴ γενεῆφι νεώτατόσ εἰμι μεθ' ὑμιν·
πατρὸσ δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένοσ εὔχομαι εἶναι, 113 cf. φ 335
Τυδέοσ, ὃν Θήβησι χυτὴ κατὰ γαῖα καλύπτει. 114ᵇ cf. Z 464
Πορθέϊ γὰρ τρεῖσ παῖδεσ ἀμύμονεσ ἐξεγένοντο, 115 cf. Υ 231
Ϝοίκεον δ' ἐν Πλευρῶνι καὶ αἰπεινῆι Καλυδῶνι, 116ᵇ = N 217
Ἄγριοσ ἠδὲ Μέλασ, τρίτατοσ δ' ἔεν ἵππότα Ϝοινεύσ,
πατρὸσ ἐμοῖο πατήρ· ἀρετῆι δ' ἔεν ἔξοχοσ ἄλλων. 118ᵃ = τ 180
ἀλλ' ὃ μὲν αὐτόθ' ἔμεινε, πατὴρ δ' ἐμὸσ Ἄργε' ἐνάσθη 119ᵃ cf. N 564

---

101. ἀποπαπτανέουσιν Plat. l. l. L] ἀποπτανέουσιν Ω. || 102. κε] σε Barnes (fut. non extat alibi). — ὄρχαμε λαῶν] οἳ' ἀγορεύεισ Plat. l. l. || 111. πείθεσθαι] ἐξείπω Apoll. lex. || 112. νεώτατοσ] sic Ar., -τεροσ pap. Morg. L. || 113. ἀγαθοῦ καὶ ἐγὼ γένοσ] ἀγαθοῖο καὶ αἵματοσ Clem. Alex. Paed. 127. || 114. Zen. —, Aristoph. om. — καλύπτει A C] -ψε Ar. Ω (e Γ 243?). || 116. Ϝοίκεον] ναῖον Nauck (cf. Δ 18). || 118. ἐμοῖο] sic Ar., ἐμεῖο Zen. (cf. Apoll. Pron. 137 Synt. 164 Ammon. 49 Valcken., Anonym. 201 ibid.). Similis controversia est Τ 105 Ω 486 α 413 β 247 ζ 256, 290 λ 458 μ 379 (ρ 111?) τ 180 υ 389. — ἄλλων pap. Morg. G H] αὐτῶν Ω. Cf. § 98. || 119. (ἔ)μεινε] μίμνε T (cf. δ 508).

---

101. ἐρωήσουσι δὲ χάρμησ] cf. N 776 sq.

102. *Et sic ad nihil redigetur tuum consilium*, nam aufugere ne poterunt quidem, etiamsi quam maxime tecum velint.

110. Promptus nunc et I 31 sqq. Diomedes ad meliora suadenda, ut K 219 sqq. ad periculum subeundum. Cf. etiam I 697—705.

112. δὴ ... νεώτατοσ] id quod in mentem revocare mihi solet Nestor (I 57 K 176). Sum inter vos natu minimus, fateor: haud tamen plane neglegendum bellatorem hac nocte me praestiti, ut opinor. — Diomedes cum Agamemnone tum Ulixe iunior est (cf. I 57 sq.).

115. Mixtae sunt duae locutiones: Πορθέϊ ἐγένοντο et: Πορθέοσ ἐξεγένοντο (ut Υ 231). De dativi termino -έϊ cf. § 76.

117. ἔεν] § 302.

118. ἔξοχοσ ἄλλων] cf. A 505.

119. Cf. B 559.

— Ἄργε'(ϊ)] § 71.

πλαγχθείσ, — ὥσ γάρ που Ζεὺσ ἤθελε καὶ θεοὶ ἄλλοι, —
Ἀδρήστοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
ἀφνειὸν βιότοιο, ϝάλισ δέ ϝοι ἦσαν ἄρουραι
πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίσ,
πολλὰ δέ ϝοι πρόβατ' ἦσκε· κέκαστο δὲ πάντασ Ἀχαιοὺσ
ἐγχείῃσι. τὰ δὲ μέλλετ' ἀκουέμεν', ὡσ ἐτεόν περ. 125 cf. δ 94
τῶι οὔ κέν με γένοσ γε κακὸν καὶ ἀνάλκιδα φάντεσ
μῦθον ἀτιμάσσαιτε πεφασμένον, ὅν κ' ἐῢ ϝείπω.
δεῦτ' ἴομεν πόλεμόνδε, καὶ οὐτάμενοί περ, ἀνάγκη·
ἔνθα δ' ἔπειτ' αὐτοὶ μὲν ἐχώμεθα δῃϊοτῆτοσ
ἐκ βελέων, μή πού τισ ἐφ' ἕλκεϊ ἕλκοσ ἄρηται,
ἄλλουσ δ' ὀτρύνοντεσ ἐνήσομεν, οἳ τὸ πάροσ περ
θυμῶι ϝῆρα φέροντεσ ἀφεστᾶσ' οὐδὲ μάχονται."
ὣσ ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν' κλύον ἠδ' ἐπίθοντο· 133 = *H* 379
'βὰν δ' ἴμεν', ἦρχε δ' ἄρα σφι ϝάναξ ἀνδρῶν Ἀγαμέμνων. 134ª cf. 384
οὐδ' ἀλαοσκοπιὴν εἶχε κλυτὸσ ἐνοσίγαιοσ, 135 cf. *K* 515
ἀλλὰ μετ' αὐτοὺσ ἦλθε παλαιῶι φωτὶ ϝεροικώσ,
δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονοσ Ἀτρεΐδαο,
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα·
„Ἀτρεΐδη, νῦν δή ποθ' Ἀχιλλῆοσ ὀλοὸν κῆρ
γηθέει ἐν στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν

125. ὡσ] *εἰ* Ar. || 127. ἀτιμάσσαιτε § 144] *-μήσαιτε*. || 131. ἐνήσομεν] ἀνήσομεν l. a. in A T (cf. *E* 422), *ὀνήσομεν* Bentley. || 135. ἀλαοσκοπιὴν] *ἀλαὸν σκοπιὴν* Zen., *ἀλαοσσκοπιὴν* A. Cf. *K* 515. || 136. Zen. addebat versum: *ἀντιθέωι Φοίνικι ὀπάονι Πηλείωνοσ*. Cf. comment. || 140. γηθέει ἐν Barnes] *γηθεῖ ἐνί*.

120. ἤθελε] singularis ut A 255.

121. θυγατρῶν] genitivi partitivi usus insolitus, quoniam non *collectivum* aliquod (ut γενεή E 268) sed *pluralis* a poeta est usurpatus. Vert. *ex Adrasti filiabus uxorem duxit.*

125. ἀκουέμεν'(αι)] *fando audivisse* = ϝίδμεναι (sic δ 200). Item Ω 543 β 118 γ 193 δ 94.

126. οὔ κεν] § 326.

131. ἐνήσομεν] *immittemus* (in *pugnam*, δῃϊότητι; cf. K 89).

132. θυμῶι ϝῆρα φέροντεσ] *animo suo obsecundantes*, non quid deceat sed quid ipsis gratum sit spectantes.

135. Cf. K 515.

136. Solet poeta aut certi alicuius viri addere nomen, cui deus se assimulaverit (ut N 45), aut alia ratione numinis imaginem vividam ostendere auditoribus (ut Γ 386–388 vel ν 288 sq.). Itaque vix sufficere nunc videtur *senis* mentio. Fortasse post vs. 136 unus versus excidit: Zenodotus certe versum addebat. Illum tamen versum optimo iure Ar. reiciebat, nam Phoenici sequentia haud conveniunt, vulgatam coll. δ 796 θ 194 defendens.

139. ποθ'(ι)] § 322.

δερκομένοι', ἐπεὶ οὔ ϝοι ἔνι φρένες οὐδ' ἢ βαιαί. 141 cf. σ 355 φ 288
ἀλλ' ὃ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ϝε σιφλώσειε·
σοὶ δ' οὔ πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσι,
ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες 144ᵇ = Κ 301
εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτὸς
φεύγοντας προτὶ ϝάστυ νεῶν ἄπο καὶ κλισιάων." 146 cf. Λ 803
ὣς ϝειπὼν μέγ' ἄϋσεν, ἐπεσσυμένος πεδίοιο,
ὅσσον τ' ἐννεάχιλοι ἐξίϝαχον ἢ δεκάχιλοι 148 sq. = Ε 860 sq.
ἀνέρες ἐν πολέμωι, ἔριδα ξυνάγοντες Ἄρηος·
τόσσην ἐκ στήθεσφι ϝόπα κρείων ἐνοσίχθων
ἧκεν, Ἀχαιοῖσιν δὲ μέγα σθένος ὦρσε ϝεκάστωι 151ᵇ sq. = Λ 11 sq.
καρδίηι, ἄλληκτον πολεμιζέμεν' ἠδὲ μάχεσθαι.

## Διὸς ἀπάτη.

Ἥρη δ' εἰσέϝιδε χρυσόθρονος ὀφθαλμοῖσι
στᾶσ' ἐξ Οὐλύμποιο ἀπὸ ῥίου. αὐτίκα δ' ἔγνω
τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν, 155ᵇ = Ν 270

141. ὀερκομένοι'(ο) § 59] -νου G, -νωι Ω. Cf. Γ 301. || 142. Quidam — || 145. αὐτὸσ] αὐτοὺσ T (cf. Ω 499). || 148. τ'(ε)] sic Ar., δ' Aristoph. pap. Morg. D. — ἐϝίϝαχον Bentley] ἐπίαχον. || 151. ὦρσε Bentley] ἴμβαλ'. Cf. Λ 11.

141. ἢ βαιαί] § 2.

142. σιφλώσειε] *debilem reddat* sive *ad nihil redigat*? Dubia est vis verbi (†), quod apud Alexandrinos demum poetas redit Homerum imitando interpretatos (Lycophr. 1134 Apoll. Rh. I 204).

147. πεδίοιο] cf. Β 785.

148—150. Cf. Ε 860—863. Deus dum ante milites planitiem versus provolat, — eorum oculis iam subductus (cf. vs. 363)? — voce ingenti omnia complet. Ab ipso numine ad strenue pugnandum se incitari senserunt Achivi.

149. ἔριδα ξυνάγοντες Ἄρηος] cf. Β 381.

152. πολεμιζέμεν'(αι)] § 125.

153—158. In Olympi cacumine poeta Iunonem collocat, episodium enarraturus quod praebebat ei carmen aliquod antiquius, non tamen tale praebebat. In illo enim carmine celebrabatur Argiva dea virgo — certe non Iovis Olympii uxor — deo Idaeo copiam sui faciens, ut in ulnis suis sopito excuteret curam Troianorum et sic Argivis victoriam pararet. Quam fabulam noster poeta, cui Iuppiter erat Iunonis maritus Olympius, ita mutavit ut Iovem a sua ipsius uxore amoris illecebris pellectum diceret. Sic multo languidior facta est fabula; prisca autem rerum facies pellucet cum „suum thalamum" dea intrare dicitur (vs. 166—168; cf. etiam Ο 32 sq., 39 sq.). — De Iove a Iunone decepto cf. etiam Τ 97.

αὐτοκασίγνητον καὶ δαέρα, ᾽χαῖρε δὲ θυμῷι·
Ζῆνα δ᾽ ἐπ᾽ ἀκροτάτησ κορυφῆσ πολυπίδακοσ Ἴδησ
ἥμενον εἰσέϝιδε, στυγερὸσ δέ ϝοι ἔπλετο θυμῷι.
᾽μερμήριξε δ᾽ ἔπειτα βοῶπισ πότνια Ἥρη
ὅππωσ ἐξαπάφοιτο Διὸσ νόον αἰγιόχοιο.
ἥδε δέ ϝοι κατὰ θυμὸν ἀρίστη ᾽φαίνετο βουλή, 161 = *B* 5
ἐλθέμεν᾽ εἰσ Ἴδην ἐῦ ἐντύνασαν ἕϝ᾽ αὐτήν,
εἴ πωσ ἱμείραιτο παραδραθέμεν φιλότητι [266
ϝῆι χροϊῆι, τῶι δ᾽ ὕπνον ἀπήμονά τε λιαρόν τε 164ᵇ = ε 268 η
χεῦαι ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμνισι. 165ᵇ cf. Θ 366
᾽βῆ δ᾽ ἴμεν᾽ εἰσ Θάλαμον, τόν ϝοι φίλοσ υἱὸσ ἔτευξε 166ᵇ cf. 338
Ἥφαιστοσ, πυκινὰσ δὲ θύρασ σταθμοῖσιν ἐπῆρσε 167 = 339
κληῖδι κρυπτῆι· τὴν δ᾽ οὐ θεὸσ ἄλλοσ ἄνοιγε.
ἔνθ᾽ ἣ γ᾽ εἰσελθοῦσα θύρασ ἐπέθηκε φαεινάσ. 169 = h. Ven. 60
169ᵇ cf. φ 45
ἀμβροσίηι μὲν πρῶτον ἀπὸ χροὸσ ἱμερόεντοσ
λύματα πάντ᾽ ἐκάθηρεν, ἀλείψατο δὲ λίπ᾽ ἐλαίωι
ἀμβροσίωι ϝεδανῶι, τό ῥά ϝοι τεθυωμένον ἦεν· 172 = h. Ven. 63
τοῦ καὶ κινυμένοιο Διὸσ κατὰ χαλκοβατὲσ δῶ 173ᵇ cf. *A* 426
ἔμπησ εἰσ γαῖάν τε καὶ οὐρανὸν ἵκετ᾽ ἀϋτμή.

---

157 sq. Om. Syr. (propter homoeoteleuton). ‖ 157. *πολυπίδακοσ*] sic Ar., *-δάκου* L. Cf. Ξ 307 *Y* 59, 218 *Ψ* 117 et § 83[10]. ‖ 158. Quidam —— ‖ 159. *β. π. Ἥ.*] *κατὰ φρένα καὶ κατὰ θυμὸν* pap. Morg. (ut *E* 671 al.). ‖ 160. *ὅππωσ*] *εἴ πωσ* l. a. in T (cf. vs. 163). ‖ 162. *ἕϝ᾽ αὐτήν* Knight] *ἑ αὐτήν* Gen. Apoll. Pron. 102, *ἑαυτήν Ω*, *ἑωυτήν* Zen. (cf. *P* 551). ‖ 163. *εἴ πωσ*] *ὅππωσ* l. a. in A (cf. vs. 160). ‖ 165. *χεῦαι* vHerwerden] *χεύηι Ω*, *χεύαι* Naber (cf. § 113). ‖ 166. *δ᾽(ὲ)*] *ῥ᾽* Syr. (cf. vs. 188). ‖ 168. *τὴν*] *τὸν* pap. 732, *τὰσ* l. a. ant. ‖ 169. *ἐπέθηκε*] *ἐπιθεῖσα* Zen. ‖ 170. *ἱμερόεντοσ*] *ἀθανάτοιο* Plut. Mor. 693 *b*. ‖ 171. *λίπ᾽ ἐλαίωι*] *χρόα λευκὸν* Athen. 688 *d*. ‖ 172. *ϝεδανῶι*] *ἑανῶι* pap. 732 Athen. 688 *e*, item codd. h. Ven. 63. ‖ 173. *κατὰ* Ar. L] *ποτὶ Ω*.

---

162. ἐλθέμεν᾽(αι)] § 125.
— ἐῦ ἐντύνασαν] cf. B 253.
— ἕϝ᾽(ε)] § 93.
163. παραδραθέμεν] § 126.
164. χροϊῆι] *corpori*, † pro χροΐ. Cf. ἠοῖϊ = ἠώσ δ 447, Ζεφυρίη = Ζέφυροσ η 119, ἑταῖροσ (i. e. ἑτάριοσ) = ἔταροσ passim, παρθενικαί = παρθένοι Σ 567 al.
165. ἐπὶ] praepositio soli substantivo βλεφάροισι apta etiam cum voce φρεσί iungitur per zeugma (cf. Δ 282).
— πευκαλίμνισι] cf. Θ 366.
168. ἄνοιγε] § 241.
171. λύματα] cf. A 314.
— λίπ᾽ (λιπὶ)] § 13.
172. ϝεδανῶι] *suavi*. Adiectivum a stirpe σϝεδ (cf. ϝαδεῖν, ϝηδύσ) ductum non nisi versu par. redit.
— τεθυωμένον] *fragrans*, id quod alibi θυῶδεσ vel θυόεν. Redit h. Ap. 184 (?) Ven. 63 fr. Cypr.; de structura verborum cf. N 340.
173. καὶ κινυμένοιο] *vel si moveatur*. Non *sparsum* tantum sed vel *motum* odore suo caelum et terras implet.
— χαλκοβατὲσ δῶ] cf. A 426.

τῶι ῥ' ἥ γε χρόα καλὸν ἀλειψαμένη ἰδὲ χαίτας
πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινοὺς
καλοὺς ἀμβροσίους ἐκ κράατος ἀθανάτοιο. 177b cf. A 530a
ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ϝεανὸν 'ϝέσαθ', ὅν ϝοι Ἀθήνη
ἔξυσ' ἀσκήσασα, 'τίθει δ' ἐνὶ δαίδαλα πολλά·
χρυσείοισι δ' ἐνετῆισι κατὰ στῆθος 'περονᾶτο.
'ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοισ' ἀραρυῖαν,
ἐν δ' ἄρα ἕρμαθ' ἕηκεν ἐϋ τρητοῖσι λοβοῖσι
τρίγληνα μορόεντα· χάρισ δ' ἀπελάμπετο πολλή. 183 = σ 298
κρηδέμνωι δ' ἐφύπερθε 'καλύψατο δῖα θεάων
καλῶι νηγατέωι, λευκὸν δ' ἔεν ἠέλιοσ ὥσ·
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα. 186 = B 44
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ 'θήκατο κόσμον, 187 cf. H 207
'βῆ ῥ' ἴμεν' ἐκ θαλάμοιο, καλεσσαμένη δ' Ἀφροδίτην
τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸσ μῦθον ἔϝειπε·
„ἦ ῥά κέ μοί τι πίθοιο, φίλον τέκοσ, ὅττι κε ϝείπω; 190a = Δ 93
ἠέ κεν ἀρνήσαιο, κοτεσσαμένη τό γε θυμῶι,
οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεισ;"
τὴν δ' ἀμείβετ' ἔπειτα Διὸσ θυγάτηρ Ἀφροδίτη·
„Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο, 194 = 243 cf. E 721

177. ἀμβροσίους] καὶ μεγάλους Zen. Aristoph. || 181. ζώνην ... ἀραρυῖαν] -νηι ... -ρυίηι Ar. pap. 732 L. || 182. δ' ἄρα] δέ οἱ Syr., δέ τ' ἄρ Heyne. Cf. § 44[5]. — ἕρμαθ' ἕηκεν Knight] ἕρματα ἧκεν. || 183. τρίγληνα μορόεντα] sic Ar., -ν' ἀμορόεντα quidam olim, -ν' ἰμερόεντα Brandreth. || 185. λευκὸν] λαμπρὸν l. a. in A. || 188. ῥ'(α)] δ' pap. 732 H (cf. vs. 166). || 190. ῥά κε § 326] ρα (ῥ' ἄν) pap. 732, ῥά νυ Ω. Cf. Δ 93.

177. κράατος] § 82.

178. ἀμβρόσιον] cf. Ξ 178.

179. ἔξυσ'(ε)] est igitur ξυστὶς πέπλος (cf. Ar. Nub. 70).

— 'τίθει] i. q. alibi ἐνέπασσε, *intexuit*. Imperfectum ut M 56 ψ 178.

180. χρυσείοισ] § 57.

— ἐνετῆισι] *unculis*, quibus in foramina quaedam exigua immissis (a verbo ἐνίέμεναι) vestis clauditur. Vox †, quam hinc mutuatus est Callimachus fr. 149. Cf. Σ 401.

182. ἕρμαθ'(-τα)] *inaures* (a stirpe σερ-, *serere*). Vox non nisi loco par. σ 297 redit.

183. τρίγληνα μορόεντα] tribus γλήναισ sive *baccis* ornata (cf. Θ 164), μόροισ sive *rubis* similia. Utrumque epitheton parallelis tantum vs. redit.

184 sq. Matronae et puellae honestae cum in publicum prodeunt, *rica* (velamento *linteo*, λιπαρῶι) caput obnubunt. Cf. (B 117) Γ 141 Σ 382 X 406, 470—472 α 334 ζ 100 Genes. 24 § 65.

185. νηγατέωι] cf. B 43.

— ἕεν] § 302.

190. φίλον τέκοσ] sic matrona senior alloquitur iuniorem. *Diones* filia est Venus (cf. E 370).

αὖδα ὅ τι φρονέεισ· τελέσαι δέ με θυμὸσ ἀνώγει, 195 sq. = Σ 426 sq. ε 89 sq.
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί."
τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 197 cf. 300
„δόσ νῦν μοι φιλότητα καὶ ἵμερον, ὥι τε σὺ πάντασ
δάμνασαι ἀθανάτουσ ἠδὲ θνητοὺσ ἀνθρώπουσ.
εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίησ, 200b-202 = 301 sqq.
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,
οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐὺ τρέφον ἠδ' ἀτίταλλον, 202b cf. Π 191 τ 354
δεξάμενοι Ῥείησ, ὅτε τε Κρόνον εὐρύοπα Ζεὺσ
γαίησ νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσησ.
τοὺσ εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω· 205-207 = 304 sqq.
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆσ καὶ φιλότητοσ, ἐπεὶ χόλοσ ἔμπεσε θυμῶι. 207b = I 436
εἰ κείνω γε πέπεσσι παραιπεπιθοῦσα φίλον κῆρ
εἰσ εὐνὴν ἀνέσαιμι δμωθῆναι φιλότητι,
αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην."
τὴν δ' αὖτε προσέειπε φιλομμειδὴσ Ἀφροδίτη·
„οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔποσ ἀρνήσασθαι· 212 = Θ 358

195. ἀνώγει L et l. a. in A] ἄνωγεν Ω. Cf. § 225. || 196. ἐστί] ἔσται Cant. (cf. ε 90). || 198. νῦν μοι] μοι νῦν C D, δή μοι L. || 199. δάμνασαι Bentley] δαμνᾶσ D, δαμνᾶι Ω, δάμνησ Brandreth. Cf. § 14, 296 et λ 221. — ἠδὲ] τε ἰδὲ Nauck. || 202. μ' ἐν] sic Ar. (?), με pap. Morg. A C; cf. Θ 337. || 203. Ῥείησ] -ασ Aristoph. Ar. (cf. § 5). || 208. κείνω] sic Ar., -νων Zen. Aristoph. pap. Morg.

195. αὖδα] § 191.

196. τετελεσμένον ἐστ[ *effici potest*; τετελεσμένοσ igitur h. l. et locis par. id quod τελεστόσ valet, et inter locutiones de quibus ad X 203 sermo fit haec est referenda. Conferantur loci ubi ratione inversa adiectiva verbalia *id quod factum est* indicant.

197. προσηύδα] § 191.

200 sq. Cf. A 423–427.

201. γένεσιν] etiam vs. 246, 302 Oceanus hoc vocabulo designatur, quod alibi apud H. non extat. Cf. praeterea Φ 196 sq. et Verg. Georg. IV 382 *Oceanumque patrem rerum*.

203 sq. De *Crono* cf. Θ 478–481. — Tum cum patrem Cronum Iuppiter deturbavit in Tartarum, Rhea Croni uxor filiam Iunonem servandam tradidit Oceano Tethyique, sive avunculo et amitae, si sequimur genealogiam quam praebet Hesiodus (Oper. 133–136). Similis est locus ubi Vulcanus in spelunca *prope littus Oceani* aliquantisper degisse dicitur, a Iunone e caelo deiectus (Σ 395–405).

203. Ῥείησ] cf. A 596.

206 sq. Oceani et Tethyis discidium in prisca aliqua fabula fuisse enarratum ex hoc loco apparet; videtur autem et horum numinum (patris caelestis igitur et terrae matris) ἱερὸσ γάμοσ in carminibus vetustis celebratus fuisse (cf. vs. 346–351).

208. γε πέπεσσι] γ' ἐπέεσσι Ω.

209. ἀνέσαιμι] cf. N 657.

Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνησιν ἰαύεις.“ 213 cf. λ 261
ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα
ποικίλον, ἔνθα τέ οἱ θελκτήρια πάντ' ἐτέτυκτο·
ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς
πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων. 217b = I 554
τόν ῥά οἱ ἔμβαλε χερσί, φέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„τῆ νῦν, τοῦτον ἱμάντα τεῶι ἐγκάτθεο κόλπωι 219 cf. ε 346
ποικίλον, ὧι ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι 219b cf. 223 h. Cer. 287
ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῆισι μενοινᾶις.“ 221b = 264 ζ 180 o 111 cf. β 34 ρ 355
ὣς ἐφάτ', ἐμείδησεν δὲ βοῶπις πότνια Ἥρη, 222 cf. A 595
μειδήσασα δ' ἔπειτα ἑῶι ἐγκάτθετο κόλπωι. 223b cf. 219 h. Cer. 287
ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη,
Ἥρη δ' ἀΐξασα λίπε ῥίον Οὐλύμποιο, 225 = T 114
Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινὴν 226a cf. ε 50
σεύατ' ἐφ' ἱπποπόλων Θρηΐκων ὄρεα νιφόεντα,
ἀκροτάτας κορυφάς, οὐδὲ χθόνα μάρπτε ποδοῖιν·
ἐξ Ἀθόου δ' ἐπὶ πόντον ἐβήσετο κυμαίνοντα,
Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος.
ἔνθ' Ὕπνωι ξύμβλητο, κασιγνήτωι Θανάτοιο,

213. Aristoph. — || 215. τέ] δέ Ω. Cf. Θ 48. — (ἐ)τέτυκτο] τέτυκται Lips. (cf. E 729). || 216. ἔν δ' ὀαριστὺς] ἠδ' ὀ. l. a. ant. || 217. φρονεόντων] -ντος Aristot. Eth. Nicom. VII 7. || 221. γε νέεσθαι] sic Ar., γενέεσθαι (= γενήεσθαι!) Demetrius Ixion. || 222. ὣς φάτο, γήθησεν δὲ θεὰ λευκώλενος Ἥρη (cf. v. l. vs. 263) pap. Morg. || 223. ἑῶι] μέσωι Ar. (aut Zen.) A. Cf. τεῶι vs. 219. || 227. 'σεύατ'(ο)] ἔσσυτ' l. a. in A. — ἱπποπόλων] -νόμων l. a. in T, -νόμων l. a. in Lips.; cf. N 4. || 229. Ἀθόου § 62] Ἀθόω Ω. — ἐπὶ] ἐσ Zen. Aristoph. || 231. In pap. Morg. additur: ἐρχομένωι μετὰ φῦλα βροτῶν ἐπ' ἀπείρονα γαῖαν, item (sed κατὰ pro μετὰ) olim in aliis.

214. *Solvitque a pectore lorum*, pectori circumdatum ad sustentandas papillas. — Adiectivum esse κεστόν, non proprium huius lori magici nomen, quod erant qui putarent, observavit Ar.; cf. A 99.

216. ἔνι... ἔν... ἔν...] cf. E 739—742. Lori — non certorum quorundam ornamentorum in eo pictorum — vis arcana amorem ciebat, quapropter Iunonem hoc lorum secum ferre iussit Venus sinu vestis abditum.

221. ἄπρηκτον] mente add. τούτου.

227. Θρηΐκων] § 17.

228. οὐ... 'μάρπτε] leviter quidem hic illic *strinxit* cacumina terrestria, non vero pedibus *feriit*. Cf. E 778 et infra vs. 285.

230 sq. Per *Lemnum* cur iter fecerit Iuno, statim apparet tabula geographica inspecta; *Somnus* vero cur illic ei occurrisse dicatur non liquet. Sed et vs. 270—276 respicitur fabula hodie intermortua, fortasse etiam vs. 238—241.

231. κασιγνήτωι Θανάτοιο] cf. Λ 241.

ἓν τ' ἄρα ϝοι 'φῦ χειρὶ ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 232 = Z 253
„Ὕπνε, ϝάναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
ἠμὲν δή ποτ' ἐμὸν ϝέποσ ἔκλυεσ ἠδ' ἔτι καὶ νῦν
πείθε'· ἐγὼ δέ κέ τοι ϝείδω χάριν ἤματα πάντα.
κοίμησόν μοι Ζηνὸσ ὑπ' ὀφρύσιν ὄσσε φαεινώ,
αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
δῶρα δέ τοι δώσω καλὸν θρόνον, ἄφθιτον αἰεί,
χρύσεον· Ἥφαιστοσ δὲ ἐμὸσ πάῖσ ἀμφιγυήεισ
τεύξει ϝ' ἀσκήσασ, ὑπὸ δὲ θρῆνυν ποσὶν ἧσει, 240 cf. τ 57
τῶι κεν ἐπὶ σχοίησ λιπαροὺσ πόδασ εἰλαπινάζων." 241b = ρ 410
τὴν δ' ἀπαμειβόμενοσ προσεφώνεε ϝήδυμοσ Ὕπνοσ·
„Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο, 243 = 194
ἄλλον μέν κεν ἐγώ γε θεῶν αἰειγενετάων
ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῖ', ὅσ περ γένεσισ πάντεσσι τέτυκται·
Ζηνὸσ δ' οὔ κεν ἐγώ γε Κρονίονοσ ἄσσον ἰκοίμην,
οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτόσ γε κελεύοι.
ἤδη γάρ με καὶ ἄλλοτ' ἐφετμῆι σῆι ἐπίνυσσασ 249a = A 590

---

235. ϝείδω χάριν § 160[7]] (ε)ἰδέω χάριν Ω, χάριν εἰδέω Ar. ‖ 236. ὑπ'(ὀ)] sic Aristoph. Ar., ἐπ' Zen. ‖ 239. δὲ νHerwerden] δέ κ' Ω; sic τεύξει (-ηι) vs. 240 pro subiunctivo habendum, at cf. quod sequitur ἥσει. ‖ 240. ϝ'(ε)] adiecit Brandreth (cf. § 14). ‖ 241. ἐπὶ σχοίησ] ἐπίσχοιεσ Herodian. A C, quam lectionem e vetusta litteratura natam esse intellexit Alexander Cotyaeensis. Cf. § 114. — Olim quidam addebant: αὐτὰρ ἐπὴν δὴ νῶϊ κατευνηθέντε ἴδηαι, | ἀγγείλαι τάδε πάντα Ποσειδάωνι ἄνακτι (cf. vs. 354 sqq.). ‖ 242 et 253. ϝήδυμοσ § 41[3]] νήδ. ‖ 245. κατευνήσαιμι καὶ ἄν] *-σαιμ', ἢ καί? Cf. § 326. ‖ 246. Crates addebat versum: ἀνδράσιν ἠδὲ θεοῖσι, πλείστην δ' ἐπὶ γαῖαν ἵησιν (Plut. Mor. 938 d). ‖ 249. ἄλλοτ' ἐφετμῆι σῆι ἐπίνυσσασ] sic scripsimus, ἄλλο τεῆι ἐπίνυσσεν ἐφετμῆι Zen., ἄλλοτε ἦι (i. e. ἄλλοθ' ἑῆι) ἐπίνυσσεν ἐφετμῆι Parmeniscus, ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ Ar.; codd. haec omnia (ἐπίνυσκεν Hesych., cf. O 10 et Aesch. Pers. 830), ἐπίνυσσασ coniecerat Nauck.

---

233. ϝάναξ . . . θεῶν] nam etiam deos noctu tenet somnus; cf. A 605 sq.

234. ποτ'(ε)] cf. vs. 249 sqq.

235. πείθε'(ο)] § 117.

238—241. Hic quoque priscum argumentum haud difficulter agnoscitur. In posterorum certe fabulis celebratus fuit thronus Iunoni a Vulcano datus, sed fallaci consilio datus; nam cum in eo consedisset dea, laqueis detenta surgere non potuit (cf. θ 277).

239. ἀμφιγυήεισ] cf. A 607.

240. ὑπὸ . . . ἧσει] *subiciet*, sedili adiunctum, προσφυέ' ἐξ' αὐτοῦ, ut dicitur τ 58 (cf. Σ 390 α 131 δ 136 κ 315, 367); ita tamen ut scabellum facile a sella posset solvi (ρ 409, 462, 504).

246. Cf. vs. 201.

— Ὠκεανοῖ'(ο)] § 59.

247. οὔ κεν] § 326.

— Κρονίονοσ] -ῐο- etiam λ 620, -ῑω- ceteris locis.

248. ὅτε μὴ] cf. N 319.

249—257. Cf. A 590 sq.

ἧματι τῶι ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱὸς
ἔπλεε Ϝιλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας. 251[b] cf. γ 85
ἦ τοι ἐγὼ μὲν ἔθελξα Διὸς νόον αἰγιόχοιο,
ϝήδυμος ἀμφιχυθείς· σὺ δέ ϝοι κακὰ μήσαο θυμῶι, 253[a] = Ψ 63
ὄρσας' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας, 254 cf. λ 400, 407
καί μιν ἔπειτα Κόονδ' ἐῢ ναιομένην ἀπένεικας, ω 110
νόσφι φίλων πάντων. ὃ δ' ἐπεγρόμενος χαλέπαινε, 255 = ο 28
ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ' ἔξοχα πάντων 257[b] = Ω 113
ζήτεε· καί κέ μ' ἄϝιστον ἀπ' αἰθέρος ἔμβαλε πόντωι,
εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν.
τὴν ἱκόμην φεύγων, ὃ δ' ἐπαύσατο χωόμενός περ·
ἧζετο γὰρ μὴ Νυκτὶ θοῆι ἀποθύμια ϝέρδοι.
νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι."
τὸν δ' αὖτε προσέϝειπε βοῶπις πότνια Ἥρη·
„Ὕπνε, τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῆισι μενοινᾶις; 264[b] = 221
ἦ φὴς ὧς Τρώεσσιν ἀρηξέμεν' εὐρύϝοπα Ζῆν
ὡς Ἡρακλέεος πέρι χώσατο, παιδὸς ἑοῖο;
ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτεράων 267[b] = 275
δώω ὀπυιέμεναι καὶ σὴν κεκλῆσθαι ἄκοιτιν."

269 Πασιθέην, ἧς αἰὲν ἱμείρεαι ἤματα πάντα. 269 cf. 276 ε 210, 219

Requiritur aoristus (cf. *A* 591), minus autem placet *ἐφετμὴ σὴ ἐπίνυσσε*. In lectione Aristarchi ferri nequit *ἄλλο* pro *ἄλλοτε* (cf. *A* 590 *Υ* 90; dissimiles sunt *X* 232 *Ψ* 454). in Parmenisci lectione molestum est *ἐφετμὴ Ioνὶς minas* significans, Zenodoti lectio obscura. | 252. *ἔθελξα* L] *ἔλεξα Ω* (cf. § 232). || 255. *Κόονδ'(ε)* Callistratus C] *Κώνδ' Ω*. Cf. *B* 677. || 258. *'ζήτεε*] *δίζετο* vHerwerden (cf. § 200). || 259. *δμήτειρα θεῶν ἐσάωσε*] *ἐσάωσε θ. δμ.* vHerwerden. — *δμήτειρα*] *μήτειρα*(!) Zen. Aristoph. || 261. *θοῆι*] *φίλῃι* l. a. in T. || 263. Olim quidam legebant: *ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη* (cf. v. l. 222), | *χειρί τέ μιν κατέρεξεν <ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν>*. Suppl. Nauck; cf. *A* 361. || 265. *ἀρηξέμεν'*] *-γέμεν* pap. Morg. (cf. *B* 436). — *Ζῆν* § 80] *Ζῆ* | *ν'(α)* Ar. *Ω*. || 268. *δώω* vHerwerden] *δώσω Ω*. Nauck *ἐγὼ δὲ τεύν . . . δώσω*. Cf. *α* 223. || 269. Add. H Eust.

254. Ergo, ut Agamemnonis, sic et Herculis Troia capta redeuntis classem tempestate vexatam esse fabulae priscae ferebant.

258. ζήτεε] § 191.

260. ἱκόμην] *supplex* (ἱκέτης) *adii*, item X 123. Cf. Hes. Theog. 758.

261. μὴ] post ἄζεσθαι nunc, ut post verba *metuendi*.

— Νυκτὶ θοῆι] cf. K 394.

— ἀποθύμια] adi. †; cf. A 562.

266. Ἡρακλέεος] § 73.

267 sq. Imitatur Verg. Aen. I 72 sq.

267 et 275. ὁπλοτεράων] *puellarum*. Terminus -τερος id valet quod in κουρότερος, θηλύτερος, ἀγρότερος, similibus; opponuntur Gratiae virgines deabus matronis, qualis est Iuno, sive deae ὁπλότεραι deabus γεραιτέραις ἢ πρεσβυτέραις.

ὣς ᾽φάτ᾽, ἐχήρατο δ᾽ Ὕπνος, ἀμειβόμενος δὲ προσηύδα·
„ἄγρεε νῦν μοι ὅμοσσον ἀνάαστον Στυγὸς ὕδωρ,
χειρὶ δὲ τῇι ἑτέρηι μὲν ἕλε χθόνα πολυβότειραν,
τῇι δ᾽ ἑτέρηι ἅλα μαρμαρέην, ἵνα νῶϊν ἅπαντες
μάρτυροι ὦσ᾽ οἳ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες, 274 cf. O 225
ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων, 275b = 267
Πασιθέην, ἧς τ᾽ αὐτὸς ἐξέλδομαι ἤματα πάντα.“ 276 cf. 269
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ λευκώλενος Ἥρη, 277 = Ε 767
ὤμνυε δ᾽ ὡς ἐκέλευε, θεοὺς δ᾽ ὀνόμηνεν ἅπαντας
τοὺς Ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται.
αὐτὰρ ἐπεί ῥ᾽ ὅμοσέν τε ᾽τελεύτησέν τε τὸν ὅρκον, 280 = β 378 κ 346 h.Ap. 89 cf. μ 304
τὼ ᾽βήτην Λήμνου τε καὶ Ἴμβρου ϝάστυ λιπόντε,
ἠέρα ϝεσσαμένω, ῥίμφα πρήσσοντε κέλευθον. 282b = Ψ 501
Ἴδην δ᾽ ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν, 283 = Θ 47
Λεκτόν, ὅθι πρῶτον ᾽λιπέτην ἅλα· τὼ δ᾽ ἐπὶ χέρσου
᾽βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο ᾽σείετο ὕλη.
ἔνθ᾽ Ὕπνος μὲν ἔμεινε, πάρος Διὸς ὄσσε ϝιδέσθαι
εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ᾽ ἐν Ἴδηι
μακροτάτη πεφυυῖα δι᾽ ἠέρος αἰθέρ᾽ ἵκανε·

271. ἀνάαστον] ἄαατον (vel ἄατον) Ω, ἀάαστον Dawes, ἀνάατον Goebel. Cf. φ 91 χ 5 et ἀάσχετος pro ἀνάσχετος E 892 Ω 708. || 274. μάρτυροι] sic Ar., -ρεσ Zen. (cf. § 63). || 276. τ᾽(ε)] om. Zen. Aristoph. (cf. vs. 269 et ε 210). || 277. θεὰ λευκώλενος] βοῶπις πότνια Syr. (cf. O 92 Φ 377). || 279. Olim quidam addebant: ὤμνυε δ᾽ ἐκ πέτρης <τὸ?> κατειβόμενον Στυγὸς ὕδωρ (cf. O 37). || 281. Λήμνου τε καὶ Ἴμβρου] Λῆμνόν τε καὶ Ἴμβρον pap. 732, Λήμνοιο κατὰ μέγα l. a. in T. || 285. ὕπο (᾽)σείετο ὕλη Zen. Aristoph. Ar. pap. 732] ὑπεσείετο ὕλη Ω. Ad hiatum ante ὕλη vitandum Brandreth coniecit ἐσείετο ποσσὶν ὑφ᾽ ὕλη coll. N 19. Similis hiatus est ε 257. || 287. περιμήκετον] -κια Nauck (coll. N 63 ι 487 al.), item ζ 103.

271. ἄγρεε] § 191.

272 sq. χθόνα ... ἅλα] *glebam terrae et aquae marinae aliquid.* Cf. K 572.

274. ὦσ᾽(ι)] § 302.

— Κρόνον ἀμφὶς] cf. Θ 478—481.

278. ὤμνυε] § 145.

279. Cf. vs. 203 sq. et Θ 478—481, et de *Tartaro* Θ 13—16.

283. μητέρα θηρῶν] cf. Ι 141.

284. *Lecti* promunturii ut nunc fieret mentio, non situs locorum effecit, sed ipse nominis sonus, qui notionem τοῦ λέξασθαι in mentem vocat. Cf. B 303 et rupis nomen *Lehi* sive *Maxilla*, unde nota de Simsone hostes maxilla asini profligante fluxit fabula.

285. Cf. vs. 228.

286 sq. *Ibi Somnus prius se abdidit quam a Iove potuit conspici.*

287. περιμήκετον] redit hoc adiectivum ζ 103. Expectabatur περιμήκησ, sed cf. πάχετος = παχύσ θ 187 ψ 191.

288. Tam celsa fuit haec pinus, quae Magnae Matri sacra fuisse videtur (cf. Ov. Met. X 103 sq. al.), ut

ἔνθ' ἦστ' ὄζοισιν πεπυκασμένος ἐλατίνοισι,
ὄρνιθι λιγυρῇι ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσι
χαλκίδα κικλήισκουσι θεοί, ἄνδρες δὲ κύμινδιν.
Ἥρη δὲ κραιπνῶς προσεβήσετο Γάργαρον ἄκρον
Ἴδης ὑψηλῆς· ἶδε δὲ νεφεληγερέτα Ζεύς,
ὡς δ' ἔριδ', ὥς μιν ἔρος πυκινὰς φρένας ἀμφεκάλυψε, 294[a] cf. *T* 16 *Y* 424
οἷον ὅτε πρῶτόν περ ἐμισγέσθην φιλότητι,
εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.
ἔστη δ' αὐτῆς προπάροιθε, ἕπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 297 cf. *Ω* 286
„Ἥρη, πῆι μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις; 298[b] cf. 309
ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης." 299 cf. *E* 192
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 300 = 329 *T* 106 cf. *Ξ* 197
„ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης, 301[b]-303 = 200 sqq.
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,
οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐΰ τρέφον ἠδ' ἀτίταλλον·
τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω. 304-306 = 205 sqq.
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῶι.
ἵπποι δ' ἐν πρυμνωρείηι πολυπίδακος Ἴδης [Cer. 43
ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν. 308[b] = *υ* 98 h.
νῦν δὲ σέ' εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω, 309[b] cf. 298

294. ἔρος Syr.] ἔρως *Ω*. Cf. § 63. || 295. οἷον] οἷος L. — πρῶτόν περ Ar. A C] πρώτιστον *Ω* (-τα? cf. *δ* 577). || 299. κ'(ε)] om. Zen. Aristoph. — Versus fortasse interrogandi signo claudendus. || 303. μ' ἰν] με A C D (cf. vs. 202). || 304—306. Zen. — || 306. Post hunc Syr. repetit vs. 208 sq. || 307. πολυπίδακος Syr. T] -δάκου *Ω* (cf. vs. 157).

supra ipsas nubes emineret. Nebulae ex arborum ramis suspensae in montibus saepe cernuntur; ad huius autem pini in summo monte cretae cacumen nullae nubes tunc quidem adscendebant. Nullas unquam adscendere potuisse non ait poeta.

289. ἐλατίνοισι] § 21.

290 sq. Neque constat quaenam avis significetur (*accipitrum* genus ait Arist. Hist. An. IX 12 § 3), neque speciemne eiusmodi avis Somnus induisse nunc dicatur an ita ut soleant illae aves sub fronde pini se abdidisse. Cf. H 59 et Γ 151 sq. — De nominibus duplicibus cf. A 403 sq.; ad ἐν ὄρεσσι mente add. *degentem*.

294. δ' ἔριδ'(ε)] δ' ἴδεν *Ω*.

296. En testimonium disertum rei quam et alia multa docent: iustum Iovis cum Iunone matrimonium poetas Homerum aliquot aetatibus antegressos non habuisse cognitum.

300. προσηύδα] § 191.

302. Cf. vs. 201.

308. ἐπὶ τραφερήν τε καὶ ὑγρήν] *cum per terram firmam tum per maris aequor mobile.* Adi. τραφερός non nisi versibus par redit. Cf. E 903.

309. σέ'(ο)] § 92.

μή πώς μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ
οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο.“
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„Ἥρη, κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
νῶϊ δ' ἄγ' ἐν φιλότητι τραπήομεν εὐνηθέντε. 314 sq. cf. Γ 441 sq.
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσε,
ὡς σέο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.“ 328 = Γ 446
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 329 = 300
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες, 330 = Α 552
εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδησ ἐν κορυφῇσι, τὰ δὲ προπέφανται ἅπαντα!
πῶς κ' ἔοι εἴ τισ νῶϊ θεῶν αἰειγενετάων
εὕδοντ' ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
πεφράδοι; οὔ κεν ἐγώ γε τεὸν πρὸς δῶμα νεοίμην

317 οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Περίθοον θεόφιν μήστωρ' ἀτάλαντον· 318b cf. Η 366
οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
320 ἣ τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
ἣ τέκε μοι Μίνωα καὶ ἀντίθεον Ῥαδάμανθυν·
οὐδ' ὅτε περ Σεμέλης οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,
ἣ ῥ' Ἡρακλέεα κρατερόφρονα τέκνατο παῖδα,
325 ἣ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσι·
οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ϝανάσσης,
οὐδ' ὁπότε Λητοῦσ ἐρικυδέος, οὐδὲ σέ' αὐτῆς,

310. μετέπειτα] μετόπισθε Zen. Aristoph. D. In Iliade μετέπειτα non redit; in Odyssea est κ 519 al. || 314. εὐνηθέντε] -ντεσ Syr. D. || 316. περιπροχυθεὶς] περιπλεχθεὶσ Demetrius Ixion. || 317—327. Aristoph. Ar. ——. Cf. comment. || 320. ἀριδείκετον] πολὺ φίλτατον olim quidam (teste T). || 322. Μίνωα pap. Morg. Syr.] Μίνων τε Ar., Μίνω τε Zen. Ω.

314. τραπήομεν] § 122.

316. περιπροχυθεὶς] †. Idem verbi ἀμφιχυθήμεναι usus est vs. 253 al. et transl. δ 716; alibi dicitur ἀμφικαλύπτειν, e. g. supra vs. 294.

317—327. Iliadis poetae tribuendi non videntur. Uxori nomina pelicum enumerare neque decorum neque aptum ad persuadendum. Sed potuerunt olim ad *virginem* Iunonem haec dici (cf. vs. 153—158), aptissime autem ab ipso aliquo prisco poeta proferri, Iovem caeco amore subito correptum suis verbis narranti (vs. 317 ἠράσατο, 322 'τέκε ϝοι). Versus autem 327 videtur esse contextui haec adaptantis; quem versum novicium esse testatur contracta forma Λητοῦσ pro -όοσ (cf. § 77).

324. Ἡρακλέεα] § 73.

325. De *Dionyso* cf. Z 130—140.

327. σέ'(ο)] § 92.

329. προσηύδα] § 191.

335. οὔ κεν] § 326.

ἐξ εὐνῆσ ἀνστᾶσα, νεμεσσητὸν δέ κεν εἴη. 336ᵇ = Γ 410
ἀλλ' εἰ δή ῥ' ἐθέλεισ καί τοι φίλον ἔπλετο θυμῶι, 337 sq.ᵃ cf. Ψ 548 [sq.
ἔστιν τοι θάλαμοσ, τόν τοι φίλοσ υἱὸσ ἔτευξε 337ᵇ = ν 145 σ 113
Ἥφαιστοσ, πυκινὰσ δὲ θύρασ σταθμοῖσιν ἐπῆρσε· 338ᵇ cf. 166
ἔνθ' ἴομεν κείοντε, ἐπεί νύ τοι ἔϝϝαδεν εὐνή." 339 = 167
τὴν δ' ἀπαμειβόμενοσ προσέφη νεφεληγερέτα Ζεύσ·
„Ἥρη, μήτε θεῶν τό γε δέδϝιθι μήτε τιν' ἀνδρῶν 342 cf. Ε 827
ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφοσ ἀμφικαλύψω
χρύσεον· οὐδέ κε νῶϊ διαδράκοι Ἠέλιόσ περ,
οὗ τε καὶ ὀξύτατον πέλεται φάοσ εἰσοράεσθαι."
ἦ ῥα, καὶ ἀγκὰσ ἔμαρπτε Κρόνου παῖσ ϝὴν παράκοιτιν·
τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
λωτὸν ἐρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον
πυκνὸν καὶ μαλακόν, ὅσ ἀπὸ χθονὸσ ὕψόσ' ἔϝεργε.
τῶι ἓν ἐλεξάσθην, ἐπὶ δὲ νεφέλην ἐέσαντο
„τίσ δὲ σύ ἐσσι, φέριστε θεῶν, ὅσ μ' εἴρεαι ἄντην; 246a cf. Π 843 247a = Z 123
οὐκ ἀΐεισ, ὅ με νηυσὶν ἔπι πρυμνῆισιν Ἀχαιῶν
ϝοὺσ ἑτάρουσ ὀλέκοντα βοὴν ἀγαθὸσ βάλεν Αἴασ
χερμαδίοι πρὸσ στῆθοσ, ἔπανσε δὲ θούριδοσ ἀλκῆσ; 250b = P 81
καὶ δὴ ἐγώ γ' ἐφάμην νέκυασ καὶ δῶμ' Ἀΐδαο
ἵματι τῶιδ' ὄψεσθαι, ἐπεὶ φίλον ἄϊον ἧτορ."
τὸν δ' αὖτε προσέειπε ϝάναξ ϝεκάεργοσ Ἀπόλλων·

---

236. ἀνηκούστησεν] ἐν. vHerwerden (item Π 676; cf. Υ 14). || 239. ηὗρ'(ε)] εὗρε δ' L (cf. Δ 327). || 240. ἐσαγείρετο Ar. A] -ρατο pap. Morg. C D T. || 243. ἀγχόθι δ'(ἐ)] cf. B 172. || 245. ἧσ'(αι)] κεῖσ' Aristoteles? (cf. Metaph. III 5 de Anim. I 2). — ἀλλοφρονέων Aristot. l. l.] ὀλιγηπελέων Ω (ut O 24 ε 457 τ 356; cf. vs. 246). || 252. ὄψεσθαι] ἕξεσθαι Ar. (cf. ρ 448). — ἄϊον ἧτορ] ἧτορ ἄϊσθον vHerwerden (coll. Π 468 Υ 403). || 253. ϝεκάεργοσ] Διὸσ υἱὸσ C (cf. Υ 103 Φ 461).

---

237. ϝεϝοικὼσ] *celeritate similis*, quod N 62 dicitur ὥσ τε, non *specie* (cf. vs. 243 sqq. et Γ 151 sq.).

238. φασσοφόνωι] †. Ipsa vox φάσσα sive *palumbes* apud H. non invenitur.

240. ἐσαγείρετο θυμόν] item Φ 417. Quod uno verbo θυμηγερέειν dicitur η 283. — Animam divortium a corpore parantem vix etiam retinuit Hector. Cf. Λ 241.

242. Pro vocibus Διὸσ νόοσ αἰγιόχοιο expectabatur potius quod *flabra ventorum* vel simile quid significaret.

244. υἱὲ] § 17.

245. ἀλλοφρονέων] part. redit Ψ 698 κ 374, aor. Herodot. V 85. Ab adiectivo ἠλόσ (aeol. ἄλλοσ) *stolidus* (O 128) repetit Fick coll. Theocr. XXVII 1 XXX 13.

247. Audit dei vocem Hector, non ipsum deum cernit (cf. A 198).

249 sq. Res narrata est Ξ 409 sqq.

252. ἄϊον] verbum aliunde ignotum si sanum est (cf. not. crit.), valet *anhelare, spiritum vix etiam ducere posse*. Cf. θυμὸν ἀΐσθειν *animam efflare* Π 468 Υ 403.

„θάρσεε νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων
ἐξ Ἴδησ προέηκε παρεστάμεναι καὶ ἀμύνειν, 255ᵇ = P 563 cf. Φ 231
Φοῖβον Ἀπόλλωνα χρυσάορα, ὅσ σε πάροσ περ
ῥύομ' ὁμῶσ αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ' ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσι
νηυσὶν ἐπὶ γλαφυρῆσιν ἐλαυνέμεν' ὠκέασ ἵππουσ· 259ᵃ = E 327
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον
πᾶσαν λειανέω, τρέψω δ' ἥρωασ Ἀχαιούσ."
[P 456
ὣσ ϝειπὼν ἔμπνευσε μένοσ μέγα ποιμένι λαῶν. 262 = Y 110 cf.
ὡσ δ' ὅτε τισ στατὸσ ἵπποσ, ἀκοστήσασ ἐπὶ φάτνηι, 263-268 = Z 506 sqq.
δεσμὸν ἀπορρήξασ θείηι πεδίοιο κροαίνων,
εἰωθὼσ λούεσθαι ἐϋρρεέοσ ποταμοῖο, —
ῥίμφα ϝε γοῦνα φέρει μετὰ ϝήθεα καὶ νομὸν ἵππων
κυδιάονθ', ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοισ' ἀΐσσονται· ὃ δ' ἀγλαΐηφι πέποιθε, —
ὣσ Ἕκτωρ λαιψηρὰ πόδασ καὶ γούνατ' ἐνώμα 269 cf. X 24
269ᵇ cf. K 358
ὀτρύνων ἵππῆασ, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν. 270ᵇ = β 297
οἳ δ' — ὥσ τ' ἢ ἔλαφον κεραὸν ἢ' ἄγριον αἶγα 271ᵇ = Γ 24
ἐσσεύαντο κύνεσ τε καὶ ἀνέρεσ ἀγροιῶται, 272 = Λ 549
τὸν μέν τ' ἀλίβατοσ πέτρη καὶ δάσκιοσ ὕλη

256. χρυσάορα] cf. E 509. — περ A T] γε Ω (cf. N 465). || 265—268. Ar. —, Zen. solum vs. 265. || 266 sq. κυδιάονθ' ... πέποιθε] -όων ... -θώσ Ω. Cf. Z 509 sq. || 268. Cf. Z 511. || 270. ὀτρύνων] -νέων l. a. in T (cf. B 436). || 272. ἐσσεύαντο Ar.] -οντο Ω.

254. θάρσεε] § 191.

256. χρυσάορα] cf. E 509.

258. ἱππεῦσιν ἐπότρυνον] dativum hoc verbum etiam κ 531 adsciscit, ceteris locis accusativum.

263—270. Pristino vigore recuperato Hector huc illuc iam currit, ut fugientium bigas retorqueat in hostes (cf. vs. 307). Mox restituta acie et hostibus fugatis ipse currum conscendet, dein in vallum denuo irruet (cf. vs. 352).

263. στατὸσ ... ἀκοστήσασ] cf. quae ad Z 506 sunt observata.

264. πεδίοιο] cf. B 785.

— κροαίνων] cf. Z 507.

265. λούεσθαι ἐϋρρεέοσ ποταμοῖο] de verbo cf. § 295, de adiectivo § 73, de usu genitivi E 6.

266. κυδιάονθ' (-οντα)] § 191.

271—280. Hectore graviter vulnerato (cf. Ξ 409 sqq.) Aiax ceterique Achivi Troianos fugarunt: iam vero his rem restituit Hector a deo sanatus. Cervum qui persequi sibi videbantur, iis leo subito occurrit. Cum priore comparationis parte cf. Λ 473—477.

272. ἐσσεύαντο] cf. Γ 26.

273. Rupes capram servat, silva cervam.

— ἀλίβατοσ] *celsa*? Epitheton hoc

ἐρρύατ', οὐδ' ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν, 274 cf. Φ 495
τῶν δέ θ' ὑπὸ ϝιϝαχῆσ ἐφάνη λὶσ ἠϋγένειοσ 275b cf. P 109 Σ 318 δ 456
εἰσ ὁδόν, αἶψα δὲ πάντασ ἀπέτραπε καὶ μεμαῶτασ, —
ὣσ Δαναοὶ τῆοσ μὲν ὁμιλαδὸν αἰὲν ἔποντο, 277 cf. P 730
νύσσοντεσ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι, 278=N 147 P 731
αὐτὰρ ἐπεὶ 'ϝίδον Ἕκτορ' ἐποιχόμενον στίχασ ἀνδρῶν,
'τάρβησαν, πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμόσ.
τοῖσι δ' ἔπειτ' ἀγόρευε Θόασ Ἀνδραίμονοσ υἱόσ,
Αἰτωλῶν ὄχ' ἄριστοσ, ἐπιστάμενοσ μὲν ἄκοντι,
ἐσθλὸσ δ' ἐν σταδίῃ, ἀγορῇ δέ ϝε παῦροι Ἀχαιῶν
'νίκαον, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων·
ὅ σφιν ἐῢ φρονέων ἀγορήσατο καὶ μετέϝειπε·
„ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι· 286 = N 99
οἷον δ' αὖτ' ἐξαῦτισ ἀνέστη, κῆρασ ἀλύξασ,
Ἕκτωρ! ἦ θήν μιν μάλ' ἐϝέλπετο θυμὸσ ἑκάστου
χερσὶν ὕπ' Αἴαντοσ θανέμεν Τελαμωνιάδαο.
ἀλλά τισ αὖτε θεῶν ἐρρύσατο ἠδ' ἐσάωσε 290b cf. χ 372
Ἕκτορ', ὅ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσε· 291b cf. ξ 69
ὡσ καὶ νῦν ἔσσεσθαι ὀΐομαι, οὐ γὰρ ἄτερ γε
Ζηνὸσ ἐριγδούπου πρόμοσ ἵσταται ὧδε μενοινῶν.
ἀλλ' ἄγεθ', ὥσ κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντεσ. 294 = B 139

274. *ἐρρύατ'(ο)] εἰρύσατ' (vitiose -ρῦσ- pro -ρῡσ-). Cf. Δ 186. ‖ 277. τῆοσ (τεῖωσ) Zen.] εἴωσ Ar. Ω (cf. M 141 et § 323). ‖ 282. ἄκοντι] -ντοσ vHerwerden (cf. φ 406). ‖ 288. ἑκάστου] neglecto ϝ. ‖ 290. ἠδ'(ὲ) Bekker] καὶ Ω (item χ 372), Brandreth και ϝ (cf. ξ 279). Suspicionem movet vocula καί ante vocalem in arsi collocata h. l. et Ω 60 570 λ 113 (=161 μ 140), cf. § 14; manifesto autem vitio in thesi non correpta est Ω 641 β 230 (=ε 8), 232 (=ε 10).

*rupium*, cuius ignorantur origo et potestas, ut adiectivi αἰγίλιποσ (cf. I 15), redit O 619 Π 35 ι 243 κ 88 ν 196, et, quod mirum, Xen. Anab. I 4 § 4; h. Ven. 267 *arborum* est epitheton.

280. παραὶ ποσὶ κάππεσε θυμόσ] item fere nos: *het hart zonk hun in de schoenen*. In scholiis affertur Demosth. VII § 45, sed ad propriam locutionis vim agnoscendam utiliores sunt Aristophanis versus Pac. 241 Av. 66 Ran. 485.

282 sq. Et eminus et cominus pugnando valebat Thoas, cum δουρὶ βάλλων adversarios tum σχεδὸν ἀορὶ vel etiam hasta τύπτων. Cf. Hector se ipse collaudans H 240 sq.

282. ἄκοντι] dativi usus insolitus (cf. φ 406 et nota crit.).

284. 'νίκαον] § 191.

— περὶ μύθων] insolite dictum pro μύθοισι (*consiliis*, ut H 358 al.); cf. περὶ τόξων θ 225.

289. θανέμεν] § 126.

294. κεν] § 326.

πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι,
αὐτοὶ δ', ὅσσοι ἄριστοι ἐνὶ στρατῷι εὐχόμεθ' εἶναι,
στήομεν, εἴ κε πρῶτον ἐρύξομεν ἀντιάσαντες,
δούρατ' ἀνασχόμενοι· τὸν δ' οἴω καὶ μεμαῶτα 298ª = Λ 594
θυμῶι δρείσεσθαι Δαναῶν καταδύμεν' ὅμιλον."
ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο. 300 = H 379
οἳ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ϝάνακτα,
Τεῦκρον Μηριόνην τε Μέγην τ' ἀτάλαντον Ἄρηϊ,
ὑσμίνην ἤρτυνον, ἀριστῆας καλέσαντες,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπενέοντο.
Τρῶες δὲ προέτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ 306 = N 136
μακρὰ βιβάς. πρόσθεν δὲ 'κὶ' αὐτοῦ Φοῖβος Ἀπόλλων
ϝειμένος ὤμοιιν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν,
δρεινὴν ἀμφιδάσειαν ἀριπρεπέ', ἣν ἄρα χαλκεὺς
Ἥφαιστος Δί' ἔδωκε φορήμεναι εἰς φόβον ἀνδρῶν·
τὴν ἄρ' ὅ γ' ἐν χείρεσσιν ἔχων ἡγήσατο λαῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες, ὦρτο δ' ἀϋτὴ 312 cf. E 498
ὀξεῖ' ἀμφοτέρωθεν, ἀπὸ νευρῆφι δ' ὀϊστοὶ 313ᵇ cf. N 585
'θρῴσκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν 314 sq. cf. Λ 571
314ᵇ=Λ 553 [sq.
ἄλλα μὲν ἐν χρό' ἐπήγνυτ' Ἄρηϊ θοῶν αἰζηῶν, 315 cf. Θ 298
πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν, 316 sq. = Λ 573 sq.
ἐν γαίηι ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.
ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ' ἀτρέμα Φοῖβος Ἀπόλλων,

297. εἴ] ὥς A. — κε] ϝε Bentley. ‖ 298. δ' οἴω] δίω? Cf. § 295. ‖ 301. Αἴαντα] -ντε Zen. Aristoph. T (cf. K 53). ‖ 307. βιβάς] βιβῶν Ar. (?), βοῶν Zen.; cf. I' 22 M 277.

295—299. Copias intra vallum denuo recedere iussit Thoas, ubi tuti essent ab hostibus, fortissimum vero quemque interim obsistere Troianis irruentibus.

295. ἀπονέεσθαι] § 21.

297. στήομεν] § 122.

299. καταδύμεν'(αι)] § 125.

303. ὑσμίνην ἤρτυνον] cf. Λ 216.

305. ἀπενέοντο] § 21.

307—310. Hectorem et ceteros Troianos in pugnam ducit Apollo, ut antehac Mars (cf. Δ 439 E 592). *Nube* autem Apollo est abditus; cf. A 47, 198 et Σ 203 sq., ubi Minerva ipsi cui favet heroi Achilli aegidem circumdat. Aegidem ἀμφιδάσειαν sive *circacircum villosam* poeta vocando (cf. adiectivum simile ἀμφίκομος) *vellus* cogitare se testatur. Cf. B 447—449.

310. Δί' (Διὶ)] § 13.

— εἰς φόβον ἀνδρῶν] *ad viros in fugam coniciendos.*

315. χρό' (χροΐ)] § 13.

317. Cf. Λ 574.

τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πίπτε δὲ λαός· 319 = Θ 67
αὐτὰρ ἐπεὶ κατ' ἐνῶπα ϝιδὼν Δαναῶν ταχυπώλων
σεῖσ', ἐπὶ δ' αὐτὸσ ἄϋσε μάλα μέγα, τοῖσι δὲ θυμὸν
ἐν στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδοσ ἀλκῆσ. 322ᵇ = Π 357
οἳ δ', ὥσ τ' ἠὲ βοῶν ἀγέλην ἢ πῶϋ μέγ' οἰῶν 323ᵇ = μ 299 cf. Δ 696
θῆρε δύω κλονέωσι μελαίνησ νυκτὸσ ἀμολγῷι,
ἐλθόντ' ἐξαπίνησ σημάντοροσ οὐ παρεόντοσ,
ὥσ ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδεσ· ἐν γὰρ Ἀπόλλων
ἧκε φόβον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδοσ ὄπαζε. 327ᵇ = Μ 255
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσησ ὑσμίνησ. 328 = Π 306
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρκεσίλαον ἔπεφνε,
τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων,
τὸν δὲ Μενεσθῆοσ μεγαθύμου πιστὸν ἑταῖρον·
Αἰνείασ δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξε·
ἦ τοι ὁ μὲν νόθοσ υἱὸσ Ὀϊλῆοσ θείοιο 333-336 = Ν 694 sqq.
ἦσκε Μέδων, Αἴαντοσ ἀδελφεόσ, — αὐτὰρ ἔναιε
ἐν Φυλάκηι, γαίησ ἄπο πατρίδοσ, ἄνδρα κατακτὰσ
γνωτὸν μητρυιῆσ Ἐριώπιδοσ, ἣν ἔχ' Ὀϊλεύσ, —
Ἴασοσ αὖτ' ἀρχὸσ μὲν Ἀθηναίων ἐτέτυκτο,
υἱὸσ δὲ Σφήλοιο καλέσκετο Βουκολίδαο.
Μηκιστῆα δὲ Πολυδάμασ, Ἐχίον δὲ Πολίτησ
πρώτηι ἐν ὑσμίνηι, Κλονίον δ' ἕλε δῖοσ Ἀγήνωρ.
Δηΐοχον δὲ Πάρισ βάλε νείατον ὦμον ὄπισθε
φεύγοντ' ἐν προμάχοισι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε. 342ᵇ = Ν 388
ὄφρ' οἳ τοὺσ ἐνάριζον ἄπ' ἔντεα, τόφρα δ' Ἀχαιοὶ 343ᵃ = Μ 195
τάφρωι ἐνιπλήξαντεσ ὀρυκτῆι καὶ σκολόπεσσι 344 cf. Μ 72

---

322ᵇ. *φόβου δ' ἐμνήσατο Ἕκτωρ* Galen. V 298. || 324. *κλονέωσι* A] *-ουσι Ω*. || 330 *χαλκοχιτώνων*] *καρτεροθύμων* pap. Morg. et l. a. in A. || 333 et 336. *Ὀϊλῆοσ* et *Ὀϊλεύσ*] litteras *οιλ* Zen. interpretabatur *ὁ Ἰλ.* || 339. *Μηκιστῆα δὲ* Brandreth] *Μηκιστῆ(ν)* vel *-ῆν δ' ἕλε Ω* (cf. *χ* 266 et § 76), *Πολυδάμασ δ' ἕλε Μηκιστῆ'* Peppmueller. || 342. *προμάχοισι*] *πυμάτοισι* l. a. ant. || 344. **ἐνιπλ. ὀρ. καὶ σκ.*] *καὶ σκ. ἐνιπλ. ὀρ. Ω* ord ne verborum vitioso.

---

323. οἰῶν] § 74.
324. νυκτὸσ ἀμολγῶι] cf. Λ 173.
325. σημάντοροσ] cf. Κ 485.
326 sq. ἐν . . . ἧκε φόβον] cf. Λ 402.
328. κεδασθείσησ ὑσμίνησ] cf. Λ 216.
330 sq. τὸν μὲν . . ., | τὸν δὲ . . .] *quem posteriore loco dixi . . ., illum vero* (*Stichium*) . . .; cf. B 495 N 195.
333 sq. De *Medonte* cf. M 371.
334. ἀδελφεόσ] cf. Γ 238.
339 Pater et filius simul cecide-runt; cf. Θ 333.
— Πολυδάμασ] § 21.
344. ἐνιπλήξαντεσ] cf. M 72.

ἔνθα καὶ ἔνθ' ἐφέβοντο, 'δύοντο δὲ τεῖχος ἀνάγκηι.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας· 346 = Z 110
„νηυσὶν ἐπισσεύεσθ', ἐάειν δ' ἔναρα βροτόεντα. 347b cf. P 13
ὃν δέ κ' ἐγὼν ἀπάνευθε νεῶν ἐτέρωθι νοήσω, 348 cf. B 391
αὐτόθι ϝοι θάνατον μητίσομαι, οὐδέ κε τόν γε
γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
ἀλλὰ κύνες ϝερύουσι πρὸ ϝάστεος ἠμετέροιο."
ὣς ϝειπὼν μάστιγι κατωμαδὸν ἤλασεν ἵππους,
κεκλόμενος Τρώεσσι κατὰ στίχας. οἳ δὲ σὺν αὐτῶι 353a cf. Δ 91
πάντες ὁμοκλήσαντες ἔχον ϝερυσάρματας ἵππους
ϝηχῆι θεσπεσίηι· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
εἰς μέσσον κατέβαλλε, 'γεφύρωσεν δὲ κέλευθον 357b cf. Φ 245
μακρὴν ἠδ' εὐρεῖαν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ 358b = Φ 251
γίγνεται, ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ἥηι. 359 cf. Π 590 Ψ 432
τῆι ῥ' οἵ γε προχέοντο φαλαγγηδόν, πρὸ δ' Ἀπόλλων,
αἰγίδ' ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν 361a cf. B 447

347. ἐπισσεύεσθ', ἐάειν Fick] -εσθαι, ἐᾶν Ω, -εσθον, -ἐᾶν Zen. (cf. Γ 459 et § 52). || 349. κε] νυ Ω. Cf. Δ 93. || 353. κατὰ L] ἐπὶ Ω. Cf. Δ 91. || 356. ποσσὶν] χερσὶν Zen. || 359. ἥηι § 122] ἥ(ι)σι.

347. ἐάειν] § 191.

348. δέ κ'(ε)] § 326.

349. αὐτόθι] § 322.

351. ϝερύουσι] § 147.

352. Currum igitur Hector denuo nunc conscendit. Cuius rei mentionem nullam esse factam fortasse miretur quis, quoniam vs. 269 sq., 307 pedes erat heros. Non tamen vera haec est molestia. Nam tunc certe, cum vulneratus e pugna avectus est (Ξ 429 sqq.), bigis est usus, ut ferebat ratio; eadem tulit ut etiam in pugnam rediens iis veheretur: praesto igitur ei iam fuit currus. Nostro autem loco (vs. 347) quod dicit: νηυσὶν ἐπισσεύεσθαι, hoc est: *quin curribus conscensis quamprimum denuo petimus vallum!* Cf. vs. 263—270 et Patroclus Π 404, 411 stans in terra firma, vs. 378 vero et 427 curru vectus, vel Achilles pedes pugnans Υ 472, 484, curru vero usus vs. 495—502.

— κατωμαδὸν] *brachio sublato, vehementer.* Cf. Γ 362.

358. ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ | γίγνεται] cf. K 357.

361—366. Vallum partim tantum, ut fossam, ab Apolline deletum esse docet contextus; cf. M 12 et H 337—343, et de *aegide* B 447—449. Achivos autem damna ab hostibus (Ξ 15, 55) et ipso deo eorum munimentis illata mox post pugnam reparasse, non dixit quidem poeta, eiusmodi quisquiliis immorari dedignatus, sed per se intellegitur; et ipsum quoque poetam id voluisse testatur Iliadis finis, ubi Mercurius Priamum non per patentem aliquam aggeris deiecti partem sed per ipsam portam in castra Achivorum adducit.

ῥεῖα μάλ', ὡς ὅτε τις ψάμαθον πάϊς ἄγχι θαλάσσης,
ὅς τ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃφι,
ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.
ὣς ῥα σύ, ἦϊε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζὺν
σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φύζαν ἐνῶρσας.

ὣς οἳ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες, 367b-369 = Θ 345 sqq.
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
χεῖρας ἀνίσχοντες μεγάλ' ηὐχετάοντο ἕκαστος.
Νέστωρ αὖτε μάλιστα, γερήνιος οὖρος Ἀχαιῶν, 370 = 659 cf. Θ 80
ηὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα· 371 = ι 527
„Ζεῦ πάτερ, εἴ ποτέ τίς τοι ἐν Ἀργεῖ περ πολυπύρωι
ἢ βοὸς ἢ ὄϊος κατὰ πίονα μηρία καίων 373 cf. δ 764
ηὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας, 374b = ν 133 cf. B 112
τῶν μνῆσαι, καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ,
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς." 376 = Θ 244
ὣς ἔφατ' εὐχόμενος, μέγα δ' ἔκτυπε μητιέτα Ζεὺς
ἀράων ἀΐων Νηληϊάδαο γέροντος.
Τρῶες δ' ὡς ἐπύθοντο Διὸς κτύπον αἰγιόχοιο,
μᾶλλον ἐπ' Ἀργείοισ' ἔθορον, μνήσαντο δὲ χάρμης. 380 cf. Θ 252
οἳ δ', ὥς τε μέγα κῦμα θαλάσσης εὐρυπόροιο
νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὅππότ' ἐπείγηι
βίσ ἀνέμοι', — ἦ γάρ τε μάλιστά γε κύματ' ὀφέλλει, —
ὣς Τρῶες μεγάληι βιβαχῆι κατὰ τεῖχος ἔβαινον,

363. νηπιήφι § 46] -ήεσιν. || 369. μεγάλ'(α)] cf. Θ 347. || 370. αὖτε] δ' αὖτε Syr. H. || 377. ἔκτυπε] ἔκλυε Zen. || 384. ἔβαινον] ἔβησαν pap. Morg. A².

362 - 364. Simili imagine usus Heraclitus „αἰὼν" ait „παῖς ἐστι παίζων πεττεύων" (fr. 52 Diels), ut tempus significaret rerum edax, quod cuncta φαίνει τ' ἄδηλα καὶ φανέντα κρύπτεται (Soph. Ai. 647). — De particularum ὡς ὅτε usu cf. B 394.

365. ἦϊε] ignotae originis vocativus redit Υ 152 h. Ap. 120; Aristarchus ἦϊε scribebat, *iaculatorem* (ἀφήτορα I 404) interpretatus.

368 sq. κεκλόμενοι ... ηὐχετάοντο] cf. Γ 80 et de termino -τάοντο § 191.

370. γερήνιος] cf. B 336.

— οὖρος] cf. Ψ 112.

379 sq. Troiani cum audiverunt tonitru a montis sui deo Idaeo editum, animo etiam magis sunt confirmati. Cf. Δ 44—49.

381 — 384. Simili imagine poeta usus est vs. 624 sq., de uno Hectore illic locutus.

383. ἀνέμοι'(ο)] § 59.

384. κατὰ τεῖχος ἔβαινον] cf. N 737.

ἵππους δ' εἰσελάσαντες ἐπὶ πρύμνηισ' ἐμάχοντο
ἔγχεσιν ἀμφιγύοισ' αὐτοσχεδόν, οἳ μὲν ἀφ' ἵππων,
οἳ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες
μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο
ναύμαχα κολλήεντα, κατὰ στόμα ϝειμένα χαλκῶι.

Πάτροκλος δ', ὅσ μὲν Ἀχαιοί τε Τρῶές τε
τείχεος ἀμφ' ἐμάχοντο θοάων ἔκτοθι νηῶν,
τόφρ' ὅ γ' ἐνὶ κλισίηι ἀγαπήνορος Εὐρυπύλοιο
ἧστό τε καὶ τὸν ἔτερπε λόγοισ', ἐπὶ δ' ἕλκεϊ λυγρῶι
φάρμακ' ἀκέσματ' ἔπασσε μελαινάων ὀδυνάων.
αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένουσ ἐνόησε — 395 cf. *M* 143
Τρῶασ, ἀτὰρ Δαναῶν 'γένετο ϝιϝαχή τε φόβοσ τε, — 396 = *M* 144
δή ῥα τότ' ὤιμωξεν καὶ ἐϝὼ 'πεπλήγετο μηρὼ — 397 = *M* 162
χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενοσ δὲ προσηύδα· — 397ᵇ sq. = 113 sq. 398 = *ν* 199
„Εὐρύπυλ', οὐκέτι τοι δύναμαι χατέοντί περ ἔμπησ
ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκοσ ὄρωρε. — 400ᵇ = *N* 122
ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἐγώ γε

---

389. *χαλκῶι*] *-κόν* Ambr. Z. || 391. *τείχεοσ*] *τείχεϊ*? cf. § 316¹ et *Π* 496, 533, 825 *Σ* 20. || 393. *λόγοισ'*] *λούων* l. a. in T (cf. § 295), *ϝέπεσσ'* vHerwerden (item *α* 56). Cf. *O* 162. || 394. *ἀκέσμαθ'(α)*] *ἀκήματ' Ω*, Ar. utrumque. || 395. *τεῖχοσ*] *νῆασ* Nitzsch. || 397. *δή ῥα τότ' ὤιμωξεν καὶ ἐϝὼ* Bekker] *ὤιμωξέν τ' ἄρ' ἔπειτα καὶ ὦ Ω* (item *ν* 198). Cf. *M* 162. || 398. *καταπρηνέσσ'(ι)*] cf. vs. 114.

---

385. Iam enim via lata et tuta in castra patet curribus.

386ᵇ sq. *Hi* (*Troiani*) *ex ipsis curribus* (cf. Δ 306 et Ε 144), *illi* (*Argivi*) *autem e navibus in quas* veluti in munimenta *confugerant.*

388 sq. De contis ναυμάχοισ cf. vs. 677 sq.

389. στομα] cf. K 8 et Λ 574.

390. Redimus ad Patroclum vulnus Eurypyli in libri Λ fine curantem Quem apud Nestorem (cf. Λ 665 – 762), dein apud Eurypylum aliquantisper detentum remansisse — neque erat cur festinaret, pugnare enim eum, ut ceteros Myrmidones, vetuerat Achilles, — eo consilio finxit poeta ut prorsus superiores interim fierent Troiani et redux ad Achillem Patroclus eum referret nuntium qui ad amici mentem permovendam satis valeret: ipsius quoque navibus et tabernaculis iam instare periculum.

— ὅσ] § 323.

391. Antehac Hector per portam effractam cum lecta manu suorum irruit quidem (M fin. — O 1), sed in castrorum interiora non pervenit, itaque pugna tum quoque „circa ipsum vallum" aestuasse recte nunc dicitur.

398. προσηύδα] cf. vs. 114.

400. παρμενέμεν] § 126.

401. ποτιτερπέτω] compositi huius (†) praepositio quam habeat vim non

σπεύσομαι εἰσ Ἀχιλῆα, ἵν' ὀτρύνω πολεμίζειν.
τίσ ϝοῖδ' εἴ κέν ϝοι σὺν δαίμονι θυμὸν ὀρίνω 403 cf. Λ 792
παρϝειπών; ἀγαθὴ δὲ παραίφασίσ ἐστιν ἑταίρου." 404 = Λ 793
405 τὸν μὲν ἄρ' ὣσ ϝειπόντα πόδεσ' φέρον· αὐτὰρ Ἀχαιοὶ 405 cf. Σ 148
Τρῶασ ἐπερχομένουσ 'μένον ἔμπεδον. οὐδ' ἐδύναντο
παυροτέρουσ περ ἐόντασ ἀπώσασθαι παρὰ νηῶν,
οὐδέ ποτε Τρῶεσ Δαναῶν ἐδύναντο φάλαγγασ
ῥηξάμενοι κλισίησι μιγήμεναι ἠδὲ νέεσσι.
410 ἀλλ' ὥσ τε στάθμη δόρυ νήϊον ἐξιθύνει
τέκτονοσ ἐν παλάμῃσι δαήμονοσ, ὅσ ῥά τε πάσησ
εὖ ϝείδῃ σοφίησ ὑποθημοσύνῃσιν Ἀθήνησ, 412b = π 233
ὣσ μὲν τῶν ἐπὶ ϝῖσα μάχη 'τέτατο πτόλεμόσ τε· 413 = M 436
ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσι. 414 cf. M 175
415 Ἕκτωρ δ' ἄντ' Αἴαντοσ ἐϝίσατο κυδαλίμοιο.
τὼ δὲ μιῇσ περὶ νηὸσ ἔχον πόνον, οὐδ' ἐδύναντο
οὔθ' ὃ τὸν ἐξελάσαι καὶ ἐνιπρῆσαι πυρὶ νῆασ, 418 cf. M 420
οὔθ' ὃ τὸν ἂψ ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων. 418b = Φ 93
ἔνθ' υἱὸ Κλυτίοιο Καλήτορα φαίδιμοσ Αἴασ,
420 πῦρ εἰσ νῆα φέροντα, κατὰ στῆθοσ 'βάλε δουρί· 420b sq.a = N 186 sq.
'δούπησεν δὲ πεσών, δαλὸσ δέ ϝοι ἔκπεσε χειρόσ.
Ἕκτωρ δ' ὡσ ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσι
ἐν κονίῃσι πεσόντα νεὸσ προπάροιθε μελαίνησ,

403. τίσ Bentley] τίσ δ'. || 409. ἠδὲ l. a. in A] οὐδὲ Ω. Cf. I 381 et v. l. P 42. — In pap. Morg. accedunt οὐδέ—πέλασθεν (= M 419 sq.). || 415. ἐϝίσατο § 201] ἐείσατο. || 417. νῆασ] νῆα Ar.

apparet; *insuper* (πρὸσ τῶι φαρμάκωι) interpretatur schol.

403. τίσ ϝοῖδ' εἴ κεν—ὀρίνω] cf. Π 860 sq.

— σὺν δαίμονι] cf. Λ 792.

405. Quae hic abrumpitur narratio, continuatur Π 1.

407. παυροτέρουσ] cf. B 123—133.

410—413. Ut trabs a perito artifice ad perpendiculum dolata, sic pugna in neutram partem inclinabatur. Non curvae vel sinuosae lineae speciem praebebat acies, sed rectissimae, ῥίσασ κεφαλὰσ ἔχουσα (cf. Λ 72). Compositum ἐξιθύνειν †, sed cf. locutio ἐπὶ στάθμην ἰθῦναι *ad lineam* sive *ad perpendiculum dirigere* i. e. *horizontalem collocare*: ε 245 ρ 341 φ 44, 121 ψ 197. Bilancem in neutram partem vergentem comparando eadem res illustrata est M 433—436.

412. σοφίησ] vox redit h. Merc. 483, 511; adiectivo σοφόσ aliisve verbis ab ea stirpe ductis poeta non utitur. De Minerva etiam naves struentium patrona cf. E 60 sq.

418. ἐπέλασσε] *accedere* (πίλνασθαι) *sivit*.

422. ἀνεψιὸν] Priami enim frater fuit Clytius (cf. Υ 238).

Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας· 424 sq. = *Δ* 285 sq.
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῶιδε,
ἀλλ' υἷα Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοὶ
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα." 428 = *Π* 500
ὣς ἔειπὼν Αἴαντος ἀκόντισε δουρὶ φαεινῶι.
τοῦ μὲν ἅμαρθ', ὃ δ' ἔπειτα Λυκόφρονα, Μάστορος υἱόν,
Αἴαντος θεράποντα Κυθήριον, ὅς ῥα παρ' αὐτῶι
ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισι,
τόν ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατος ὀξέϊ χαλκῶι,
ἑσταότ' ἄγχ' Αἴαντος· ὃ δ' ὕπτιος ἐν κονίηισι 434[b] = *Δ* 522
νηὸς ἄπο πρυμνῆς χαμάδις πέσε, λύντο δὲ γυῖα. 435[b] = *H* 16
Αἴας δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα· 436 cf. 466
„Τεῦκρε πέπον, δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος
Μαστορίδης, ὃν νῶϊ Κυθηρόθεν ἔνδον ἐόντα 438[b] cf. *N* 363
ξῖσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι·
τὸν δ' Ἕκτωρ μεγάθυμος ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ 440[b] sq.[a] cf. *E* 171
ὠκύμοροι καὶ τόξον, ὅ τοι πόρε Φοῖβος Ἀπόλλων;" 441[b] cf. *A* 72
ὣς φάθ', ὃ δὲ ξυνέηκε, θέων δέ ῥα ἄγχι παρέστη 442[a] = *B* 182
442[b] = 649

430. *Μάστορος*] *Μήστ.* C. || 439. *τοκεῦσιν*] *τέκεσσιν* Zen. || 442. In pap. Morg. additur *στήθεϊ—ἑταίρων* (= vs. 650).

424 sq. Cf. B 816—877.

427. *σαώσατε*] eius corpus, *αὐτόν* (A 4). Nam vulnus fatale Clytio inflictum fuisse poeta modo dixit. — Cf. vs. 523 sq.

428. *νεῶν ἐν ἀγῶνι*] *in coetu navium*, ibi ubi crebrae naves stant subductae; item Π 239, 500 T 42. Cf. H 298 et *νηῶν ἄγυρις* Ω 141.

430. *ὃ δ'(ὲ)*] cf. A 191.

431 sq. et 438. Admirationem in hoc contextu facit mentio *Cytherorum* insulae, si poeta hanc voluit; cur enim huius insulae incola ad *Aiacem* potissimum confugerit, sive *Thessalum* hunc facimus heroëm, sive *Locrensem*, sive ipso poeta auctore *Salaminium* (cf. B 557)? Fortasse igitur praestat sumere Lycophronem e *demo Attico* Κυθήρωι sive Κυθήρρωι ortum fuisse. Nam ex *Attica* eum Salaminem in insulam vicinam confugisse, quemadmodum Phoenix ex Hellade, Patroclus Opunte, Epigeus Budeo confugit ad Peleum regem vicinum (cf. I 447 sq. Ψ 85 Π 572), id probabiliter profecto potuit fingi. Et videntur olim fuisse qui sic nostrum locum interpretarentur; cf. Steph. Byz. s. v. Κύθηρος. Quae si recte sunt disputata, conferendus est *Pandion* heros Atticus M 372 armiger Teucri sive alterius — ut ita dicamus — Aiacis (cf. N 198—202).

439. *ξῖσα φίλοισι τοκεῦσιν*] cf. M 371.

440. *ποῦ νύ τοι ἰοί;*] cf. E 171.

441. Cf. B 827.

442. *θέων*] part. praes. ea ratione adhibitum de qua cf. A 137 sq.

τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην — 443 cf. φ 59
ἰοδόκον· μάλα δ' ὦκα βέλος Τρώεσσιν ἐφίει,
καί ῥ' ἔβαλε Κλεῖτον, Πεισήνορος ἀγλαὸν υἱόν,
Πολυδάμαντος ἑταῖρον ἀγαυοῦ Πανθοΐδαο,
ἡνία χερσὶν ἔχοντα. ὃ μὲν ᾽πεπόνητο καθ' ἵππους, — 448b = Λ 148
τῇι γὰρ ἔχ', ᾗι ῥα πολὺ πλεῖσται ᾽κλονέοντο φάλαγγες,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῶι — 449sq. = P 291 sq.
ἦλθε κακόν, τό ϝοι οὔ τις ἐρύκακε ϝιεμένων περ.
αὐχένι γάρ ϝοι ὄπισθε πολύστονος ἔμπεσεν ἰός
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ ϝοι ἵπποι — 452 = Θ 122
κεἰν' ὄχεα κροτέοντε ϝάναξ δ' ἐνόησε τάχιστα — 453a cf. Λ 160 b. Ap. 234
Πολυδάμας, καὶ πρῶτον ἐναντίος ἤλυθεν ἵππων· — 454b cf. ξ 278
τοὺς μὲν ὃ Ϝαστυνόωι Προτιάονος υἱέ' ἔδωκε,
πολλὰ δ' ἐπώτρυνε σχεδὸν ἰσχέμεν' εἰσοράοντα
ἵππους, αὐτὸς δ' αὖτις ἰὼν προμάχοισιν ἐμίχθη. — 457 cf. E 134
Τεῦκρος δ' ἄλλον ὀϊστὸν ἐφ' Ἕκτορι χαλκοκορυστῆι — 458a = Θ 309
ἤιννυτο, καί κέ ϝ' ἔπαυσε μάχης ἐπὶ νηυσὶν Ἀχαιῶν,
ἀλλ' οὐ ᾽λήθε Διὸς πυκινὸν νόον, ὅς ῥ' ἐφύλασσε
Ἕκτορ', ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχος ἀπέρρα,
ὅς ϝοι ἐϋστρεφέα νευρὴν ἐν ἀμύμονι τόξωι

460 εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν.

444. *βέλος* vChrist] *βέλεα*. Cf. § 71 et vs. 458. || 449—451. Quidam — || 450. (ϝ)*ιεμένων* A D T] *-νω(ι)* pap. Morg. C, Ar. utrumque, Ernesti *-νοσ*. Cf. *P* 292. || 451. *ὄπισθε*] *πρόσθε* (*prius*) Aristoph. || 452 sq. *ἵππω . . . -οντε* Bentley] *ἵπποι . . . -οντεσ*. || 455. *ὃ* Bentley] *ὃ γ'*. || 459. **ϝ'(ε)*] addidimus. — *μάχησ*] sic Zen., *μάχην* (Ar.?) Aristoph. || 460. Versum e lectione *μάχην* natum del. Bentley. || 462. *ἀπέρρα* § 150[5]] *ἀπηύρα*.

445—453. *Clitus* auriga Polydamantis, quem peditem pugnantem per densissimam turbam erat secutus, a Teucro sagitta in cervice est percussus, dum equos ab acie aversos cohibet ut Polydamanti recessum in currum praebeat.

446. Πολυδάμαντοσ] § 21.

449. Τρώεσσι] ipse Troianus. Hoc et ὄπισθε (vs. 451) de *hostes petenti* dictum fuit qui inepta ratus hos versus damnaret. Loco par. aptius sane Τρώεσσι χαρίζεσθαι dicitur heros *Pelasgus*.

454. Πολυδάμασ] § 21.

— ἐναντίοσ ἤλυθεν ἵππων] *conversus in bigas* (*currum*) *incurrit*. Non: „occurrit equis", nam hi non caput sed dorsum ei obvertebant.

455. υἱέ'(ϊ)] § 13.

463—465. Iuppiter Teucro arcus nervum fregit et ipsum arcum e manu excussit — quomodo? Immisso fulmine? Dixeris, quoniam Teucer *metu perculsus* est et *a deo* arcum sibi ereptum esse statim intellexit. Cf. etiam vs. 473 et 488 sq. Fortasse tamen praestat hanc rem non urgere,

ῥῆξ' ἐπὶ τῶι ῥεύοντι· παρεπλάγχθη δέ ῥοι ἄλλη
ἰὸς χαλκοβαρής, τόξον δέ ῥοι ἔκπεσε χειρός. 465b = Θ 329
Τεῦκρος δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα· 466 cf. 436
„ὦ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει 467b cf. Π 120
δαίμων ἡμετέρης, ὅ τέ μοι βιὸν ἔκβαλε χειρός,
νευρὴν δ' ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα
πρώϊον, ὄφρ' ἀνέχοιτο θαμὰ θρῴσκοντας ὀϊστούς."
τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
„ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰοὺς
κεῖσθαι, ἐπεὶ συνέχευε θεὸς Δαναοῖσι μεγήρας·
αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ καὶ σάκος ὤμωι
μάρναό τε Τρώεσσι καὶ ἄλλους ὄρνυθι λαούς. 475b = Τ 139
μὴ μὰν ἀσπουδεί γε δαμασσάμενοί περ ἕλοιεν 476a = Θ 512
νῆας ἐϋσσέλμους, ἀλλὰ μνησώμεθα χάρμης." 477b = χ 73
ὣς ἔφαθ', ὃ δ' αὖ τόξον μὲν ἐνὶ κλισίηφιν ἔθηκε,
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισι σάκος ἔθετο τετραθέλυμνον, 479 cf. χ 122
κρατὶ δ' ἐπ' ἰφθίμωι κυνέην ἐΰτυκτον ἔθηκε, 480 = Γ 336
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῶι, 482 = Κ 135
βῆ δ' ἴμεναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη. 482a = Γ 338

481 ἵππουριν, ὄφρεσιν δὲ λόφος καθύπερθεν ἔνευε. 481 = Γ 337

467. πόποι] πέπον l. a. in A. Cf. N 222. || 469. νεόστροφον] ἐΰστροφον l. a. ant., νεοστρεφὲς Ariston. ad Θ 328. || 470. πρώϊον] πρώιην Zen. || 473. Damnat Nauck (cf. Υ 312). || 478. δ' αὖ L] δὲ Ω. — κλισίηφιν] -ησιν Ω. Cf. N 168 et § 46. || 481. Habent B C D G, om. Ω.

quoniam certi nihil dixit ipse poeta et fluxa omnino est vocis Διὸς πληγή et similium potestas (cf. Β 782). — Similis est locus Θ 327 sq., ubi Teucer arcum tendens ab Hectore saxo feritur.

464. τῶι] *Hectori*. Ab ἐπί pendet dativus; cf. vs. 458.

467. ἐπὶ μήδεα κείρει] cf. Θ 8.

470. πρώϊον] respici libri Θ illum locum, ubi Teucer ab Hectore est vulneratus, cum per se vero parum est simile (cf. Θ 328), tum ne Teucri verba ita interpretemur dehortantur sequentia. Novum nervum hodie (vel *nuper*, si quis Zenodotum sequi malit) arcui non propterea alligavit quod prior esset fractus, sed veritus ne hic frangeretur si pergeret eo ubi.

476. ἀσπουδεί] cf. Θ 512.

479—483. Cf. N 198—202. — Lorica igitur Teucer non utitur.

479. τετραθέλυμνον] i. q. τετράπτυχον vel τετραβόειον. Cf. Ι 541. — Scutum validissimum, ut Ulixis est loco parallelo. Etiam gravius scutum uni Aiaci fuit Telamonio, omnium heroum robustissimo. Cf. Η 219—223 (et de Achillis clipeo a Vulcano cuso Υ 269).

480. Post scutum (cf. Γ 336 sq.) Teucer sumsit galeam; qua sagittarii non utebantur (cf. N 714—718).

483. ἴμεναι] § 125.

— θέων] part. praes. ut Α 137 sq.

Ἕκτωρ δ' ὡσ ἔϝιδεν Τεύκρου βλαφθέντα βέλεμνα, 484ᵇ = 489
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσασ· 485-487 = Λ 285 sqq.
„Τρῶεσ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρεσ ἔστε, φίλοι, μνήσασθε δὲ θούριδοσ ἀλκῆσ
νῆασ ἀνὰ γλαφυράσ· δὴ γὰρ Ἴδον ὀφθαλμοῖσι
ἀνδρὸσ ἀριστῆοσ Διόθεν βλαφθέντα βέλεμνα. 489ᵇ = 484
ῥεῖα δ' ἀρίγνωτοσ Διὸσ ἀνδράσι γίγνεται ἀλκή, 490ᵃ = δ 207 cf. ζ 108, 300 ρ 265
ἠμὲν ὅτοισιν κῦδοσ ὑπέρτερον ἐγγυαλίξηι, 491ᵇ cf. 644
ἠδ' ὅτινασ μινύθησι καὶ οὐκ ἐθέλησιν ἀμύνειν,
ὡσ νῦν Ἀργείων μινύθει μένοσ, ἧμι δ' ἀρήγει.
ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀϝολλέεσ· ὅσ δέ κεν ὔμων
βλήμενοσ ἠὲ τυπεὶσ θάνατον καὶ πότμον ἐπίσπηι, 495ᵇ = B 359
τεθνάτω! οὔ ϝοι ἀρεικὲσ ἀμυνομένωι περὶ πάτρησ 496ᵇ cf. M 243
τεθνάμεν· ἀλλ' ἄλοχόσ τε σάκ καὶ παῖδεσ ὀπίσσω,
καὶ ϝοῖκοσ καὶ κλῆροσ ἀκήρατοσ, εἴ κεν Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην εἰσ πατρίδα γαῖαν." 499 = H 460
ὣσ ϝειπὼν ὤτρυνε μένοσ θυμόν τε ϝεκάστου. 500 = E 470
Αἴασ δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο ϝοῖσ' ἑτάροισι· 501 cf. N 489
„αἰδώσ, Ἀργεῖοι! νῦν ἄρκιον ἢ ἀπολέσθαι 502ᵃ = E 787
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν.
ἦ ϝέλπεσθ', εἰ νῆασ ἕλοι κορυθαιόλοσ Ἕκτωρ,
ἐμβαδὸν ἴξεσθαι ϝὴν πατρίδα γαῖαν ἕκαστοσ;
ἦ οὐκ ὀτρύνοντοσ ἀκούετε λαὸν ἅπαντα
Ἕκτοροσ, ὅσ δὴ νῆασ ἐνιπρῆσαι μενεαίνει; 507 cf. Θ 235

---

491. ὅτοισιν § 102] ὁτέοισιν. — ἐγγυαλίξηι] -ζει Z (cf. B 436). || 492. μινύθησι pap. Morg. Syr. Apoll. Coni. 502] -θηι τε Ω. || 494. νηυσὶν ἀϝολλέεσ] -σι διαμπερὲσ Lycurg. Leocr. § 103. || 497 sq. παῖδεσ ὀπίσσω et ϝοῖκοσ καὶ κλῆροσ] νήπια τέκνα et κλῆροσ καὶ οἶκοσ Lycurg. l. l. || 500 et 514. θυμόν τε Bentley] καὶ θυμὸν. || 504. εἰ § 326] ἦν Ω, ϝέλπεσθ' αἴ κεν (del. ἦ) Brandreth. || 505. ἕκαστοσ] neglecto ϝ.

---

486. Cf. B 816—877.

491. κῦδοσ ὑπέρτερον] cf. Λ 290.

493. ἧμι] § 92.

494. ὔμων] § 92.

497. σάκ] § 62.

498. ἀκήρατοσ] *integer*, *intactus*, *incorruptus*; item ρ 532. Adiectivum rarius *purum* sive *limpidum* valet Ω 303, item quod inde productum est ἀκηράσιοσ ι 205 h. Merc. 72.

502. αἰδώσ] cf. E 787.

— ἄρκιον] cf. B 393.

505. ἐμβαδὸν] *pedibus*, *terrestri itinere*, id quod πεζῆι, sed accedente notione *placidi ingressus*; cf. att. βάδην (Ar. Lys. 254 al.). Absurda Aiax nunc rogat sciens; cf. Telemachi ad hospitem verba: „non peditem ad nos venisse te suspicor" α 173, — quasi dubium esse id posset.

οὐ μὰν εἴσ γε χορὸν κέλετ' ἐλθέμεν', ἀλλὰ μάχεσθαι.
ἡμιν δ' οὔ τισ τοῦδε νόοσ καὶ μῆτισ ἀμείνων,
ἢ αὐτοσχεδίηι μῖξαι χεῖράσ τε μένοσ τε·
βέλτερον ἢ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι,
ἢ δῃθὰ στρεύγεσθαι ἐν αἰνῆι δηϊοτῆτι 512ᵃ = μ 351
ὧδ' αὔτωσ παρὰ νηυσὶν ὑπ' ἀνδράσι χειροτέροισι."
ὣσ ϝειπὼν ὤτρυνε μένοσ θυμόν τε ϝεκάστου. 514 = E 470
ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον, Περιμήδεοσ υἱόν, 515 cf. P 306
ἀρχὸν Φωκήων, Αἴασ δ' ἕλε Λαοδάμαντα
ἡγεμόνα πρυλέων, Ἀντήνοροσ ἀγλαὸν υἱόν·
Πολυδάμασ δ' Ὦτον Κυλλήνιον ἐξενάριξε,
Φυλεΐδα' ἔταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
τῶι δὲ Μέγησ ἐπόρουσε ϝιδών· ὃ δ' ὕπαιθ' ἑλιάσθη
Πολυδάμασ. καὶ τοῦ μὲν ἀπήμβροτεν, — οὐ γὰρ Ἀπόλλων
εἴασ Πανθόου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι, —
αὐτὰρ ὃ γε Κροῖσμον στῆθοσ μέσον οὔτασε δουρί. 523ᵇ = N 438

510. *αὐτοσχεδίηι*] *-ην* l. a. ant. (ut *M* 192). ‖ 511. *ἢ ἀπολέσθαι . . . ἠὲ*] *ἐξαπολέσθαι* (ut *Z* 60) . . . *οὐδὲ* Nauck (cf. v. l. *I* 381 *O* 409 *P* 42). ‖ 513. Om. H in textu, del. Knight; cf. comment. ‖ 516. *Φωκήων*] *-κείων* pap. Morg. Syr. (cf. *B* 517), *Ἀθηναίων* l. a. ant. ‖ 522. *Πανθόου* § 14 et 61] *-θου Ω*, item *P* 9, 23, 40, 59. Cf. *Γ* 146. ‖ 523. *Κροῖσμον* laRoche] *-μου*. Cf. *N* 438 *Π* 597.

508. Non laetas aliquas choreas ducere suos iubet, sed μέλπεσθαι Ἄρηϊ (cf. H 241).

509. ἡμιν] § 92.

— τοῦδε . . . | ἢ] item Z 182 sq. τοῦ γε . . . | ἢ.

510. αὐτοσχεδίηι] mente add. μάχηι, i. q. ὁμόσε ἐλθόντεσ. Cf. E 830.

511 sq. *Satius est semel aut perire aut vivere* (= aut citam mortem oppetere aut victoriam laetam) *quam diu in aerumnis tergiversari.* — Locum imitatur Aesch. Prom. 750 sq.; similes sententiae sunt μ 350 sq. π 106 sq. υ 317 φ 154—156. Idem quod ἅπαξ nunc valet ἕνα χρόνον. De structura ἢ . . . ἠὲ . . . ἢ non trichotomiam sed dichotomiam efficienti cf. K 387—389 et 504—506.

512. στρεύγεσθαι] *tergiversandi* vel *cunctandi* hoc verbum versu par. redit; idem recentioribus dictum est στραγγεύεσθαι (Ar. Nub. 131 al.). Posteri interpretati sunt κακοπαθεῖν sive καταπονεῖσθαι (cf. Apoll. Rh. IV 384, 619, 1056); cui opinioni fortasse debetur versus 513.

515 sq. Satis apparet *Schedium* hunc Phocensium ducem ab altero Phocensium duce eiusdem nominis, qui in Catalogo (B 517) commemoratur et P 306 sq. occiditur ab Hectore, Aiaci ibi quoque opposito, primitus non fuisse distinctum, licet a poeta Iliadis aliud illic, aliud hoc loco eius patri tribuatur nomen.

517. πρυλέων] cf. E 743 sq.

518 et 521. Πολυδάμασ] § 21.

519. Φυλεΐδα'(ο)] § 55.

522. εἴασ] § 191.

'δούπησεν δὲ πεσών, ὃ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα. 524b = X 368 cf. Z 28
τόφρα δὲ τῶι ἐπόρουσε Δόλοψ, αἰχμῆσ ἐὺ ϝειδώσ,
Λαμπιάδησ, ὃν Λάμποσ ἐγείνατο φέρτατον υἱὸν
Λαομεδοντιάδησ, ἐὺ ϝειδότα θούριδοσ ἀλκῆσ· 527b cf. Λ 710
ὅσ τότε Φυλείδαο μέσον σάκοσ οὔτασε δουρὶ 528 cf. H 258 N 646
ἐγγύθεν ὁρμηθείσ. πυκινὸσ δέ οἱ ἄρκεσε θώρηξ,
τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺσ
ἤγαγεν ἐξ 'Εφύρησ, ποταμοῖ' ἄπο Σελλήεντοσ. 531b = B 659
ξεῖνοσ γάρ οἱ ἔδωκε ϝάναξ ἀνδρῶν 'Εὐφήτησ
εἰσ πόλεμον φορέειν, δηΐων ἀνδρῶν ἀλεωρήν· 533b = M 57
ὅσ οἱ καὶ τότε παιδὸσ ἀπὸ χροὸσ ἄρκεσ' ὄλεθρον. 534 cf. N 440
τοῦ δὲ Μέγησ κόρυθοσ χαλκήρεοσ ἱπποδασείησ
κύμβαχον ἀκρότατον 'νύξ' ἔγχεϊ ὀξυόεντι,
'ῥῆξε δ' ἄφ' ἵππειον λόφον αὐτοῦ· πᾶσ δὲ χαμᾶζε
κάππεσεν ἐν κονίησι, νέον φοίνικι φαεινόσ.
ἧοσ ὃ τῶι 'πολέμιζε, μένων δ' ἔτι 'ϝέλπετο νίκην,
τόφρα δέ οἱ Μενέλαοσ ἀρήϊοσ ἦλθεν ἀμύντωρ,
'στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθών, 'βάλε δ' ὦμον ὄπισθε· 541a = Λ 251
αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμάουσα,
πρόσσω ϝιεμένη, ὃ δ' ἄρα πρηνὴσ ἐλιάσθη.
τὼ μὲν ἐϝισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων

526. Λαμπιάδησ Knight] -πετίδησ. — φέρτατον υἱὸν Syr. A C] -τοσ ἀνδρῶν T. || 531. ἤγαγεν] -γετ' l. a. ant.; cf. Π 153. || 534. ἄρκεσ'(ε)] ἤρκει (ut N 440) pap. Morg. H L. — Quidam versum — || 539. δ' ἔτι Bentley] ἔτι δ' Ω, καὶ ἐϝέλπετο (ut N 609) Brandreth. || 540. ἦλθεν ἀμύντωρ] ἦλθ' ἐπαμύντωρ l. a. in A (Ar.?). Cf. N 384 et ad Λ 55. || 543. ϝιεμένη] ἰεμένω(ι) pap. Morg. H. || 544. ἐϝισάσθην § 201] ἐισάσθην.

529—534. Thoracis hic mentio ita fit, ut pateat insolitum id fuisse corporis tutamen et peregre advectum, perinde atque thoracem Agamemnonis Λ 19—28.

530. De verborum structura cf. N 340.

— γυάλοισιν ἀρηρότα] cf. E 99.

531. Cum rege *Ephyrae* urbis Thesprotiae (cf. B 659) hospitium intercessit principi *Dulichii* (cf. B 629), ut Ulixi Ithacensi cum Ilo Ephyraeo (α 259).

— ποταμοῖ'(ο)] § 59.

533. Imitatur Verg. Aen. V 262.

— δηΐων] § 17.

536. κύμβαχον] *conum* (aliamve partem) *galeae* significari docet contextus. Alia vocis vis est E 586.

537. αὐτοῦ] § 98.

538. νέον φοίνικι φαεινόσ] etiam resplendens purpura qua nuper — bello instante — tinctus erat.

539. ἧοσ] § 323.

— ὃ τῶι] Dolops Megeti.

541. εὐρὰξ] cf. Λ 251.

— ὦμον] Dolopis.

542. μαιμάουσα] § 190 sq.

συλήσονθ', Ἕκτωρ δὲ κασιγνήτοισ' ἐκέλευσε
πᾶσι μάλα, πρῶτον δ' Ἱκεταονίδην ἐνέπιπε
ἴφθιμον Μελάνιππον, ὃ τόφρα μὲν εἰλίποδας βοῦς
᾽βόσκ' ἐν Περκώτηι, δηΐων ἀπὸ νόσφιν ἐόντων·
αὐτὰρ ἐπεὶ Δαναῶν νέεσ ἤλυθον ἀμφιμέλισσαι, 549-551 = *N* 174 sqq.
ἂψ εἰσ Φίλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι,
᾽ναῖε δὲ πὰρ Πριάμωι, ὃ δέ μιν ᾽τίε μῖσα τέκεσσι.
τόν ῥ' Ἕκτωρ ἐνένιπε, μέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 552 cf. *π* 417 *σ* 78 *τ* 90 al. [sq.
„οὕτω δή, Μελάνιππε, μεθήσομεν; οὐδέ νύ σοί περ 553ᵇ sq. cf. *Θ* 201
ἐντρέπεται φίλον ἦτορ ἀνεψιόο κταμένοιο; 553ᵇ sq.ᵃ = *α* 59 sq.
οὐχ ὁράεισ οἷον Δόλοποσ περὶ τεύχε' ἔπουσι;
ἀλλ' ἔπε· οὐ γὰρ ἔτ' ἔστιν ἀποσταδὸν Ἀργείοισι
μάρνασθαι, πρίν γ' ἠὲ κατακτάμεν' ἠὲ κατ' ἄκρησ 557 cf. *M* 172
Φίλιον αἰπεινὴν ἑλέμεν κτάσθαι τε πολίτασ.“ 557ᵇ sq.ᵃ cf. *N* 772 sq.
ὣσ μεμαὼσ ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕσπετο μισόθεοσ φώσ. 559 = *Λ* 472
Ἀργείουσ δ' ὦτρυνε μέγασ Τελαμώνιοσ Αἴασ· [121ᵇ sq.ᵃ
„ὦ φίλοι, ἀνέρεσ ἐστὲ καὶ αἰδόα θέσθ' ἐνὶ θυμῶι! 561 = 661 cf. *N* 561ᵃ = *E* 529
αἰδομένων ἀνδρῶν πλέονεσ σάοι ἠὲ πέφανται, 563 sq. = *E* 531 sq.

562 ἀλλήλουσ τ' αἴδεσθε κατὰ κρατερὰσ ὑσμίνασ. 562 = *E* 530

545. *συλήσονθ'*(*-ντε*) vHerwerden] *συλήσειν*. Cf. vs. 583. Vitium peperit *ἐεισάσθην* ad *εἴδεσθαι* relatum (cf. schol.). ‖ 547. *τόφρα* Brandreth] *ὀ' ὄφρα*. Quod qui servant, conferunt *ὁτέ Λ* 64 *P* 178 et *ἧοσ M* 141 al. ‖ 552. *ὀ'*(*α*)] *ὀ'* Syr. et pap. Ber. 230. ‖ 558. *ἑλέμεν*] *ἐριπεῖν* Brandreth, *πεσέμεν* Wilde. An **κατακτάσθ' ... κτάμεναι* pro *κατακτάμεν' ... κτάσθαι*? Cf. tamen *χ* 253. ‖ 562. Om. pap. Ber. 230 et T, in pap. Morg. est post vs. 530 (loco alienissimo); ferri nequit nisi vs. 561ᵇ legatur *καὶ ἄλκιμον ἦτορ ἔλεσθε* (ut *E* 529). — *αἴδεσθε* § 289] *αἰδεῖσθε*. ‖ 563. *αἰδομένων*] sic Ar., *-νων δ' Ω* (cf. *E* 531).

545. κασιγνήτοισ'(ι)] non *germanos* fratres significari solos, sed et *patrueles*, docet contextus. Cf. Γ 238.

547—551. Melanippus, qui *Percotae* Priami armentorum curam habebat, nuper illinc Troiam rediit bello instante, ut *Abydo* Democoon, qui Priami equabus erat praepositus (Δ 500), Imbrius *Pedaso* (N 172—175).

548. δηΐων] § 17.

553. οὕτω δή] cf. B 158.

554. ἀνεψιόο] § 59.

555. ὁράεισ] § 191.

556—558. Quod poeta dicit hoc est: *cominus est pugnandum; nam nisi confodiamus hostes, illi urbem capient et cives caedentur*. Sed neglegentius neque satis perspicuis verbis haec sunt expressa; nam subiectum bis est mutatum (cf. β 227 χ 253) et duae locutiones permixtae sunt: *non licet eminus pugnare, sed* ... et: *cominus pugnandum est donec* ...

556. ἔπε'(ο)] § 117.

557ᵇ sq. Cf. N 772 sq. νῦν ὥλετο πᾶσα κατ' ἄκρησ | Φίλιοσ αἰπεινή.

558. ἑλέμεν] § 126.

561. αἰδόα] § 77.

φευγόντων δ' οὔτ' ἄρ κλέος ὄρνυται οὔτε τις ἀλκή."
ὣς ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον, 565 = Π 562
ἐν θυμῶι δ' ἐβάλοντο ϝέπος, φράξαντο δὲ νῆας
ἕρκεϊ χαλκείωι· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρε.
Ἀντίλοχον δ' ὤτρυνε βοὴν ἀγαθὸς Μενέλαος·
„Ἀντίλοχ', οὔ τις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν
οὔτε ποσὶν θάσσων οὔτ' ἄλκιμος ὡς σὺ μάχεσθαι·
εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλοισθα."
ὣς ϝειπὼν ὃ μὲν αὖτις ἀπέσσυτο, τὸν δ' ὀρόθυνε·
ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντισε δουρὶ φαεινῶι 573ᵇ-575 = Δ 496 sqq.
ἀμφὶ ϝὲ παπτήνας· ὑπὸ δὲ Τρῶες ϝεκάδοντο
ἀνδρὸς ἀκοντίσαντος. ὃ δ' οὐχ ἅλιον βέλος ἧκε,
ἀλλ' Ἱκετάονος υἱὸν ὑπέρθυμον Μελάνιππον
νισσόμενον πόλεμόνδε βάλε στῆθος παρὰ μαζόν· 577 cf. N 186
577ᵇ = Δ 480
δούπησεν δὲ πεσών, τὸν δὲ σκότος ὄσσε ἐκάλυψε. 578 = H 325
578ᵇ = Δ 461
Ἀντίλοχος δ' ἐπόρουσε κύων ὥς, ὅς τ' ἐπὶ νεβρῶι
βλημένωι ἀΐξηι, τόν τ' ἐξ εὐνῆφι θορόντα
θηρητὴρ ἐτύχησε βαλών, ὑπέλυσε δὲ γυῖα·
ὣς ἐπὶ σοί, Μελάνιππε, θόρ' Ἀντίλοχος μενεχάρμης
τεύχεα συλήσων. ἀλλ' οὐκ ἔλαθ' Ἕκτορα δῖον,
ὅς ῥά ϝοι ἀντίος ἦλθε θέων ἀνὰ δηϊοτῆτα. 584 cf. P 257
Ἀντίλοχος δ' οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστής, 585 cf. E 571
ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε θηρὶ κακὸν ῥέξαντι ϝεϝοικώς,
ὅς τε κύνα κτείνας ἢ βουκόλον ἀμφὶ βόεσσι
φεύγηι, πρίν περ ὅμιλον ἀϝολλισθήμεναι ἀνδρῶν·
ὣς τρέσε Νεστορίδης, ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ 589ᵇ sq. = Θ 158 sq.
ϝιχῆι θεσπεσίηι βέλεα στονόεντ' ἐχέοντο.
στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ϝέθνος ἑταίρων. 591 = Δ 595

565. ἀλέξασθαι] -ξέμεναι H (cf. N 475). || 567. ἕρκεϊ] ἔγχεϊ A C. || 578ᵇ. ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι pap. Morg. T (ut Δ 504 al.). || 587. βόεσσι] οἱ αὐτῶι Zen. || 588. φεύγηι] -ει Ω.

567. ἕρκεϊ χαλκείωι] cf. vs. 653.

569 sq. *Inter iuniores nullus te celerior vel fortior.*

571. εἰ ... βάλοισθα] *quid si ... ferias?* Cf. K 111.

— ἐξάλμενος] absolute nunc dictum; mente addi potest προμάχων (cf. vs. 573).

573. ἔθορε] *Antilochus.*

577. νισσόμενον πόλεμόνδε] Hectoris hortatu *denuo in pugnam irruentem* (cf. vs. 559).

581. ἐτύχησε βαλών] cf. Γ 368.

586—588. Cf. Verg. Aen. XI 810—813.

Τρῶες δὲ λίεσσι ϝεϝοικότες ὠμοφάγοισι 592b = E 782
νηυσὶν ἐπεσσεύοντο, Διὸς δ' ἐτέλειον ἐφετμάς·
ὅ σφισιν αἰὲν ἔγειρε μένος μέγα, θέλγε δὲ θυμὸν
Ἀργείων καὶ κῦδος ἀπήνυτο, τοὺς δ' ὀρόθυνε.
Ἕκτορι γάρ ϝοι θυμὸς ἐβούλετο κῦδος ὀρέξαι 596 = M 174
Πριαμίδηι, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ 596b = Λ 79
ἐμβάλοι ἀκάματον, Θέτιδος δ' ἐξαίσιον ἀρὴν
πᾶσαν ἐπικρήνειε· τὸ γὰρ μένε μητιέτα Ζεύς,
νηὸς καιομένης σέλας ὀφθαλμοῖσι ϝιδέσθαι.
ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν 601 cf. 69
θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξειν.
τὰ φρονέων νήεσσιν ἔπι γλαφυρῆισιν ἔγειρε 603 cf. Θ 531
Ἕκτορα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν· 604 cf. Ξ 375
μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχεσπάλος ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται βαθέης ἐν τάρφεσιν ὕλης, 606b cf. E 555
ἀφλοισμὸς δὲ περὶ στόμ' ἐγίγνετο, τὼ δέ ϝοι ὄσσε
λαμπέσθην βλοσυρῆισιν ὑπ' ὀφρύσιν, ἀμφὶ δὲ πήληξ
σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο.
καί ῥ' ἔθελε ῥῆξαι στίχας ἀνδρῶν πειρητίζων, 615b = M 47
ἦι δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα·
ἀλλ' οὐδ' ὧς δύνατο ῥῆξαι μάλα περ μενεαίνων.
ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠΰτε πέτρη

610 Ἕκτορος· αὐτὸς γάρ ϝοι ἀπ' αἰθέρος ἦεν ἀμύντωρ
Ζεύς, ὅς μιν πλεόνεσσι μετ' ἀνδράσι μοῦνον ἐόντα
τίμασε καὶ κύδαινε. μινυνθάδιος γὰρ ἔμελλε
ἔσσεσθ'· ἤδη γάρ ϝοι ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλείδαο βίηφι.

592. λίεσσι Brandreth] λείουσι. Cf. § 74. || 598. ἐμβάλοι Hermann] -λῃς. || 601. δὴ τοῦ] τούτου pap. Morg. || 609. μαρναμένοιο] μαιν. Ar. (coll. Φ 5). || 610—614. Zen. om., Ar. —; per se non improbandi, licet μοῦνον ἐόντα vs. 611 mire sit dictum, sed post vs. 596—599 molesti.

598. ἐξαίσιον] *immodicam, extraordinariam*, qua rerum qui futurus erat cursus ὑπὲρ αἶσαν aliquantisper est mutatus (cf. P 327), dum Achivis perniciem struxit deus ipsis favens.

599. ἐπικρήνειε] § 267.

605. Cf. Λ 596 et de ὡσ ὅτε B 394.

606. βαθέης] § 75.

607 sq. Similibus verbis Achillis furor martius pingitur T 365 sq.; vox ἀφλοισμός †, quam *spumam ebullientem* significare docet contextus (cf. φλοῖσβος). De galea Hectoris, Apollinis dono, cf. Λ 353 Π 799 sq.

608. βλοσυρῆισιν] cf. H 212.

612. τίμασε] § 191.

613. ἐπώρνυε] § 145.

618. πυργηδὸν] cf. Δ 334.

618b—621. Imitatur Verg. Aen. X 693—696.

ἁλίβατοσ μεγάλη, πολιῆσ ἀλὸσ ἐγγὺσ ἐοῦσα,
ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα 620ᵇ = Ξ 17
κύματά τε τροφόεντα, τά τε προσερεύγεται ἄντην· 621ᵃ cf. γ 29
ὣσ Δαναοὶ Τρῶασ μένον ἔμπεδον οὐδ' ἐφέβοντο. 622 = E 527
αὐτὰρ ὃ λαμπόμενοσ πυρὶ πάντοθεν ἔνθορ' ὁμίλωι,
ἐν δ' ἔπεσ', ὡσ ὅτε κῦμα θοῆι ἐν νηῒ πέσηισι
λάβρον ὑπὸ νεφέων ἀνεμοτρεφέσ· — ἣ δέ τε πᾶσα
ἄχνηι ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸσ ἀήτησ
ἱστίωι ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δεδριότεσ, τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται· —
ὣσ ἐδαΐζετο θυμὸσ ἐνὶ στήθεσσιν Ἀχαιῶν. 629 = I 8
αὐτὰρ ὅ γ', ὥσ τε λέων ὀλοόφρων βουσὶν ἐπελθών,
αἵ ῥά τ' ἐν εἰαμενῆι ἕλεοσ μεγάλοιο νέμονται 631 cf. Δ 483
μυρίαι, ἐν δέ τε τῆισι νομεὺσ οὔ πω σάφα ϝειδὼσ
θηρὶ μαχέσσασθαι ϝέλικοσ βοὸσ ἀμφὶ φονῆισι· —
ἦ τοι ὃ μὲν πρώτηισι καὶ ὑστατίηισι βόεσσι
αἰὲν ὁμοῦ στιχάει, ὃ δέ τ' ἐν μέσσηισιν ὀρούσασ
βοῦν ἔδει, αἳ δέ τε πᾶσαι ὑπέτρεσαν· — ὣσ τότ' Ἀχαιοὶ
θεσπεσίωσ ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διὶ πατρὶ
πάντεσ, ὃ δ' οἷον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆοσ φίλον υἱόν, ὃσ Εὐρυσθῆοσ ἀέθλων 639ᵇ cf. Θ 363

621. ἄντην Naber] αὐτήν Ar. Ω, ἀκτῆι pap. Ber. 230 T L. Cf. Θ 399 K 158 Ω 223 et § 98. ‖ 622. ὣσ Δαναοὶ Τρῶασ] ἐξ ἁλόσ· ὣσ Δαναοὶ l. a. ant. ‖ 626. ἄχνηι] -η Zen. — δεινὸσ] neglecto ϝ (δϝεινόσ), ut Hes. Op. 675. — ἀήτησ] ἀήτη Ar. A. Nominativus sing. †; legendumne δεινὴ ἀήτη? Similes controversiae (vel vitia) sunt Σ 477 δ 442 ι 315 τ 341. ‖ 635. ὁμοῦ στιχάει Bekker] ὁμοστιχάει. Cf. Σ 577 Suid. Hesych. et v. l. o 451. ‖ 639. ἀέθλων pap. Morg. H et l. a. in A] ἄνακτοσ (neglecto ϝ) Ω.

619. ἁλίβατοσ] cf. vs. 273.

621. τροφόεντα] cf. Λ 307.

623. Hector in medios hostes insiluit, ut fluctus in alvum navis vel leo in medium armentum. Cf. vs. 645.

624 sq. Cf. vs. 381 – 384 et de ὡσ ὅτε B 394.

625. ὑπὸ] § 315.

— ἀνεμοτρεφέσ] cf. Λ 256.

629. Imago pluribus verbis picta quam ad ipsam comparationem (vs. 624) indicandam necessaria erant, novam comparationem peperit.

630 – 638. Non decurrit sententia. Neque enim pronomini ὅ γε vs. 630 additur verbum finitum, neque nomini λέων; huic autem pronomen ὅ post quinque demum versus subiungitur, illi post septem versus dativus Ἕκτορι.

631. εἰαμενῆι] cf. Δ 483.

634. ὃ μὲν] *pastor.*

— ὑστατίηισι] *postremi agminis.* Cf. Θ 353.

637. Cf. N 54 et K 50.

639. Κοπρῆοσ] nomen ridiculum,

ἀγγελίην ὤιχνεσκε βίηι Ἡρακλεείηι.
τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἷὸς ἀμείνων
παντοίας ἀρετάς, ἠμὲν πόδας ἠδὲ μάχεσθαι,
καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
ὅς ῥα τόθ' Ἕκτορι κῦδος ὑπέρτερον ἠγγυάλιξε. 644ᵇ cf. 491
στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγ' ἔπαλτο,
τὴν αὐτὸς φορέεσκε ποδηνεκέ', ἔρκος ἀκόντων·
τῆι ὅ γ' ἐνὶ βλαφθεὶς ἔπεσ' ὕπτιος, ἀμφὶ δὲ πήληξ
σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος. [cf. B 334, 466 648ᵃ=Φ 593ρ542
Ἕκτωρ δ' ὀξὺ νόησε, θέων δέ ϝοι ἄγχι παρέστη, 649ᵇ = 442
στήθεϊ δ' ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων
κτεῖν'· οἳ δ' οὐκ ἐδύναντο, καὶ ἀχνύμενοί περ ἑταίρου,
χραισμέμεν· αὐτοὶ γὰρ μάλ' ἐδέδϝισαν Ἕκτορα δῖον.
εἰσωποὶ δ' ἐγένοντο νεῶν, περὶ δ' ἔσχεθον ἄκραι
νῆες, ὅσαι πρῶται ϝεϝρύατο· τοὶ δ' ἐπέχυντο. 654ᵃ cf. Ξ 75

640. ἀγγελίην Zen.] -ησ Ω, -ασ Leaf. Cf. Γ 206. ‖ 645. ἄντυγ' ἔπαλτο] ἄντυγι πάλτο Ω ἄντυγι ἄλτο l. a. ant. ‖ 646. ποδηνεκέ'(α) (A¹?) H¹] -κέσ Ω.

e prisco aliquo carmine desumtum, ut *Ucalegon* Γ 148. Regi ignavo et iniquo Eurystheo conveniebat praeco nihilo praestantior (cf. vs. 641) et a *stercore* nomen habens.

— Εὐρυσθῆος ἀέθλων] cf. Θ 363.

640. ἀγγελίην ὤιχνεσκε] cf. Γ 205 sq.

— Ἡρακλεείηι] § 73.

642. ἠμὲν πόδας ἠδὲ μάχεσθαι] cf. A 258.

645. ἐν ... ἄντυγ' ἔπαλτο] *impegit margini clipei.* Verbi ἐμπάλλειν (§ 274) hic est aoristus; cf. ἔκπαλτο *excussus est* Υ 483 et πάλλεται ἦτορ vel κραδίη *quatitur, subsultat cor* X 452, 461. — Periphetes dum convertere se vult in Hectorem, qui acie Achivorum perrupta post ipsius tergum desiluit (cf. vs. 623), clipei sui praegrandis (cf. Z 117 sq. Π 803) orae pedem imposuit incautus, itaque resupinus cecidit. De eliso ἄντυγ'(ι) cf. § 13.

649. θέων] part. praes. ut A 137 sq.

652. χραισμέμεν'(αι)] § 125.

653. εἰσωποὶ δ' ἐγένοντο νεῶν] *conspectus in naves iis* (Troianis) *factus est.* Apertum ad naves sibi viderunt aditum; nam viam iis stravit Apollo (vs. 355—366) et ab Hectore perruptum iam est χάλκεον ἔρκος illud, quod classi dein praetenderant Achivi (cf. vs. 567). Non iam vallum sed ipsas naves adspiciunt. Hactenus modo ad portam, modo in ipso castrorum introitu est pugnatum. — Adi. εἰσωπός (germ. *ansichtig*) †.

— περὶ δ' ἔσχεθον ... νῆες] *circa circum se habebant* (erant) *naves.* De verbi ἔχειν hoc usu cf. K 263 sq.

654 et 656. Quae *primae* ab Achivis subductae sunt naves, longius quam ceterae a mari stant remotae, Troianis igitur proximae.

654. ϝεϝρύατο] cf. Ξ 31 sq. et de verbi forma § 293.

— τοὶ δ'(ἐ)] cf. A 190.

— ἐπέχυντο] *superfundebantur, obruebant*; item Π 295.

Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκηι
πρωτάων, αὐτοῦ δὲ παρὰ κλισίηισιν ἔμειναν
ἀθρόοι, οὐδ' ἐκέδασθεν ἀνὰ στρατόν· ἶσχε γὰρ αἰδὼσ
καὶ δρέοσ, ἀζηχὲσ γὰρ ὁμόκλαον ἀλλήλοισι.
Νέστωρ αὖτε μάλιστα, γερήνιοσ οὖροσ Ἀχαιῶν, 659 = 370
'λίσσεθ' ὑπὲρ τεκέων γουνώμενοσ ἄνδρα ἕκαστον·
„ὦ φίλοι, ἀνέρεσ ἔστε, καὶ αἰδόα θέσθ' ἐνὶ θυμῶι 661 = 561
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε ἕκαστοσ
παίδων ἠδ' ἀλόχων καὶ κτήσιοσ ἠδὲ τοκήων,
ἠμὲν ὅτωι ζώουσι καὶ ὧι κατατεθνήκασι.
τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων 665 cf. λ 66
ἑστάμεναι κρατερῶσ· μηδὲ τροπάεσθε φόβονδε."
ὣσ ἔιπὼν ὤτρυνε μένοσ θυμόν τε ἑκάστου. 667 = *E* 470
τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφοσ ἀχλύοσ ὦσεν Ἀθήνη
θεσπέσιον· μάλα δέ σφι φάοσ 'γένετ' ἀμφοτέρωθε,
ἠμὲν πρὸσ νηῶν καὶ ὁμοίιοο πτολέμοιο. 670$^{b}$ = *N* 358
Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρουσ,
ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν οὐδ' ἐμάχοντο,
ἠδ' ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῆισι. 673 cf. Σ 533 ι 54
οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι 'γάνδανε θυμῶι
ἑστάμεν', ἔνθα περ ἄλλοι ἀφέστασαν υἷεσ Ἀχαιῶν·
ἀλλ' ὅ γε νηῶν ἴκρι' ἐπῴιχετο μακρὰ βιβάσθων, 676$^{b}$ = *N* 809
'νώμαε δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμηισι,

656. **πρωτάων*] *τῶν πρωτέων* (A C, sic Ar.? cf. schol. Ξ 31) aut *τῶν προτέρων* Ω. Cf. § 56. — *αὐτοῦ*] *αὐτοὶ* A. ‖ 658. *ὁμόκλαον* § 191] *-εον.* ‖ 660. *τεκέων* Gen.] *τοκέων* Ω (cf. § 76 et vs. 663). — *γουνώμενοσ* § 144] *-νούμενοσ.* ‖ 664. *ὅτωι* § 102] *ὅτεωι.* Cf. *M* 428. ‖ 667. *θυμόν τε* Bentley] *καὶ θυμὸν.* ‖ 668—673. Ar. — ‖ 668. *νέφοσ ἀχλύοσ*] **πολέμου νέφοσ*? Cf. comment. et *η* 41. ‖ 675. *ἀφέστασαν*] *ἐφ.* pap. Morg. Ambr. C.

657. ἶσχε] singularis ut A 255.
— αἰδὼσ | καὶ δρέοσ] cf. Λ 649.
658. ὁμόκλαον] § 191.
659. γερήνιοσ] cf. B 336.
— οὖροσ] cf. Ψ 112.
661. αἰδόα] § 77.
662 sq. Cf. Verg. Aen. X 280 sq.
664. Hoc versu solos *parentes* respici, dici vix est opus.
666. τροπάεσθε] § 191 et 251.
668—670. Cf. P 243. Aut verba νέφοσ ἀχλύοσ vs. 668 corrupta sunt, aut spurii sunt hi versus; nam *oculis captos* esse Achivos poeta non dixit, *caliginem* autem vel *pulveris turbinem* vox ἀχλύσ non significat. Cf. nota crit. et *η* 41.
669. φάοσ] § 71.
670. ὁμοιίοο] cf. § 59 et Δ 315.
677 sq. Et alii Achivi eiusmodi hastis navalibus — sed minus ingentibus — e navibus pugnabant; cf. vs. 388 sq.
677. 'νώμαε] § 191.

κολλητὸν βλήτροισι, δυωκαιϝεικοσίπηχυ. 678b cf. Ψ 264
ὡσ δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν ἐϋ ϝειδώσ,
ὅσ τ' ἐπεὶ ἐκ πολέων πίσυρασ συναείρεται ἵππουσ,
σεύασ ἐκ πεδίοιο μέγα προτὶ ϝάστυ δίηται
λαοφόρον καθ' ὁδόν, πολέεσ δέ ϝε θηήσαντο
ἀνέρεσ ἠδὲ γυναῖκεσ, — ὃ δ' ἔμπεδον ἀσφαλὲσ αἰεὶ
θρώισκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται, οἳ δὲ πέτονται, —
ὣσ Αἴασ ἐπὶ πολλὰ θοάων ἵκρια νηῶν
ϝοίτασε μακρὰ βιβάσ, φωνὴ δέ ϝοι αἰθέρ' ἵκανε. 686a cf. λ 539
αἰεὶ δὲ σμερδνὸν βοάων Δαναοῖσ' ἐκέλευε 687 = 732
νηυσί τε καὶ κλισίησιν ἀμυνέμεν'.

οὐδὲ μὲν Ἕκτωρ
μίμνεν ἐνὶ Τρώων ὁμάδωι πύκα θωρηκτάων· 689 cf. 739
689b = M 317
ἀλλ' ὥσ τ' ὀρνίθων πετεηνῶν αἰετὸσ αἴθων

680. συναείρεται Philemon quidam apud Porphyrium] συναγείρεται Ω. Cf. K 499. || 681. δίηται A D] διώκηι pap. Morg. Ambr. C. || 682. δέ Vrat.] τέ Ω. || 686. βιβάσ] βιβῶν pap. Morg. et l. a. in A (cf. Γ 22). || 689. Olim quidam addebant: ἀλλὰ πολὺ προθέεσκε τὸ ὃν μένοσ οὐδένι εἴκων (= X 459).

678. κολλητὸν βλήτροισι] vox βλῆτρα, quae aliunde ignota est, *anulos*ne vel *clavos* significat ad conti ingentis partes compingendas? An vertendum est: „cui βλῆτρα" — quicquid id est — „agglutinata erant"?

— δυωκαιϝεικοσίπηχυ] cf. E 193 et H 219—223.

ὄδ̃ωκε, σάον δ' ἀνένευσε μάχης ἔξ ἀπονέεσθαι. 252b = Υ 212
ἦ τοι ὃ μὲν σπείσας τε καὶ εὐξάμενος Διὶ πατρὶ
ἂψ κλισίην εἰσῆλθε, δέπας δ' ἀπέθηκ' ἐνὶ χηλῶι,
στῆ δὲ πάροιθ' ἐλθὼν κλισίης, ἔτι δ' ἤθελε θυμῶι
εἰσῤιδέμεν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν. 256 cf. Δ 65

οἳ δ' ἅμα Πατρόκλωι μεγαλήτορι θωρηχθέντες
ἔστιχον, ὄφρ' ἐν Τρωσὶ μέγα φρονέοντες ὄρουσαν.
αὐτίκα δὲ σφήκεσσι ῥεοικότες ἐξεχέοντο
ἐνοδίοισ', οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες,
αἰεὶ κερτομέοντες ὁδῶι ἔπι ῥοικί' ἔχοντας,
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι.

---

247. ἵκοιτο] ἱκέσθω pap. Morg. Syr. ‖ 248. ἀγχιμάχοισ'(ι) Par. 2767] ἀγχεμ. Ω (cf. N 5). ‖ 261. Aristoph. Ar. —, vs. 260—262 del. Nitzsch, in vs. 263 omittens δ' cum Syr. . — ἔχοντας Ar.] -ντες Syr. A C D¹ T¹.

---

244. ἡμέτερος] *patris mei et meum ipsius* sive: *gentis nostrae, quae a te originem habet* (cf. vs. 148—151). *Noster* id quod *meus* (ut h. Merc. 465) non valet in dictione Homeri; cf. Τ 73 Υ 91 Φ 60 Ψ 84, 86 et Ζ 414.

— τότε] magna cum emphasi prolatum id quod τότε μόνον nunc valet.

249—252. Cf. I 37—39. Imitatur Verg. Aen. XI 794—798

252. ἀπονέεσθαι] § 21.

255 sq. *Dein extra tabernaculum denuo constitit, nam* (δέ = γάρ) *praelii eventum adspicere cupiebat.* De infinitivo εἰσῤιδέμεν cf. § 126, de accusativo φύλοπιν § 66.

259—265. Etiam M 167—172 vita vesparum nostro poetae comparationem praebuit.

260. ἐνοδίοισ'(ι)] § 21.

— ἐριδμαίνωσιν] verbum †; ἐριδμαίνειν : ἐρίζειν = σκυδ-μαίνειν : σκύζεσθαι.

— ἔθοντες] cf. I 540.

261. κερτομέοντες] *lacessentes.* Congruit nostrum *plagen*; cf. Ω 649. Alibi *irridendi* potius vim huic verbo propriam esse observavit Ar., nimis tamen angustum sic ambitum ei tribuens; cf. Α 472, 474 de vocibus μολπή, μέλπειν, Ζ 442 de vocibus βαθύκολπος et ἑλκεσίπεπλος.

262. τιθεῖσι] *pueri.* Qui bestiolas irritando multis — i. e. praetereun-

τοὺς δ' εἰ περ παρά τίσ τε κιὼν ἄνθρωποσ ὀδίτησ
κινήσηι ἀρέκων, οἳ δ' ἄλκιμον ἦτορ ἔχοντεσ
πρόσσω πᾶσ πέτεται καὶ ἀμύνει ῥοῖσι τέκεσσι.
τῶν τότε Μυρμιδόνεσ κραδίην καὶ θυμὸν ἔχοντεσ
ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστοσ ὀρώρει. 267b = Λ 500
Πάτροκλοσ δ' ἑτάροισιν ἐκέκλετο μακρὸν ἄϋσασ·
„Μυρμιδόνεσ, ἕταροι Πηληϊάδα' Ἀχιλῆοσ,
ἀνέρεσ ἔστε, φίλοι, μνήσασθε δὲ θούριδοσ ἀλκῆσ, 270 = Z 112
ὥσ κεν Πηλεΐδην τιμήσομεν, ὅσ μέγ' ἄριστοσ 271b sq. = P 164 sq.
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχίμαχοι θεράποντεσ,
γνώηι δ' Ἀτρεΐδησ εὐρὺ κρείων Ἀγαμέμνων 273 sq. = Λ 411 sq.
ῥηϊτὴν, ὅ τ' ἄριστον Ἀχαιῶν οὔ τι ἔτισε."
ὣσ ῥειπὼν ὤτρυνε μένοσ θυμόν τε ἑκάστου. 275 = E 470
ἐν δ' ἔπεσον Τρώεσσιν ἀφολλέεσ· ἀμφὶ δὲ νῆεσ
σμερδαλέον ἰάχησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν. 277 = B 334
Τρῶεσ δ' ὡσ ἐίδοντο Μενοιτίου ἄλκιμον υἱόν,
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντασ, 279 cf. N 331
πᾶσιν ὀρίνθη θυμόσ, ἐκίνηθεν δὲ φάλαγγεσ, 280a = E 29
ῥελπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα 281b = Θ 474
μνηισθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ' ἐλέσθαι·
πάντηνεν δὲ ῥέκαστοσ ὅπηι φύγοι αἰπὺν ὄλεθρον. 283 = Ξ 507

272. Damnabat Seleucus. — ἀγχίμαχοι Vrat.] ἀγχέμ. Ω (cf. N 5). || 273. γνώηι δ' § 122] γνῶι δὲ καί. Cf. Ω 688. || 274. οὔ τι § 100] οὐδέν. || 275. θυμόν τε Bentley] καὶ θυμόν. || 279. μαρμαίροντασ] δαιδαλέοισι (ut vs. parall.) Duentzer. Lenior mutatio foret μαρμαίρουσι (vel -ρέοισι), sed cf. comment. || 281. ῥελπόμενοι] sic (ἐλπ.) Ar., -ναι Zen. (cf. Λ 251).

tibus quibuslibet — communem molestiam creant. Nam quisquis dein nidi locum vel levi pede casu contigit, extemplo a rabidis animalculis compungitur.

263. ἄνθρωποσ ὁδίτησ] eadem nominum iunctura est ν 123, alibi ἄνθρωποσ alteri substantivo additum non invenitur, passim vero ἀνήρ, item φώσ Δ 194 al.; cf. etiam ν 400.

264 sq. οἳ . . . πᾶσ πέτεται καὶ ἀμύνει] cf. Γ 211.

269. Πηληϊάδα'(ο)] § 55.

271. κεν] § 326.

278—283. Hostes cum adspexerunt Myrmidones integris viribus et pugnandi avidos in se irruentes, et ducem Achillis armis indutum, Achillis bigis vectum, ipsum Achillem quin viderent ne dubitarunt quidem. Cf. vs. 423 sq.

279. σὺν ἔντεσι μαρμαίροντασ] cf. N 801 χαλκῶι μαρμαίροντεσ et praepositionis σύν usus E 220 (σὺν ἔντεσι πειρηθῆναι) alibi.

280 sq. φάλαγγεσ | ῥελπόμενοι] constructio ad sensum; cf. E 638.

282. μνηισθμὸν . . . ἀπορρῖψαι] cf. I 517.

*Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῶι*
*ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι ᾽κλονέοντο,* 285ᵇ = *E* 8
*νηῒ πάρα πρυμνῆι μεγαθύμου Πρωτεσιλάου,*
*καὶ ᾽βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστὰς*
*ἦγεν ἐξ Ἀμυδῶνος ἀπ᾽ Ἀξιοῦ εὐρὺ ῥέοντος·* 288ᵇ = *B* 849
*τὸν ᾽βάλε δεξιὸν ὦμον, ὃ δ᾽ ὕπτιος ἐν κονίηισι* 289ᵇsq.ᵃ = *Δ* 522 sq.
*κάππεσεν οἰμώξας, ἕταροι δέ μιν ἀμφ᾽ ἐφόβηθεν*
*Παίονες, ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασι*
*ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.* 292 cf. *Δ* 746
*ἐκ νηῶν δ᾽ ἔλασεν, κατὰ δ᾽ ἔσβεσεν αἰθόμενον πῦρ.*
*ἡμιδαὴς δ᾽ ἄρα νηὸς ᾽λίπετ᾽ αὐτόθι, τοὶ δ᾽ ἐφόβηθεν*
*Τρῶες θεσπεσίωι ὁμάδωι· Δαναοὶ δ᾽ ἐπέχυντο*
*νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ᾽ ἀλίαστος ἐτύχθη.* 296 = *M* 471
*ὡς δ᾽ ὅτ᾽ ἀφ᾽ ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο*
*κινήσηι πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς,*
*ἔκ τ᾽ ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι* 299 sq. = *Θ* 557 sq.
*καὶ νάπαι, οὐρανόθεν δ᾽ ἄρ᾽ ὑπερράγη ἄσπετος αἰθήρ,*
*ὣς Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήϊον πῦρ* 301ᵇ cf. *Σ* 13
*τυτθὸν ἀνέπνευσαν· πολέμου δ᾽ οὐ ᾽γίγνετ᾽ ἐρωή.* 302ᵇ = *P* 761
*οὐ γάρ πώ τι Τρῶες Ἄρηϊ φίλων ὑπ᾽ Ἀχαιῶν*
*προτροπάδην ᾽φοβέοντο μελαινάων ἀπὸ νηῶν,*
*ἀλλ᾽ ἔτ᾽ ἄρ᾽ ἀνθίσταντο, νεῶν δ᾽ ὑπέρεικον ἀνάγκηι.*

*ἔνθα δ᾽ ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης* 306 = *O* 328
*ἡγεμόνων, πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱός.*

---

293. *αἰθόμενον*] *ἀκάματον* l. a. in A. || 296. Suspicionem movet *ὅμαδος* repetitum; versum del. Bekker. || 298. *στεροπηγερέτα Ζεύς*] *Ζεὺς ἀστεροπητής* Knight (cf. *Δ* 609 et *K* 154). || 301. *᾽φοβέοντο*] *ἐφέβοντο* H.

---

286. De navi Protesilai cf. O 705 et B 701.

287. ἱπποκορυστὰς] cf. Φ 155.

291. ἐν . . . φόβον ἧκεν] cf. Λ 402.

295. ἐπέχυντο] cf. O 654.

297—302. Ut sol per densas nebulas vento discissas terram subita luce illustrans, sic Patroclus pulsis hostibus aliquantisper „φάος Δαναοῖσιν ἔθηκε".

300. Cf. Θ 558.

301. δήϊον] § 17.

302. ἐρωή] *cessatio, requies*, item in versu par.; cf. verbum ἐρωῆσαι *cessare*. Ab alia stirpe ducta sunt ἐρωή *impetus* (Γ 62 al.) et ἐρωῆσαι *ruere* (A 303 al.).

306 sq. Singuli duces singulos hostes occiderunt; ἡγεμόνων genitivus ad ἀνήρ (cf. vs. 351) est referendus. De locutione κεδασθείσης ὑσμίνης cf. Λ 222.

αὐτίκ' ἄρα στρεφθέντος Ἀρηϊλύκου βάλε μηρὸν
ἔγχεϊ ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε· 309ᵇ = N 388
ῥῆξεν δ' ὀστέον ἔγχος, ὃ δὲ πρηνὴς ἐπὶ γαίηι
κάππεσ'. ἀτὰρ Μενέλαος ἀρήϊος οὗτα Θόαντα
στέρνον γυμνωθέντα παρ' ἀσπίδα, λῦσε δὲ γυῖα. 312 = 400
Φυλεΐδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας
ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος 314ᵃ = 322
μυιὼν ἀνθρώπου πέλεται· περὶ δ' ἔγχεσι αἰχμῆι
νεῦρα διεσχίσθη, τὸν δὲ σκότος ὄσσε κάλυψε. 316ᵇ = Δ 461
Νεστορίδαι δ' ὃ μὲν οὕτασ' Ἀτύμνιον ὀξέϊ δουρὶ
Ἀντίλοχος, λαπάρης δὲ δι' ἤλασε χάλκεον ἔγχος·
ἤριπε δὲ προπάροιθε. Μάρις δ' αὐτοσχεδὰ δουρὶ
Ἀντιλόχωι ἐπόρουσε, κασιγνήτοιο χολωθείς,
στὰς πρόσθεν νέκυος. τοῦ δ' ἀντίθεος Θρασυμήδης
ἔφθη ὀρεξάμενος πρὶν οὐτάσαι — οὐδ' ἁφάμαρτε — 322ᵃ = 314
ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ
δρύψ' ἀπὸ μυιώνων, ἀπὸ δ' ὀστέον ἄχρις ἄραξε.
δούπησεν δὲ πεσών, κατὰ δὲ σκότος ὄσσε κάλυψε. 325 = O 578
ὣς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
βήτην εἰς Ἔρεβος, Σαρπηδόνος ἐσθλοὶ ἑταῖροι,
υἷες ἀκοντισταὶ Ἀμισωδάρου, ὅς ῥα Χίμαιραν

---

310. γαίηι] -ησ A C. ‖ 313. ἐφορμηθέντα] *ὑφ.* Aristoph.

---

312. στέρνον γυμνωθέντα] loricam igitur huic heroi non tribuit poeta; neque mox Sarpedoni eiusve sodalibus (vs. 419, 465, 481).

314. ἔφθη ὀρεξάμενος . . . σκέλος] eadem structura (= *prius feriit*) est Π 322 Ψ 805. *Feriendi, ictu petendi* vim verbum ὀρέγεσθαι habet etiam Δ 307 E 851, ubi accusativus mente est addendus.

316. νεῦρα] verba sequentia testantur Amphiclo non solas tendines esse discissas, sed praeterea arteriam femoralem succisam ei mortem intulisse, ut mox humeralem Mari (vs. 323—325).

317. Νεστορίδαι . . . ὃ μὲν οὕτασ'(ε)] de hac structura cf. Γ 211. Dein poeta additurus erat ὃ δέ (ut N 584 sq.), sed mutata verborum structura vs. 321 usus est nominativo Θρασυμήδης.

322 sq. ἔφθη ὀρεξάμενος . . . ὦμον] cf. vs. 314.

322. πρὶν] § 18.

324. ἀπὸ μυιώνων] *a musculis* brachii superioris.

327. βήτην εἰς Ἔρεβος] cf. γιεμένων Ἐρεβόσδε υ 356. Alibi dicitur Ἀϊδόσδε et similia (Π 856 Γ 322 al.); cf. O 188.

328 sq. *Amisodarus* quaerendus est in eadem regione atque *Glaucus*, quem Iliadis poeta fecit sodalem Sarpedonis et in *Lycia* regione ea collocavit, quae et postea sic est vocata.

᾽θρέψεν ἀμαιμακέτην, πολέσιν κακὸν ἀνθρώποισι.
Αἴας δὲ Κλεόβουλον ᾽Οϊλεΐδης ἐπορούσας
ζωιὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά ϝοι αὖθι
᾽λῦσε μένος, πλήξας ξίφε᾽ αὐχένα κωπήεντι. 332b cf. Υ 475
πᾶν δ᾽ ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ᾽ ὄσσε 333 sq. = Υ 476 sq.
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή. 334 = Ε 83
Πηνέλεος δὲ Λύκων τε συνέδραμον. ἔγχεσι μὲν γὰρ
ἤμβροτον ἀλλήλων, μέλεον δ᾽ ἀκόντισαν ἄμφω·
τὼ δ᾽ αὖτις ξιφέεσσι συνέδραμον. ἔνθα Λύκων μὲν
ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ καυλὸν 338 sq. cf. Γ 361
φάσγανον ἐρραίσθη· ὃ δ᾽ ὑπ᾽ οὔατος αὐχέν᾽ ἔθεινε 338 cf. Ν 614 [sq.
339 cf. σ 96
Πηνέλεος, πᾶν δ᾽ εἶσω ἔδυ ξίφος, ἔσχεθε δ᾽ οἷον 340cf. Φ 117b sq.a
δέρμα, παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνης δ᾽ Ἀκάμαντα κιχεὶς ποσὶ καρπαλίμοισι
᾽νύξ᾽ ἵππων ἐπιβησόμενον κατὰ δεξιὸν ὦμον· 343 sq.a = Ε 46 sq.
ἤριπε δ᾽ ἐξ ὀχέων, κατὰ δ᾽ ὀφθαλμῶν ᾽κέχυτ᾽ ἀχλύς. 344b = Ε 696
᾽Ιδομενεὺς δ᾽ ᾽Ερύμαντα κατὰ στόμα νηλεῖ χαλκῶι
᾽νύξε· τὸ δ᾽ ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε 346 cf. Ν 652 κ 162
νέρθεν ὑπ᾽ ἐγκεφάλοιο, ᾽κέασσε δ᾽ ἄρ᾽ ὀστέα λευκά.
ἐκ δ᾽ ἐτίναχθεν ὀδόντες, ἐνέπλησθεν δέ ϝοι ἄμφω
αἵματος ὀφθαλμώ· τὸ δ᾽ ἀνὰ στόμα καὶ κατὰ ῥῖνας
᾽πρῆσε χανών, θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψε. 350b = δ 180
οὗτοι ἄρ᾽ ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ϝέκαστος.
ὡς δὲ λύκοι ϝάρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι

330. ᾽Οϊλεΐδης Knight] -λιάδης. Cf. *M* 365. || 335 et 340. *Πηνέλεος* § 62] -ως. Cf. *B* 494. || 338. *καυλὸν* T] *καλὸν* A C D (cf. comment. ad *N* 611). || 343. *ἐπιβησόμενον*] cf. *E* 46. || 345. *᾽Ερύμαντα*] *Ὀρ.* l. a. ant. || 349. *ὀφθαλμώ*] *-μοι Ω*. Similia sunt *π* 15 *ϱ* 39, 302 *τ* 417. Cf. tamen *ϑ* 135 *υ* 365. || 351. *ἄνδρα ϝέκαστος*] *ἄνδρας ἀρίστους* l. a. in A.

Cf. B 876 sq. et Z 168—170. *Chimaera* dicitur monstrum illud quod a Bellerophonte est interfectum, licet non optime congruat ratio temporum; ἔθρεψεν igitur vertendum est *nutriverat*.

329. ἀμαιμακέτην] cf. Z 179.

332. ξίφε᾽(ϊ)] § 71.

338. φάλον] cf. E 743 sq.

— καυλὸν] *pars gladii* ea dicitur quae *capulo* est *inserta*; cf. Γ 211.

340. ἔσχεθε] *integrum mansit, non dissectum est*; cf. nostrum *houden* = satis firmum esse ad ictum vel pondus perferendum. Item M 4, 184, 461 N 608 al.; cf. etiam P 330 et K 263 sq.

342—344. Cf. E 46 sq.

349 sq. Idem χ 18 sic dicitur: αὐλὸς παχὺς αἵματος ἤλθεν ἀνὰ ῥῖνας.

352 sq. ὡς ... λύκοι ... σίνται] *lupi ceu | raptores* Verg. Aen. II 355 sq.

*σίνται, ὑπ' ἐκ μήλων αἰρεύμενοι, αἵ τ' ἐν ὄρεσσι*
*ποιμένος ἀφραδίηφι διέτμαγεν, οἳ δὲ ϝιδόντες*
*αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἔχούσας,*
*ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον, οἳ δὲ φόβοιο*
*δυσκελάδου 'μνήσαντο, 'λάθοντο δὲ θούριδος ἀλκῆς.* 357ᵇ = *O* 322
*Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῆι*
*'ϝίετ' ἀκοντίσσαι· ὃ δὲ ϝιδριίηι πολέμοιο,* 359ᵃ = *N* 585
*ἀσπίδι ταυρείηι κεκαλυμμένος εὐρέας ὤμους,* 360ᵇ = h. Merc. 217
*'σκέπτετ' ὀϊστῶν τε ῥοίζον καὶ δοῦπον ἀκόντων.* 361ᵇ cf. *Δ* 364
*ἦ μὲν δὴ 'γίγνωισκε μάχης ἑτεραλκέα νίκην,* 362ᵇ = *H* 26
*ἀλλὰ καὶ ὣς ἀνέμιμνε, 'σάου δ' ἑρίϝηρας ἑταίρους.*
*ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω*
*αἰθέρος ἐκ δίνης, ὅτε τε Ζεὺς λαίλαπα τείνηι,* 365ᵃ = h. Cer. 70
*ὣς τῶν ἐκ νηῶν 'γένετο ϝιϝαχή τε φόβος τε,* 366 cf. *Δ* 456
*οὐδὲ κατὰ μοῖραν 'πέραον πάλιν. Ἕκτορα δ' ἵπποι* 366ᵇ = *M* 144
*ἔκφερον ὠκύποδες σὺν τεύχεσι, 'λεῖπε δὲ λαὸν*

353. *αἵ*] sic Ar., *οἵ* olim quidam, sic Fick deletis verbis *ἦ ἰρίφοισι* | — *αἰρεύμενοι.* || 354. *ἀφραδίηφι* § 46] *-ηισι.* — *διέτμαγεν*] sic Ar., *-γον* Syr. || 363. (')*σάου* Cobet] *σάω.* Cf. Φ 238 ▾ 230 ϱ 595 et § 195. || 365. *λαίλαπα*] *-πι* l. a. in Ar. comment.

353. μήλων ... αἵ] structura neglegentior, quasi antecesserit ὅϊες. Similia sunt Ε 140 Λ 238 Φ 167 μ 75 φ 48; praeterea cf. Ε 638.

— αἰρεύμενοι] cf. § 7 et 191.

359—361. Cf. Η 238 sq.; vs. 361 vert.: *agilis excipiebat tela cum fremitu se petentia.*

362. ἑτεραλκέα νίκην] cf. Ε 831—834.

364 sq. *Quemadmodum nubes procellae ferax ab Olympi montis vertice soluta per serenum navigat versus firmamentum* (cf. Α 497—499 et Δ 3). Nubes compacta firmisque finibus circumscripta, quales esse solent nubes fulmine gravidae, cum clarum aethera intrat, „firmamentum petere" dicitur; propius enim dum accedit, videtur „surgere", ut et nos loquimur („*opkomen*"). Nam εἴσω id quod εἰσ sive *versus* valet (cf. Α 71 sq.). Hoc igitur comparatio dicit: ut e clara luce procella, sic Troianis ex ipsa victoria clades subito orta est. Quae indicata potius a poeta et adumbrata est comparatio quam perfecta.

367—369. Accidit iam id quod dudum metuit Polydamas (cf. Μ 223 sqq.), minatus est Aiax, omine portendit Iuppiter (cf. Ν 817—823). Hector aliquantisper quidem etiam obstitit et suos servare conatus est, sed mox densa turba fugientium et ipse abreptus per portam castrorum in campum apertum pervenit; multi autem Troiani, cum per eundem exitum recedere (κατὰ μοῖραν περάειν) non possent hostibus instantibus, viae angustiis impediti in fossam inciderunt. Cf. clades Troianorum Achille instante trans vadum Scamandri fugientium Φ 3 sqq.

*Τρωϊκόν, οὗσ ἀϝέκοντασ ὀρυκτὴ τάφροσ ἔρυκε.*
*πολλῶν δ' ἐν τάφρωι ϝερυσάρματεσ ὠκέεσ ἵπποι*
*ϝάξαντ' ἐν πρώτωι ῥυμῶι 'λίπον ἅρμα ϝανάκτων.* 371ᵃ = *Z* 40
371ᵇ cf. *Π* 507
*Πάτροκλοσ δ' ἔπετο σφεδανὸν Δαναοῖσι κελεύων,* 372ᵇ = *Λ* 165
*Τρωσὶ κακὰ φρονέων· οἳ δὲ ϝιϝαχῆι τε φόβωι τε*
*πάσασ 'πλῆσαν ὁδούσ, ἐπεὶ ἂρ 'τμάγεν· ὕψι δ' ἄελλα*
*'σκίδναθ' ὑπὸ νεφέων, 'τανύοντο δὲ μώνυχεσ ἵπποι*
*ἄψορρον προτὶ ϝάστυ νεῶν ἄπο καὶ κλισιάων.* 376 cf. *Λ* 803
376ᵃ = *M* 74
*Πάτροκλοσ δ' ἦι πλεῖστον ὀρινόμενον 'ϝίδε λαόν,*
*τῆι ῥ' ἔχ' ὁμοκλήσασ· ὑπὸ δ' ἄξοσι φῶτεσ ἔπιπτον*
*πρηνέεσ ἐξ ὀχέων, δίφροι δ' ἀνεκυμβαλίαζον,*
*ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέεσ ἵπποι*
*πρόσσω ϝιέμενοι. ἐπὶ δ' Ἕκτορι 'κέκλετο θυμόσ,*

381 *ἄμβροτοι, οὗσ Πηλῆϊ θεοὶ 'δόσαν ἀγλαὰ δῶρα,* 381 = 867
381ᵇ = Σ84 Ω534

369. ἔρυκε] ἔϝργε Syr. || 370. **πολλῶν*] -οὶ Ω, quod cum *ϝάξαντε* iungi non potuit. || 371. ἅρμα Bentley] ἅρματ'. || 374. ἄελλα Barnes] ἀέλλη. Nominativus apud H. non redit, sed brevem esse syllabam finalem aliunde constat; cf. *θύελλα*. || 376ᵇ. *ἐλιχθέντων ὑπ' Ἀχαιῶν* l. a. in A (ut *M* 74). || 379. ἀνεκυμβαλίαζον] -χίαζον Heyne (coll. *E* 586 *O* 536). || 381. Om. Syr. A (et huius archet.) C D. Cf. comment.

371. ϝάξαντ'(ε)] dualis spectat singulas bigas (cf. Ψ 362 al. et § 52). De re cf. Z 40.

— ϝανάκτων] τοῦ ἡνιόχου καὶ τοῦ παραιβάτου. Item vs. 507; cf. Λ 521 sq.

372. σφεδανὸν] cf. Λ 165.

374. ἐπεὶ ... 'τμάγεν] *postquam copiae sunt distractae* (διέτμαγεν vs. 354).

— ἄελλα] *turba pulveris* vento correpti. Cf. N 334 et P 243.

375. ὑπὸ] § 315².

379. ἀνεκυμβαλίαζον] verbum † (si sanum; cf. nota crit.).

380 sq. Nisi versus 381, qui a codicibus melioribus abest, in textum recipitur, non est cur *Patrocli* bigae id fecisse putentur quod salvo ipso heroë facere non potuerunt. De Patroclo in versu 380 non fit sermo, — qui quidni per ipsam portam castrorum foras egerit bigas? — sed *Troianorum* equos multos poeta ait *diffracto iugo*, postquam currus proni vel inversi conciderunt, liberatos aufugisse et saltu ingenti, quippe stimulante terrore, fossam transmisisse. Et sic ratum quodammodo factum est id quod iactaverat Hector, fore ut bigae Troianae fossam transsilirent (Θ 179), aliter tamen est factum quam ille minatus erat. Humi conciderunt bellatores, currus sunt inversi, equi efferati aufugerunt. — Fabulae vetustae si quos forte habuerunt heroës cum equis fossam aliquam vel moenia transsilientes, ipsorum *equorum dorso* insidentes hos cogitarunt, non *curru vectos*. Etiam alati equi currum item alatum sublimem protrahentes fingi potuerunt; sed ab Homero aliena sunt haec omnia (cf. K 513 et Θ 398).

382. ἐπὶ ... Ἕκτορι 'κέκλετο θυμόσ] *in Hectorem iubebat animus*. Breviter

ϝίετο γὰρ βαλέμεν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι. 383 = 866
ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
ἤματ' ὀπωρινῶι, ὅτε λαβρότατον χέει ὕδωρ
Ζεύς, ὅτε δὴ ἄνδρεσσι κοτεσσάμενος χαλεπήνηι, 386b = ε 147 cf. τ 83
οἳ βίηι ἐν ἀγορῆι σκολιὰς κρίνωσι θέμιστας, 387 sq. cf. Hes. Op. 221-224
ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες· — 388b = Hes. Op. 251
τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες, 389b = τ 207
πολλὰς δὲ κλιτῦς τόθ' ἀποτμήγουσι χαράδραι,
εἰς δ' ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι
ἐξ ὀρέων ἐπὶ κάρ, μινύθει δέ τε ϝέργ' ἀνθρώπων· —
ὣς ἵπποι Τρώϊαι μεγάλ' ἐστενάχοντο θέουσαι.
Πάτροκλος δ' ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας,
ἂψ ἐπὶ νῆας ἔϝεργε παλιμπετές, οὐδὲ πόληος

384. κελαινὴ] -νῆι Spitzner (coll. Λ 747 Μ 375 Υ 51, sed ordine verborum non favente). || 385. ἤματ' ὀπωρινῶι] -τι χειμερίωι L (ut Μ 279). || 386. δὴ Syr. A C] δή τ' Ω. Cf. Ζ 306 Κ 536 Λ 171 Ν 633. || 387 sq. Postmodo additi? Nitzsch del. vs. 386—388. || 393. Τρώϊαι] Τρῶων D. || 394. πρώτας ἐπέκερσε φάλαγγας] π. ἀπέκερσε φ. recc., π. ἐπέκυρσε φ. D T, πρώταισ ἐνέκερσε (voluit -κυρσε, ut Ν 145) φάλαγξι Syr.

dicta, ut εἰσ τὸ βαλανεῖον βούλομαι Ar. Ran. 1279 aliaque quae sunt eiusmodi; cf. vs. 697. Itaque κέλεσθαι id fere quod *incitare* iam valet.

384. *Atra* vocatur terra quam atra procella inumbrat et urget; cf. Λ 306. Qua quod *gravari* terra dicitur, subest notio qua nubes pro corporibus solidis habebantur (cf. Ε 749—751). Ingens nubium moles incumbit in arva.

385. ἤματ'(ι)] § 13.

387. ἐν] § 315.

388. ὅπιν] § 66.

389 sq. Imitatur Verg. Georg. I 328 sq.; τῶν nisi in τοῦ est mutandum, neglegenter est usurpatum, quasi non ὕδωρ sed plurale ὕδατα antecesserit. Cf. ε 438 et ad Ε 638. *Multorum collium latera nudant torrentes.* De clivis arduis humus imbre remollita abripitur aquarum impetu et veluti reciditur, revellitur.

391. Verg. Georg. IV 373 *in mare purpureum violentior effluit amnis.*

392. ἐπὶ κάρ] § 82.

— ϝέργ' ἀνθρώπων] cf. Τ 131.

393. *Equi* furiosi per avia ruentes cum *torrentibus* hibernis nunc comparantur, quemadmodum *torrentes* saepe *equis* sunt assimulati (cf. φ 295—304).

— Τρώϊαι] § 17.

394. ἐπέκερσε] *vexavit.* Fugientes antevertit Patroclus bigis celerrimis vectus et castra versus denuo pepulit.

395. παλιμπετέσ] *relapsos.* Adiectivum adverbii loco usurpatum (vel potius verbi ϝέργειν obiectum internum) redit ε 27.

— πόληοσ . . . ἐπιβαινέμεν'(αι)] *clivum ad urbem ducentem adscendere.* Redit locutio πόλιοσ ἐπιβαίνειν ζ 262. Idem valet Φίλιον εἰσαναβαίνειν Ζ 74 Ρ 320, 337; sed β 172 σ 252 τ 125 Φίλιον εἰσ ἀναβαίνειν — nam sic litteras traditas dirimere illis locis praestat — significat *in Troadem proficiscentem conscendere navem.*

εἶαε ϝιεμένουϲ ἐπιβαινέμεν᾽, ἀλλὰ μεϲηγὺ
νηῶν καὶ ποταμοῦ καὶ τείχεοϲ ὑψηλοῖο 397ᵇ = Φ 540
᾽κτεῖνε μεταῖϲϲων, πολέων δ᾽ ἀπετίνυτο ποινήν.
ἔνθ᾽ ἤ τοι Πρόνοον πρῶτον ᾽βάλε δουρὶ φαεινῷι,
στέρνον γυμνωθέντα παρ᾽ ἀϲπίδα, ᾽λῦϲε δὲ γυῖα· 400 = 312
᾽δούπηϲεν δὲ πεϲών. ὃ δὲ Θέϲτορα, Ϝήνοποϲ υἱόν,
δεύτερον ὁρμηθείϲ, — ὃ μὲν εὖ ξεϲτῶι ἐνὶ δίφρωι
ἧϲτο ϝαλείϲ, ἐκ γὰρ ᾽πλήγη φρένας, ἐκ δ᾽ ἄρα χειρῶν
ἡνία ϝ᾽ ἀΐχθηϲαν· ὃ δ᾽ ἔγχεϊ ᾽νύξε παραϲτὰϲ
γναθμὸν δεξιτερόν, διὰ δ᾽ αὐτῶν ᾽πεῖρεν ὀδόντων.
εἵλκε δὲ δουρὸϲ ἑλὼν ὑπὲρ ἄντυγοϲ, ὡϲ ὅτε τιϲ φὼϲ
πέτρηι ἔπι προβλῆτι καθήμενοϲ ἱερὸν ἰχθὺν

399. *δουρὶ φαεινῷι*] *ποιμένα λαῶν* l. a. ant. ‖ 404. *ϝ᾽(οι)] addidimus; Brandreth dederat ϝοι ἤϊχθεν. ‖ 405. *αὐτῶν* Bekker] -τοῦ.

396. εἶαε] § 191.

397. ποταμοῦ] *Scamandri*. Cf. E 355 et 773 sq.

— τείχεοϲ] *urbis* (cf. vs. 395). Item N 764 Π 702 Φ 540.

400. στέρνον γυμνωθέντα] cf. vs. 312.

401—410. *Thestorem* fuisse *Pronoi* aurigam docet contextus; eminus Pronoum, dein cominus eius aurigam Patroclus confodit. Neuter heros alibi commemoratur.

401. ὃ δὲ] cf. A 190.

404. ϝ᾽(οι)] cf. § 13.

— παραϲτὰϲ] cf. O 352.

405. ᾽πεῖρεν] *Patroclus Thestorem* τῆι αἰχμῆι (cf. Υ 479).

406—408. Cf. μ 251—255, ubi milites Ulixis sublimes brachiis Scyllae e navi abrepti assimulantur piscibus linea hamata ex aqua attractis. Etiam κ 124 milites misere trucidati comparantur cum piscibus; praeterea cf. χ 384—388. Haeret cuspis hastae in maxilla Thestoris, ut hamus in ore piscis; inhaerens autem veluti partem ipsius maxillae efficit, quapropter „δουρὸϲ" poeta ait „αὐτὸν εἷλεν", ut si dicas: εἷλεν αὐτὸν τῆϲ χειρόϲ.

406. ὡϲ ὅτε] cf. B 394.

407. ἱερὸν] *ingentem*, *validum* (cf. K 56 al.); ὀλίγοιϲι potissimum ἰχθύϲιν insidiantur qui ita piscantur (cf. μ 252), hic vero homo solito maiorem piscem hamo captavit. Vera interpretatio falsis commixta (cf. Ael. Hist. An. VIII 28 Theocr. Com. Beren. 3 sq.) profertur Plut. Mor. 981 *d* Athen. 282 *e*—284. Cf. πέλωροϲ ο 161. — Errarunt qui *sacrum* sunt interpretati, eam notionem quae voce „tabu" inter gentes barbaras designatur fortasse huc trahentes: heroës piscibus usos non esse videlicet, nisi forte esurientes. Quae res si vera esset, huc non pertineret; at ne vera quidem est. Nam Homeri carmina, in quibus piscium retibus vel hamo captorum frequenter, ut h. l., fit mentio (cf. E 487 Ω 80—82 δ 368 sq. κ 124 μ 251—254, 330—332 τ 113 χ 384—388 nec non Π 747), luculenter testantur — id quod vel sic poterat intellegi — piscatum poetae notissimum fuisse; quod autem milites qui in castris versabantur, vel qui bello absoluto domum festinabant, piscibus

ἐκ πόντοιο θύραζε λίνωι καὶ ϝήνοπι χαλκῶι·
ὣς εἶλκ' ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῶι,
κὰδ δ' ἄρ' ἐπὶ στόμ' ἔωσε, πεσόντα δέ μιν 'λίπε θυμός.
αὐτὰρ ἔπειτ' 'Ερύλαον ἐπεσσυμένον 'βάλε πέτρωι — 411ᵇ = Υ 288
μέσσην κὰκ κεφαλήν, ἣ δ' ἄνδιχα πᾶσ' ἐκεάσθη — 412 sq. cf. 578 sq.
ἐν κόρυθι βριαρῆι· ὃ δ' ἄρα πρηνὴς ἐπὶ γαίηι — 412 = Υ 387; 413ᵇ = Φ 118
κάππεσεν, ἀμφὶ δέ μιν θάνατος 'χύτο θυμορραίστης. — 414 = 580 cf. N 544
αὐτὰρ ἔπειτ' 'Ερύμαντα καὶ Ἀμφοτερὸν καὶ 'Επάλτην
Τληπόλεμόν τε Δαμαστορίδην 'Εχίον τε Πύριν τε
Ἰφέα τ' Εὐϊππόν τε καὶ Ἀργεάδην Πολύμηλον
πάντας ἐπασσυτέρους 'πέλασε χθονὶ πολυβοτείρηι. — 418 = Θ 277

Σαρπηδὼν δ' ὡς οὖν 'ϝίδ' ἀμιτροχίτωνας ἑταίρους
χερσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμέντας,
'κέκλετ' ἄρ' ἀντιθέοισι καθαπτόμενος Λυκίοισι·
„αἰδώς, ὦ Λύκιοι! πόσε φεύγετε; νῦν θοοὶ ἔστε·
ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος, ὄφρα δαήω
ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ϝέϝοργε
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσε."

411. 'Ερύλαον D] Εὐρύλαον L Z, Εὐρύαλον (!) Ω. — ἐπεσσυμένον] -νοσ D et l. a. in A T. || 414. θυμορραίστης] cf. N 544.

captandis non dabant operam, nisi forte ventis in ora deserta retardati fame vexarentur, id neque mirum neque admodum notabile est. Tantum otii non habuit bellum Troianum! Tum demum visum est habuisse cum decennale est factum in carminibus recentiorum; et tunc Thucydides Achivos ostendit *Chersonnesum arantes* (I 11 § 1), Cypriorum autem poeta Palamedem *piscatui vacantem* (Paus. X 31 § 1). — Inter gentes in montium saltibus degentes, „quae salem ignorarent et remum pro ventilabro haberent" (λ 123 sqq.), piscatum nullum olim fuisse nisi forte in torrentibus vel in stagnis lacustribus, id dici vix est opus; illic igitur quae cantata sunt carmina, piscium neque in rebus enarrandis neque in comparationibus mentionem fecisse veri est simile. Sed nihil hoc ad carmina Homeri.

411. Cf. O 352.

— Cum *Erylai* nomine cf. 'Ερύμηλοσ nomen Delphicum apud Collitzium n° 2202[35].

419. ἀμιτροχίτωνας] *mitra* ventrem protegenti (cf. Δ 137) et chitonem cohibenti *carentes* (cf. vs. 465). Insolitum igitur hoc habuit Lyciorum vestitus, cum ceteri milites, qui gravis essent armaturae, mitra vel thorace uterentur. Et ipsum igitur Sarpedonem ἀμιτροχίτωνα fuisse fert ratio et vs. 481 apparet. Cf. vs. 312.

422. αἰδώς] cf. E 787.

423. δαήω] § 122.

ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε. 426 = Δ 419
Πάτροκλος δ' ἑτέρωθεν, ἐπεὶ ϝίδεν, ἔκθορε δίφρου.
οἳ δ', ὥς τ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχῆλαι 428 = χ 302
πέτρηι ἔφ' ὑψηλῆι μεγάλα κλάζοντε μάχωνται,
ὣς οἳ κεκληγῶτες ἐπ' ἀλλήλοισιν ὄρουσαν. 430[b] = Ξ 401
τοὺς δὲ ϝιδὼν ἐλέησε Κρόνου πάϊς ἀγκυλόμητις, 431[a] cf. Θ 350
Ἥρην δὲ προσέϝειπε κασιγνήτην ἄλοχόν τε· 432 cf. Σ 356
„ὤ μοι ἐγών, ὅ τέ μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι. 434 cf. 420
διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι, 435-439 cf. X 174 sqq.
ἢ μιν ζωιὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
θήω ἀναρπάξας Λυκίης ἐν πίονι δήμωι, 437[b] = 514
ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω.“ 438 cf. Z 368
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη· 439 sq. = Δ 551 sq.
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϝειπες; [sqq.
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσηι, 441-443 = X 179
ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι; 441[b] = O 209
ϝέρ᾽· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι. 443 = Δ 29
ἄλλο δέ τοι ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισι. 444 = Δ 297
αἴ κε σάον πέμψηισ Σαρπηδόνα ϝόνδε δόμονδε,
φράζεο μή τις ἔπειτα θεῶν ἐθέλησι καὶ ἄλλος
πέμπειν ϝὸν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης·
πολλοὶ γὰρ περὶ ϝάστυ μέγα Πριάμοιο μάχονται
υἱέες ἀθανάτων, τοῖσιν κότον αἰνὸν ἐνήσεις.

---

428. ἀγκυλοχῆλαι Zacher] -χεῖλαι Ω (item τ 538 χ 302). || 430. κεκληγῶτες Ar.] -γοντες Ar. in ed. altera et Ω. Cf. M 125. || 431. Κρόνου πάϊς ἀγκυλόμητις] πατὴρ ἀνδρῶν τε θεῶν τε T (ut A 544 al.). — ἀγκυλόμητις § 55 et 83[10]] -μήτεω. || 432-458. Om. Zen. (cf. vs. 666-683). || 433. ὤ μοι] αἰ αἰ Plat. Rep. 388 c. || 442. θανάτοιο δυσηχέος] cf. B 686. || 445. σάον (σόον) Bentley] ζῶν Ar., sic aut ζωὸν Ω, εἰ ζω(ι)ὸν πέμψεισ νChrist. Cf. E 887.

---

428. γαμψώνυχες ἀγκυλοχῆλαι] cf. X 203.

432. Ubi nunc sint Iuppiter et Iuno, fortasse praestat non rogare, quoniam ipse poeta ad hanc quaestiunculam animum non videtur attendisse; si tamen respondendum est, dicamus Iunonem ex Olympo, quo O 79 abiit, aliquantisper in *Idam* rediisse. Nam Iovem in huius montis cacumine et nunc sedere, ut O 152 sq., apparet infra vs. 676 sq. — Cf. Σ 356—368.

437. θήω] § 122.

445. σάον] § 62.

449. κότον ... ἐνήσεισ] verbum ἐνίεμεναι, quod ad ἀθανάτους pertinet, id fere quod ἐνστάζειν nunc valet; cf. δ 233. Sic θυμὸν ἀνάλκιδα ἐνίεμεναι dicitur vs. 656, θάρσος P 570, μένος Υ 80 Ψ 390, 400 ν 387; cf. ἐνστάζειν μένος β 271.

ἀλλ' εἴ τοι φίλος ἐστί, τεὸν δ' ὀλοφύρεται ἦτορ, 450b cf. X 169
ἦ τοι μέν μιν ἔασον ἐνὶ κρατερῇι ὑσμίνηι
χέρσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι, 452 cf. 420
αὐτὰρ ἐπεὶ δὴ τόν γε λίπηι ψυχή τε καὶ αἰών, 453b cf. ι 523
πέμπειν μιν Θάνατόν τε φέρειν καὶ ϝήδυμον Ὕπνον,
εἰς ὅ κε δὴ Λυκίησ εὐρείησ δῆμον ἵκωνται, 456 sq. = 674 sq.
ἔνθα ϝε ταρχύσουσι κασίγνητοί τε ϝέται τε 456a cf. H 85 [239
τύμβωι τε στήληι τε· τὸ γὰρ γέρασ ἐστὶ θανόντων." 456b = o 278 cf. Z
ὣσ ἔφατ', οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε. 457b = ω 296 cf. Δ
323 Ψ 9 ω 190
αἱματοέσσασ δὲ ψιάδασ κατέχευεν ἔραζε 458 = Δ 68
παῖδα φίλον τίων, τόν ϝοι Πάτροκλοσ ἔμελλε
φθισέμεν' ἐν Τροίηι ἐριβώλακι, τηλόθι πάτρησ. 461 cf. Ω 86

οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντεσ, 462 = Γ 15
ἔνθ' ἦ τοι Πάτροκλοσ ἀγακλειτὸν Θρασύμηλον,
ὅσ ῥ' ἠῢσ Θεράπων Σαρπηδόνοσ ἦσκε ϝάνακτοσ,
τὸν 'βάλε νείαιραν κατὰ γαστέρα, 'λῦσε δὲ γυῖα.
Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῶι 466b = 477
δεύτεροσ ὁρμηθείσ, ὃ δὲ Πήδασον οὖτασεν ἵππον
ἔγχεῖ δεξιὸν ὦμον· ὃ δ' ἔβραχε θυμὸν ἀΐσθων,

---

450. *φίλοσ*] sic Ar., *-ον* A D. || 454. *ϝήδυμον* § 41[3]] *νήδυμον* Ar. Ω. || 455. *ἵκωνται*] *ἵκοιτο* l. a. in A. || 456. *ἔνθα ϝε ταρχύσουσι*] *ὄφρα ἑ -σωσι* (ut *H* 85) Stob. Flor. CXXIII 7. || 460. *τίων* § 165] *τιμῶν*. || 467. *δεύτεροσ* A] *-ρον* Ar. C D. || 467 sq. *οὖτασεν ἵππον | ἔγχεῖ*] *ἀγλαὸν ἵππον, | τόν ῥά ποτ' Ἠετίωνοσ ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύσ, | ὅσ καὶ θνητὸσ ἐὼν ἔπεθ' ἵπποισ ἀθανάτοισι, | τὸν βάλε* (ut vs. 153 sq.) Ar. (? *Aristophanes* Roemer) secundum schol. T; teste Didymo Ar. nihil de hoc loco observavit. Pro *οὖτασεν* Philemon legebat *ἤλασεν*.

---

453—457. Corpus certe Sarpedonis eripietur victori: sic Iuppiter filii sui haud oblitum se ostendet. De Morte et Somno gemellis cf. Λ 241.

456 sq. ταρχύσουσι ... τύμβωι τε στήληι τε] in *sepeliendi* igitur sive *funere honorandi* notionem abiit verbum ταρχύειν, de quo cf. H 85.

— τὸ γὰρ γέρασ ἐστὶ θανόντων] *qui solus honos Acheronte sub imo est* Verg. Aen. XI 23. Cf. μ 14.

459. Cf. Λ 53 sq.

461. φθισέμεν'(αι)] § 125.

465. Cf. E 539. Thrasymeli venter mitra non protegebatur (cf. vs. 419).

467—479. Postquam Patroclus iecit hastam, Sarpedon in eum irruit, eius equum funalem vulnere letali cominus feriit (οὖτασεν), dein in ipsum Patroclum hastam misit, sed frustra. Ceterum equus caesus Patroclo nocere nunc non potuit, hic enim de curru descenderat (vs. 427). De tertio hoc equo cf. vs. 152—154 et Θ 80—88.

467. δ δὲ] cf. A 191.

468. ἔβραχε] verbum *equi* vulnerati clamorem nunc indicat, E 859 *Martis*, Δ 420 E 838 al. transfertur ad *armo-*

κὰδ δ' ἔπεσ' ἐν κονίηισι μακών, ἀπὸ δ' ἔπτατο θυμός. 469 = κ 163 τ 454
469ª = σ 98
τὼ δὲ διεστήτην, 'κρίκε δὲ ζυγόν, ἡνία δέ σφι
σύγχυτ', ἐπεὶ δὴ ἔκειτο παρήορος ἐν κονίηισι.
τοῖο μὲν Αὐτομέδων δουρὶ κλυτὸς ηὔρετο τέκμωρ·
σπασσάμενος ταν́υηκες ἄορ παχέος παρὰ μηροῦ, 473 = κ 439 λ 231
ἀΐξας ἀπέκοψε παρήορον οὐδ' ἐμάτησε.
τὼ δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσ' ἐτάνυσθεν.
τὼ δ' αὖτις συνίτην ἔριδος πέρι θυμοβόροιο. 476ᵇ = *H* 301
ἔνθ' αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῶι, 477ᵇ = 466
Πατρόκλου δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ 478 cf. *E* 16
ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν. ὃ δ' ὕστερος ὦρνυτο χαλκῶι 479 = *E* 17
Πάτροκλος· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρός, 480 sq.ª cf. *E* 18 sq.
ἀλλ' ἔβαλ' ἔνθ' ἄρα τε φρένες εἴρχαται ἀμφ' ἀδινὸν κῆρ. 481ᵇ cf. *τ* 516
ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωῖς 482-486 = *N* 389 sqq.
ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι·
ὣς ὃ πρόσθ' ἵππων καὶ δίφρου 'κεῖτο τανυσθείς,
βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης.
ἠῦτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθών,
αἶθωνα μεγάθυμον, ἐν εἰλιπόδεσσι βόεσσι,
ὤλετό τε στενάχων ὑπὸ γαμφηλῆισι λέοντος,
ὣς ὑπὸ Πατρόκλωι Λυκίων ἀγὸς ἀσπιστάων 490ᵇ = 541, 593
κτεινόμενος 'μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον· 491ᵇ cf. *K* 522

---

470. 'κρίκε] κρίγε et τρίγε l. a. in T. || 475. ῥυτῆρσ'(ι)] -ρι l. a. in T. || 479. ἔβαλ' αὐτόν] cf. *E* 17. || 481. εἴρχαται § 230] ἔρχαται. || 486. βεβρυχώς] -κώσ l. a. ant. || 487. ἠῦτε] ὡσ δ' ὅτε pap. Ryl. 49. || 488. ἰν] sic Ar., ἰπ' pap. Morg. H (cf. *A* 55).

---

*rum* percussorum mugitum (cf. φ 411 Λ 574) similesque sonos.

– θυμὸν ἀΐσθων] cf. O 252.

469. ἔπτατο] § 216.

470 et 475. τὼ] equi immortales, *Xanthus* et *Balius*.

475. ῥυτῆρσ'(ι)] *habenis*; cf. Ψ 324. Lora quibus equorum *pectora* currui alligantur (*strengen*) non possunt intellegi, nisi recentior hic locus ducatur (Lachmann del. vs. 467—477, Fick 463—476); nam solo iugo equi in Iliade currui iunguntur (cf. Z 40 sq.).

476. τὼ] *Patroclus* et *Sarpedon*.

— ἔριδος πέρι] cf. H 111.

479. αὐτόν] cf. E 7.

481. *Ubi praecordia circa cor sunt secreta* sive *saeptum efficiunt*, i. e.: *saepto suo* (*diaphragmate* quod hodie dici solet) *cor secernunt* ab intestinis. Mitram qua medium corpus tueretur Sarpedon non habuit; cf. quae ad vs. 419 sunt annotata.

482 sq. ἀχερωῖσ et βλωθρή] cf. N 389 sq.

486. κόνιοσ δεδραγμένοσ] cf. Λ 425.

„Γλαῦκε πέπον, πολεμιστὰ μετ' ἀνδράσι, νῦν σε μάλα χρὴ 492ᵇ sq. = X 268 sq.
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν! 493 = E 602
νῦν τοι ἐϝελδέσθω πόλεμος κακός, εἰ θοός ἐσσι.
πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας 495 cf. 532
πάντηι ἐποιχόμενος Σαρπηδόνος ἀμφὶ μάχεσθαι, 496 = 533
αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῶι. 248 sq.
σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος 498 sq. cf. h. Ven.
ἔσσομαι ἤματα πάντα διαμπερές, εἴ κέ μ' Ἀχαιοὶ 498ᵇ = P 556
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα. 500 = O 428
ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα." 501 = P 559
ὣς ἄρα μιν ϝειπόντα τέλος θανάτοιο ἐκάλυψε 502 = 855 X 361
ὀφθαλμοὺς ῥινάς θ'. ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων 502ᵇ = E 553
ἐκ χροὸς εἶλκε δόρυ, προτὶ δὲ φρένες αὐτῶι ἕποντο· 503ᵇ = N 618
τοῖο δ' ἅμα ψυχήν τε καὶ ἔγχεος ἐκϝέρυσ' αἰχμήν.
Μυρμιδόνες δ' αὖθι 'σχέθον ἵππους φυσιάοντας,
ϝιεμένους φοβέεσθαι, ἐπεὶ 'λίπον ἅρμα ϝάνακτες. 507ᵇ cf. 371
Γλαύκωι δ' αἰνὸν ἄχος 'γένετο φθογγῆσ ἀΐοντι·
ὠρίνθη δέ ϝοι ἦτορ, ὅ ϝ' οὐ 'δύνατο προσαμῦναι.
χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· 'τεῖρε γὰρ αἰνῶς
ἕλκος, ὃ δή μιν Τεῦκρος ἐπεσσυμένον 'βάλεν ἰῶι 511 sq.ᵃ cf. M 388

---

492. *πέποι*] *πάρος* mavult aliquis in schol. T. ‖ 494. *κακός*] *θρασύς* l. a. in A. ‖ 496. *Σαρπηδόνος*] *-νι*? Cf. *O* 391. ‖ 499. *κέ μ'(ε)*] *κεν* l. a. in A. ‖ 501. *ἅπαντα*] *ἀπάντη(ι)* Naber (item *P* 559). ‖ 504. *ἕποντο*] *ἔχοντο* Ar. ‖ 507. (')*λίπον* Zen.] *λίπεν* Ar. (*ἐλείφθησαν* interpretatus!) A D T. — *ἅρμα* Bentley] *ἅρματ'*. — *ϝάνακτες* Jortin] *ἀνάκτων Ω* (ut vs. 371). ‖ 509. **ϝ'(οι)*] *τ'*. Cf. *B* 238. ‖ 510. *αἰνῶς* H] *αὐτὸν Ω*. Cf. *E* 352.

---

494. ἐϝελδέσθω] *optatus esto*. Passiva non nisi h. l. est verbi vis.

497. ἐμεῦ] § 92.

498. κατηφείη] cf. Γ 51 et X 293.

500. νεῶν ἐν ἀγῶνι] cf. O 428. Mira hoc loco locutio, quoniam procul a castris, certe non intra castra nunc pugnatur.

501. ἔχεο] cf. I 234 sq.

502. θανάτοι'(ο)] § 59.

504. αὐτῶι] *ipsi hastae*. Cum hasta evulsum est diaphragma cuspidi adhaerens.

505. *Ipsam animam* sive *vitam cum cuspide extraxit*. Moritur Sarpedon dum e pectore lacerato evellitur hasta. Verba horrifica, magno poeta dignissima.

506. αὖθι] § 322.

— ἵππους] Sarpedonis.

— φυσιάοντας] § 191.

507. ϝάνακτες] *Sarpedon* et *Thrasymelus* (vs. 463). Cf. vs. 371 et Λ 521 sq.

509. ὠρίνθη δέ ϝοι ἦτορ] cf. Ξ 361.

510—512. Cf. M 387—389.

511. ἕλκος, ὅ ... μιν ... 'βάλεν] cf. Λ 269.

*τείχεοσ ὑψηλοῖο, ἀρὴν ἑτάροισιν ἀμύνων.* 512b cf. *M* 334
*εὐχόμενοσ δ' ἄρ' ἔϝειπε ϝεκηβόλωι Ἀπόλλωνι·* 513a = *η* 330 cf. *T* 257
„*κλῦθι, ϝάναξ, ὅσ που Λυκίηι ἐν πίονι δήμωι* 514b = 437
*ἔσσ' ἠ' ἐν Τροίηι· δύνασαι δὲ σὺ πάντοσ' ἀκούειν*
*ἀνέρι κηδομένωι, ὡσ νῦν ἐμὲ κῆδοσ ἱκάνει.* 516b cf. *N* 464
*ἦλκοσ μὲν γὰρ ἔχω τόδε καρτερόν, ἀμφὶ δέ μοι χεὶρ*
*ὀξείηισ' ὀδύνηισιν ἐλήλαται, οὐδέ μοι αἷμα*
*τερσῆναι δύναται, βαρύθει δέ μοι ὦμοσ ὑπ' αὐτοῦ,*
*ἔγχοσ δ' οὐ δύναμαι σχέμεν' ἔμπεδον οὐδὲ μάχεσθαι*
*ἐλθὼν δυσμενέεσσιν. ἀνὴρ δ' ὄχ' ἄριστοσ ὄλωλε,* 521b cf. *Ω* 384
*Σαρπηδών, Διὸσ υἱόσ· ὃ δ' οὐ ϝοῦ παιδὸσ ἀμύνει.*
*ἀλλὰ σύ πέρ με, ϝάναξ, τόδε καρτερὸν ἦλκοσ ἄκεσσαι,*
*κοίμησον δ' ὀδύνασ, δὸσ δὲ κράτοσ, ὄφρ' ἑτάροισι*
*κεκλόμενοσ Λυκίοισιν ἐποτρύνω πολεμίζειν*
*αὐτόσ τ' ἀμφὶ νέκυι κατατεθνηκῶτι μάχωμαι.*“ 526 cf. 565
*ὣσ ἔφατ' εὐχόμενοσ, τοῦ δ' ἔκλυε Φοῖβοσ Ἀπόλλων·* 527 = *Λ* 43
*αὐτίκ' ἔπαυσ' ὀδύνασ, ἀπὸ δ' ἕλκεοσ ἀργαλέοιο* 528b sq. cf. *Λ* 812 sq.
*αἷμα μέλαν 'τέρσηνε, μένοσ δέ ϝοι ἔμβαλε θυμῶι.*
*Γλαῦκοσ δ' ἔγνω ϝῆισιν ἐνὶ φρεσί — 'γήθησέν τε —*
*ὅττι ϝέ' ὦκ' ἤκουσε μέγασ θεὸσ εὐξαμένοιο.*
*πρῶτα μὲν ὥτρυνεν Λυκίων ἡγήτορασ ἄνδρασ* 532 cf. 495

---

515. *ἐν* L Z] *ἐνὶ Ω*. Cf. § 16. — *πάντοσ' ἀκούειν*] sic Ar., *πάντ' ἐσακ.* Zen., *πάντοθ'(ι) ἀκ.* l. a. in T. ‖ 518 sq. *μοι . . . δύναται*] **τοι . . . δύναμαι*? Aptius est *non possum* quam *non potest*, vs. 529 autem *activi* aoristus est *τερσῆναι*; qui si *passivi* est h.l., novicius est terminus pro *-ήμεναι* (cf. *ζ* 98 et § 125). ‖ 519. *ὑπ' αὐτοῦ*] *ὕπερθε* H (cf. *Λ* 421). ‖ 521. *ὄχ' ἄριστοσ*] cf. *Λ* 288. ‖ 522. *οὐ* Bentley] *οὐδ'*. — *(ϝ)οῦ παιδὸσ* Ar.] *ὧι -δὶ Ω*. Cf. *Λ* 11 *M* 403 *N* 110 et v. l. *Σ* 171. ‖ 523. *με* Bentley] *μοι*. — *ἦλκοσ*] *ἄλγοσ* C (cf. *T* 49). ‖ 524. *κοίμησον*] *-μι(σ)σον* C T. ‖ 526. *νέκυι -ῶτι*] *νέκυν -ῶτα* L (cf. vs. 775 *P* 388). ‖ 531. *ϝέ'(ο) (εὐ)* Duentzer] *οἱ*. Cf. *I* 635 sq.

---

514 sq. Praesentes, non eminus, suis opem ferunt di (cf. O 360 sqq. Π 700 sqq. al. passim), sed et eminus audire possunt (cf. e. g. Ψ 205), dein dicto citius adesse.

514. Λυκίηισ] longinquam illam Lyciam poeta cogitat, non Troiae viciniam; cf. vs. 538—550 et quae ad B 876 sq. sunt annotata.

515. ἔσσ' (ἐσσὶ)] § 302.

— πάντοσ' ἀκούειν | ἀνέρι κηδομένωι] dativus commodi verbo ἀκούειν additur h. l. (et in textu tradito vs. 531), ut saepe verbo κλύειν (A 37 al.). De adverbio πάντοσε sic usurpato cf. Δ 455, de ipsa re K 279 sq.

519. τερσῆναι] i. e. τερσήμεναι (aor. pass.); sed cf. nota crit.

520. σχέμεν'(αι)] § 125.

522. παιδὸσ ἀμύνει] cf. Δ 11.

526. νέκυι κατατεθνηκῶτι] cf. X 203 et § 160.

πάντηι ἐποιχόμενος Σαρπηδόνος ἀμφὶ μάχεσθαι· 533 = 496
αὐτὰρ ἔπειτα μετὰ Τρῶας ἴκέ μακρὰ βιβάσθων, 534ᵇ = N 809
Πολυδάμαντ' ἔπι Πανθοΐδην καὶ Ἀγήνορα δῖον,
ἷβῆ δὲ μετ' Αἰνείαν τε καὶ Ἕκτορα χαλκοκορυστήν.
ἀγχόθι δ' ἱστάμενος ϝέπεα πτερόεντα προσηύδα· 537 = Δ 203
„Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένος ἔσσ' ἐπικούρων,
οἳ σέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδος αἴης 539ᵇ = Δ 817
θυμὸν ἀποφθινύθουσι· σὺ δ' οὐκ ἐθέλεις ἐπαμύνειν.
κεῖται Σαρπηδών, Λυκίων ἀγὸς ἀσπιστάων, 541ᵇ = 490
ὃς Λυκίην ἔρρυτο δίκηισί τε καὶ σθένεϊ ϝῶι·
τὸν δ' ὑπὸ Πατρόκλωι δάμασ' ἔγχεϊ χάλκεος Ἄρης.
ἀλλά, φίλοι, πάρστητε, νεμεσσήθητε δὲ θυμῶι,
μή ϝ' ἀπὸ τεύχε' ἕλωνται, ἀϝεικίσσωσι δὲ νεκρὸν 545ᵇ = Τ 26
Μυρμιδόνες, Δαναῶν κεχολωμένοι ὅσσοι ὄλοντο,
τοὺς ἐπὶ νηυσὶ θοῆισιν ἐπέφνομεν ἐγχείηισι.“
ὣς ἔφατο, Τρῶας δὲ κατ' ἄκρηθεν λάβε πένθος
ἄσχετον, οὐκ ἐπιϝεικτόν· ἐπεί σφισιν ἔρμα πόληος 549ᵃ cf. E 892ᵇ
ἦσκε καὶ ἀλλοδαπός περ ἐών, πολέες γὰρ ἅμ' αὐτῶι
λαοὶ ἕποντ', ἓν δ' αὐτὸς ἀριστεύεσκε μάχεσθαι.
βὰν δ' ἰθὺς Δαναῶν λελιημένοι, ἦρχε δ' ἄρα σφι 552 cf. M 106
Ἕκτωρ χωόμενος Σαρπηδόνος.

αὐτὰρ Ἀχαιοὺς
ὦρσε Μενοιτιάδεω Πατροκλέεος λάσιον κῆρ.
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ· 555 = N 46
„Αἴαντε, νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔστω,
οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν, ἦ καὶ ἄρειον.

---

533. Σαρπηδόνος] -νι? Cf. O 391. ‖ 537. ἀγχόθι δ'(ὲ)] cf. B 172. ‖ 542. ἔρρυτο § 164] εἴρυτο. ‖ 543. Πατρόκλωι] -κλου Doederlein (ut P 303 Γ 436 Δ 479). Cf. N 434 τ 488 φ 213. ‖ 545. ϝ'(ε)] add. Cobet. ‖ 548. κατ' ἄκρηθεν] κατὰ κρῆθεν Ar. et codd. multi, item λ 588 h, Cer. 182, fortasse recte, sed cf. κατ' ἄκρης N 772 O 557. ‖ 554. Μενοιτιάδεω] -δαο L Z; dictioni epicae nihilo melius convenit Πάτρ. (cf. § 25 et Z 479) quam -δεῳ (cf. § 55). ‖ 556. φίλον] μένος l. a. in A. ‖ 557. *ἄρειον] ἀρείους. Vulgata contorta, et recentioris dictionis est -ους pro -ονες vel -ονας; cf. § 85.

---

535. Πολυδάμαντ'(α)] § 21.
538—550. Cf. vs. 514 sq. et B 876 sq.
538. ἔσσ' (ἐσσί] § 302.
543. χάλκεος Ἄρης] cf. E 704.
549. ἔρμα] *fulcrum*; cf. A 486.
557. ἄρειον] *fortius*, cum verbo ἀμύνεσθαι iungendum.

κεῖται ἀνήρ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν, 558 cf. M 438
Σαρπηδών. ἀλλ' εἴ μιν ἀρεικισσαίμεθ' ἑλόντες,
τεύχεά τ' ὤμοιιν ἀφελοίμεθα, καί τιν' ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέϊ χαλκῶι!"
ὣς ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι 'μενέαινον. 562 = O 565
οἳ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας, 563 cf. Λ 215
Τρῶες καὶ Λύκιοι καὶ Μυρμιδόνες καὶ Ἀχαιοί,
σύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεσθαι 565 cf. 526
δεινὸν ἀΰσαντες· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.
Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν 'τάνυσε κρατερῆι ὑσμίνηι,
ὄφρα φίλωι περὶ παιδὶ μάχηι ὀλοὸς πόνος εἴη.
ὣσαν δὲ πρότεροι Τρῶες δελίκωπας Ἀχαιούς· 569 = P 274
'βλῆτο γὰρ οὔ τι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσι,
υἱὸς Ἀγακλέεος μεγαθύμου, δῖος 'Επειγεύς,
ὃς ῥ' ἐν Βουδείωι ἐὺ ναιομένωι ἐράνασσε

559. εἴ] sic Ar., εὖ Rhianus. || 561. ἀμυνομένων] -νον N ber. || 562. ἀλέξασθαι] cf. N 475. || 568. ὀλοὸς] ἄλιος Nauck. || 571. 'Επειγεύς] -ηγ- A H.

558. De *Sarpedone* nunc dicuntur verba quae M 438 de *Hectore* sunt dicta. Illic et idem qui nostro loco legitur aoristus ἐσήλατο, pro quo ceteris locis est aor. II ἄλμην, e. g. N 679. Hector *per portam* iniecto saxo ab ipso effractam omnium primus *in castra irruit* (cf. M 437—462); sed ante eum Sarpedon *usque ad vallum* omnium primus *accesserat* et propugnaculum inde revulserat (M 397—399). Diversas autem fabulas vel potius parallelas poeta coniungens in libro M bis idem narravit et versibus M 290—293 alteram narrationem cum altera coniunxit. In prisca videlicet poësi Sarpedon alter quidam Hector fuit. — Köchly damnavit vs. 555—562, Leaf 555—568; sed eodem iure cunctum episodium quod est de Patroclo Sarpedonis victore vel etiam totam Patrocleam deleverit quispiam, quoniam Patroclus : Sarpedon = Achilles: Hector. Sic vero satius fuerit novam aliquam Iliadem pluresve Iliades concinnasse e priscorum mythorum ruderibus, quemadmodum suam ex iis concinnavit Homerus. Hic autem ἐσήλασθαι *insilire in* (i. e. *usque ad*, non = *per* vel *trans*) voluit nunc intellegi.

559—561. εἰ cum optativo] *quid si . . .?* Cf. K 111.

561. αὐτοῦ] genetivus ut vs. 522 al.; *dum ipsum (ipsius corpus*, ut A 4 al.) *tueri cona(n)tur.*

565. σύμβαλον] activum etiam Φ 578 sic usurpatur, aor. medii Ξ 27 Υ 335 al. (cf. etiam φ 15).

— νέκυι κατατεθνηῶτι] cf. X 203 et § 160.

567 sq. Cf. P 243.

571. Ἀγακλέεος] § 73.

572. *Budeum* urbs aliunde non cognita ubi sita fuisset veteres dubitarunt. Pelei regno fuisse vicinam docet contextus; cf. O 431 sq.

τὸ πρίν, ἀτὰρ τότε γ' ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξασ
εἰσ Πηλῆ' ἱκέτευσε καὶ εἰσ Θέτιν ἀργυρόπεζαν·
575 οἳ δ' ἅμ' Ἀχιλλῆϊ ῥηξήνορι 'πέμπον ἕπεσθαι
Fίλιον εἰσ ἐΰπωλον, ἵνα Τρώεσσι μάχοιτο. 576 = ξ 71 cf. λ 169
τόν ῥα τόθ' ἁπτόμενον νέκυοσ 'βάλε φαίδιμοσ Ἕκτωρ
χερμαδίωι κεφαλήν, ἣ δ' ἄνδιχα πᾶσ' ἐκεάσθη 578 sq. cf. 412 sq.
ἐν κόρυθι βριαρῆι· ὃ δ' ἄρα πρηνὴσ ἐπὶ νεκρῶι 579b = P 300
580 κάππεσεν, ἀμφὶ δέ μιν θάνατοσ 'χύτο θυμορραίστησ. 580 = 414
Πατρόκλωι δ' ἄρ' ἄχοσ 'γένετο φθιμένοι' ἑτάροιο,
ἴθυσεν δὲ διὰ προμάχων ἵρηκι ϝεϝοικὼσ 582a = P 281
ὠκέϊ, ὅσ τ' ἐφόβησε κολοιούσ τε ψῆράσ τε· 582b = O 237
ὧσ ἰθὺσ Λυκίων, Πατρόκλεεσ ἱπποκέλευθε,
585 ἔσσυο καὶ Τρώων, 'κεχόλωσο δὲ κῆρ ἑτάροιο.
καί ῥ' ἔβαλε Σθενέλαον, Ἰθαιμένεοσ φίλον υἱόν,
αὐχένα χερμαδίωι, 'ρῆξεν δ' ἀπὸ τοῖο τένοντε·
'χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμοσ Ἕκτωρ. 588 = Δ 505
ὅσση δ' αἰγανέησ ῥιπὴ ταναοῖο τέτυκται,
590 ἥν ῥά τ' ἀνὴρ ἀφέηι πειρώμενοσ ἢ ἐν ἀέθλωι 590 cf. O 359
ἠὲ καὶ ἐν πολέμωι, δηΐων ὕπο θυμορραιστέων, 591b = Σ 220
τόσσον ἐχώρησαν Τρῶεσ, ὤσαντο δ' Ἀχαιοί.

---

580. θυμορραίστησ] cf. N 544. || 586. Σθενέλαον] Σθένελον Ἰθ. Fick (cf. P 602). || 587. τένοντε A² G] -ντασ Ω. Cf. Δ 521 E 307 K 456 Ξ 466 P 290 Y 478 X 396 γ 449. || 591. ὕπο θυμορραιστέων] *θυμορραιστάων (del. ὕπο), ut a verbo πειρᾶσθαι genitivus pendeat? Item Σ 220. Cf. § 56 et N 544.

---

573 sq. *Illo vero tempore* (tempore belli) *degebat apud Peleum, ad quem supplex venerat.*

574. Diplen appingebat Ar., quod Thetis disertis verbis nunc dicatur usque ad initium belli Troiani apud Peleum mansisse, non, ut posteri ferrent poetae, paucis diebus post natum filium maritum reliquisse. Quae si recte habet observatio, cum prisca fabula hic versus non congruit (cf. A 358). Sed poeta videtur cogitare Θετίδειον sive *Thetidis fanum*, quod posteri certe in Phthiotide norant, idque Euripides ostendit in Andromacha fabula; in illum sacrum locum Epigeum venisse supplicem, dein a Peleo rege esse receptum. Pro οἳ... 'πέμπον poeta fortasse dedit ὃσ vel ἣ... 'πέμπεν.

581. φθιμένοι'(ο)] § 59.

582 sq. Cf. comparatio similis P 755—759.

584. Πατρόκλεεσ] § 73.

589—592. Troiani δουρηνεκὲσ recedunt. Cf. K 357.

590. ἀφέηι] § 122.

— πειρώμενοσ] *virium* (σθένεοσ O 359) *periculum faciens.*

591. δηΐων ὕπο] *ab hostibus oppressus*; sed cf. nota critica, de nominis autem forma § 17.

*Γλαῦκος δὲ πρῶτος, Λυκίων ἀγὸς ἀσπιστάων,* 593ᵇ = 490
*ἐτράπετ', ἔκτεινεν δὲ Βαθυκλέεα μεγάθυμον,*
*Χάλκωνος φίλον υἱόν, ὃς Ἑλλάδι ϝοικὶα ναίων*
*ὄλβωι τε πλούτωι τε μετέπρεπε Μυρμιδόνεσσι.* 596 cf. *Ω* 536
*τὸν μὲν ἄρα Γλαῦκος στῆθος μέσον οὔτασε δουρί,* 597ᵇ = *N* 438
*στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων.* 598ᵇ cf. *E* 65
*δούπησεν δὲ πεσών, πυκινὸν δ' ἄχος ἔλλαβ' Ἀχαιούς,*
*ὡς ἔπεσ' ἐσθλὸς ἀνήρ· μέγα δὲ Τρῶες κεχάροντο,*
*στὰν δ' ἀμφ' αὐτὸν ἰόντες ἀϝολλέες. οὐδ' ἄρ' Ἀχαιοὶ*
*ἀλκῆς ἐξελάθοντο, μένος δ' ἰθὺς φέρον αὐτῶν.* 602ᵇ cf. *E* 506ᵃ
*ἔνθ' αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστήν,* 603ᵇ = *Δ* 457
*Λαόγονον, θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεὺς*
*Ἰδαίοι' ἐτέτυκτο, θεὸς δ' ὣς τίετο δήμωι·* 605 cf. *E* 78
*τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ὦκα δὲ θυμὸς* 606 sq. = *N* 671 sq.
*ὤιχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλε.*
*Αἰνείας δ' ἐπὶ Μηριόνηι δόρυ χάλκεον ἧκε,*
*βέλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβάντος.* 609ᵇ cf. *N* 807
*ἀλλ' ὃ μὲν ἄντα βιδὼν ἀλεύατο χάλκεον ἔγχος,* 610-613 = *P* 526 610=*N*184 [sqq.
*πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν*
*οὐδὲ ἐνεσκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη.* 612ᵇ cf. *N* 443
*Αἰνείας δ' ἄρα θυμὸν ἐχώσατο φώνησέν τε·*

---

613 *ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.* 613 = *N* 444
*αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης* 614 sq.=*N*504sq.
*ὤιχετ', ἐπεί ῥ' ἄλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσε.*

---

604. *θρασὺν*] *φίλον* l. a. in T. || 606. *'βάλ' ὑπὸ γναθμοῖο καὶ*] *ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ* schol. B T ad *Δ* 461. || 607. Olim quidam addebant: *Μηριόνης δ' ἀνέπαλτο, φίλον δέ οἱ ἦτορ ἰάνθη.* || 609. *προβιβάντος*] *-βῶντος Ω.* Cf. *Γ* 22. || 613. Ar. in priore ed. om., in alteram „ἄλογον" sive extra ordinem recepit (cf. *α* 424). || 614 sq. Habent G alii recc., in marg. D H Par.

---

594. Βαθυκλέεα] § 73.

595. Ἑλλάδι] in regno Pelei (cf. B 683 I 447).

598. στρεφθεὶς ἐξαπίνης] iteratur id quod vs. 594 dictum est ἐτράπετο. Glaucus Bathyclem proximum se persequentem subito conversus confodit.

603. κορυστήν] cf. Δ 457.

604 sq. De *Idae deo* in montis culmine (Gargaris) culto cf. Θ 48.

605. Ἰδαίοι'(ο)] § 59.

612. οὔδε'(ϊ)] § 71.

— οὐρίαχος] cf. K 153.

613. μένος] cf. N 444.

616. θυμὸν ἐχώσατο] eadem structura est Υ 29; ceteris locis dicitur κατὰ θυμόν (A 429 al.).

„Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ."
τὸν δ' αὖ Μηριόνης δουρὶ κλυτὸς ἀντίον ηὔδα· 619 cf. N 254
„Αἰνεία, χαλεπόν σε καὶ ἴφθιμόν περ ἐόντα
πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σ' ἄντα
ἔλθῃι ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.
εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ χαλκῷ,
αἶψά κε καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς
εὖχος ἐμοὶ δοίης, ψυχὴν δ' Ἄϊδι κλυτοπώλωι." 625 cf. E 654
ὣς φάτο, τὸν δ' ἐνέηπε Μενοιτίου ἄλκιμος υἱός·
„Μηριόνη, τί σὺ ταῦτα καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις; 627b = ρ 381
ὦ πέπον, οὔ τοι Τρῶες ὀνειδείοισι ϝέπεσσι
νεκροῦ χωρήσουσι· πάρος τινὰ γαῖα καθέξει. 629b cf. ν 427
ἐν γὰρ χερσὶ τέλος πολέμου, ϝεπέων δ' ἐνὶ βουλῆι.
τῶι οὔ τι χρὴ μῦθον ὀφελλέμεν', ἀλλὰ μάχεσθαι."
ὣς ϝειπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕσπετο ϝισόθεος φώς. 632 = Λ 472
τῶν δ', ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὀρώρηι
οὔρεσι ἐν βήσσηι, ϝέκαθεν δέ τε γίγνετ' ἀκουή, 634a = 766 cf. Γ 34
ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης 635b = γ 453 κ 149 cf. λ 52
χαλκοῦ τε ῥινοῦ τε βοῶν τ' ἐϋ ποιητάων,

633. ὀρώρηι Bekker] -ρει Ar. sic vel -ρε(ν) Ω. Cf. Λ 434. || 634. *βήσσηι] βήσσησι Ω, βήσσησιι, ϝεκὰς Nauck. Idem vitium est vs. 766; cf. § 57 et B 456 N 179. — ἀκουή] ἀϋτή Aristoph. || 636. ῥινοῦ] -νῶν l. a. in A (cf. Λ 447 Θ 61). — τ'] abesse malebat Ar. (cf. M 263 N 406).

617 sq. Cf. H 241. Contemnentis est vox ὀρχηστής, ut Ω 261. Propter artem saltandi noti erant Cretenses (cf. Σ 591 sq.). Ceterum cf. vs. 745.

620 sq. χαλεπόν σε... σβέσσαι] eadem structura est ψ 81 sq.: χαλεπόν σε... ῥύσασθαι. Quibus locis *difficile* valet id quod *ne speres* vel eiusmodi quid (οὐ μὴ... σβέσῃσι, ῥύσεαι), irridentium enim haec sunt verba. *Difficile est te... restinguere* vel *observare* = *vix credibile est te... restinguere* vel *observare posse.*

621. πάντων ἀνθρώπων] cf. ρ 12. — σε'(ο)] § 92.

625. κλυτοπώλωι] cf. E 654.

628. -οισι ϝέπεσσι] § 60.

629. τινα] litotes pro *multos.* Item Σ 466 T 71 ν 427 ο 31. Cf. supra vs. 382—384.

630. Variata est dictio; revera enim non concio brachiis aut bellum verbis opponitur, sed brachiis verba, concio bello. Belli summa in brachiis est, concionis in verbis; concionantium est loqui, at bellum ictibus non verbis geritur.

631. ὀφελλέμεν'(αι)] § 125.

634. ϝέκαθεν... γίγνετ' ἀκουή] cf. Δ 455.

636. *Aeris et corii et scutorum.* Cum galearum et balteorum tum vero scu-

νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι. 637 = Ξ 26
οὐδέ κ' ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
ἔγνω, ἐπεὶ βελέεσσι καὶ αἵματι καὶ κονίησι
ἐκ κεφαλῆς ϝέϝλυτο διαμπερὲς εἰς πόδας ἄκρους.
οἳ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι 641ª = P 412
σταθμῶι ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας
ὥρηι ϝεαρινῆι, ὅτε τε γλάγος ἄγγεα δεύει· 643 = B 471
ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον. 644ª cf. ω 19

οὐδέ ποτε Ζεὺς
τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ,
ἀλλὰ κατ' αὐτοὺς αἰὲν ὅρα, καὶ φράζετο θυμῶι
πολλὰ μάλ' ἀμφὶ φόνωι Πατρόκλου μερμηρίζων,
ἦ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῆι ὑσμίνηι
αὐτόθ' ἐπ' ἀντιθέωι Σαρπηδόνι φαίδιμος Ἕκτωρ
χαλκῶι δηιώσει' ἀπό τ' ὤμων τεύχε' ἕλοιτο,
ἦ ἔτι καὶ πλεόνεσσιν ὀφείλειεν πόνον αἰπύν. 651ᵇ cf. β 334
ὧδε δέ ϝοι φρονέοντι δοάσσατο κέρδιον εἶναι, 652 = N 458
ὄφρ' ἠΰσ Θεράπων Πηληϊάδα' Ἀχιλῆος

638. Σαρπηδόνα δῖον] -νι δίωι Ar. (?). || 643. ὥρηι Bentley] ὥρηι ἐν. Cf. B 471. || 650. δηιώσει'(ε)] -σηι (-σει C Gen.) Ω. Cf. § 113. — ἕλοιτο Ia Roche] ἕληται. Cf. B 4. || 651. ὀφείλειεν § 272] ὀφέλλειεν.

torum percussorum fit fragor ingens. Gradatio quaedam huic versui inest; nam *aes* habent galeae et mitrae et tela, fortasse et thoraces (quorum nulla tamen hoc loco fit mentio), *corium* pilei et baltei, scuta autem ex *aere* et *corio* confecta longe maximum sonitum dant percussa.

638. οὐδέ κ'(ε)...φράδμων] *ne familiaris quidem.* Item Soph. El. 755 sq.; etiam maiore cum emphasi „*ne ipsa quidem mater*" dicitur Ar. Lys. 636. De οὐδέ κ'(ε) cf. § 326.

640. 'ϝέϝλυτο] § 265. Est hoc zeugma, nam *involvendi* verbum soli voci proximae κονίησι aptum est; cf. Δ 282.

641—644. Muscae escam appetentes et si fugentur identidem eo revolantes vividissimam hanc poetae praebuerunt imaginem (cf. P 570—572 Τ 25 Φ 394). B 469—473 eadem imagine pinguntur copiae iussu ducis ex quiete castrensi subito excitatae et ad hostem aggrediendum se parantes (cf. B 455—473).

643. ϝεαρινῆι] § 21.

648 sq. καὶ κεῖνον... Ἕκτωρ] ut ipse Patroclus Sarpedonem.

649. αὐτόθ'(ι)] § 322.

651. πόνον αἰπύν] cf. Λ 601.

652—656. Quoniam ὄφρα a verbo 'δοάσσατο suspendi nequit, quae Homerica non est structura, apparet in versu 656 abundare particulam δέ, id quod δή hic, ut passim, valentem; illo enim versu illustratur adverbium ὧδε (cf. ο 204 sq.).

653. Πηληϊάδα'(ο)] § 55.

ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν
ὤσαιτο προτὶ ϝάστυ, πολέων δ' ἀπὸ θυμὸν ἔλοιτο· 655 cf. *E* 691
Ἕκτορι δὲ πρωτίστωι ἀνάλκιδα φύζαν ἐνῶρσε, 655ᵃ cf. *Λ* 803
εἰσ δίφρον δ' ἀναβὰς φύγαδ' ἔτραπε, κέκλετο δ' ἄλλουσ 656ᵇ cf. *O* 62
Τρῶασ φευγέμεναι, ᾽γνῶ γὰρ Διὸσ ἰρὰ τάλαντα. 657ᵃ = *X* 399
ἔνθ' οὐδ' ἴφθιμοι Λύκιοι ᾽μένον, ἀλλ' ἐφόβηθεν
πάντεσ, ἐπεὶ βασιλῆα ᾽ϝίδον βεβλημένον ἦτορ
κείμενον ἐν νεκύων ἀγύρι· πολέεσ γὰρ ἐπ' αὐτῶι
κάππεσον, εὖτ' ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων.
οἳ δ' ἄρ' ἀπ' ὤμοιιν Σαρπηδόνοσ ἔντε' ἔλοντο
χάλκεα μαρμαίροντα, τὰ μὲν κοίλασ ἐπὶ νῆασ
᾽δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμοσ υἱόσ. 664ᵃ = Σ 131 Ψ 27
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύσ· 666 = *O* 220
„εἶ δ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲσ αἷμα κάθηρον
ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα 668-671 cf. 678 sqq.
πολλὸν ἀπὸ προὸ φέρων λοῦσον ποταμοῖο ῥοῆισι
χρῖσόν τ' ἀμβροσίηι, περὶ δ' ἄμβροτα ϝείματα ϝέσσον· 670ᵇ cf. *ω* 59
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνωι καὶ Θανάτωι διδυμάοσιν, οἵ ῥά μιν ὦκα 672 = 682
θήσουσ' ἐν Λυκίηισ εὐρείηισ πίονι δήμωι, 673 cf. 683

655. *πολέων*] *πολῦσ* Menrad (cf. § 8 et 83). ‖ 656. *φύζαν ἐνῶρσε* T Z] *θυμὸν ἐνῆκε* (*φύζαν ἐνῆκε, θυμὸν ἐνῶρσε*) Ω. Vox *θυμόν* e vs. 655 irrepsisse videtur. Cf. *O* 62. ‖ 660. *βεβλημένον*] *βεβλαμμένον* A C, *δεδαϊγμένον* L. ‖ 666—683. Zen. — (cf. vs. 432—458). Versum 666 idem sic scribebat: *καὶ τότ' ἄρ' ἐξ Ἴδησ προσέφη Ζεὺσ ὃν φίλον υἱόν.* ‖ 666. *εἶ δ'*(*ὲ*)] cf. *Λ* 302. ‖ 668. *Σαρπηδόνα*] *-νι* Ar. ‖ 673. *θήσουσ' ἐν*] *θήσουσιν* D, *θήσουσ' εὐρείησ Λ. ἐν π. δ.* Lips. (*ἐν π. δ.* habuit A ante corr.).

657. ἔτραπε] Hector. Omissum est obiectum (ἵππουσ, cf. Θ 157, 257, 432).

658. ᾽γνῶ γὰρ Διὸσ ἰρὰ τάλαντα] *sensit enim sortem Troianorum deorsum vergere.* Cf. Θ 69—72.

659 sq. Non ita haec sunt intellegenda ut Lycii tum demum cum Hector fugam capessivit Sarpedonem caesum senserint, quod absurdum sane foret, sed hoc est quod ait poeta: cum Hector et Troiani terga dederunt, etiam Lycii, qui regem suum caesum iacere videbant (= quos non amplius incitabat Sarpedon), in fugam se coniecerunt.

661. ἀγύρι] § 74.

662. ἔριδα . . . ἐτάνυσσε] cf. N 359.

663. Cf. Ψ 798—800.

667—670. Prius e loco pugnae (ἐκ βελέων, cf. vs. 678) auferendum est corpus defuncti, dein cruor detergendus et totum corpus pulvere inquinatum (cf. vs. 639) fluminis (Scamandri) aqua lavandum, tandem inunguendum est (cf. T 38 sq.).

667 sq. αἷμα κάθηρον | . . . Σαρπηδόνα] *purgandi* verba duplicem huiuscemodi accusativum etiam Σ 345 ζ 226 adsciscunt (cf. etiam l. a. Φ 122).

672 et 682. διδυμάοσιν] cf. Λ 241.

*ἔνθα ϝε ταρχύσουσι κασίγνητοί τε ϝέται τε* 674 sq. = 456 sq.
675 *τύμβωι τε στήληι τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.“*
*ὣς ἔφατ', οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων,* 676 sq.ª = *O* 236 sq.
*βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς φύλοπιν αἰνήν,*
*αὐτίκα δ' ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρας,* 678-681 cf. 668 sqq.
*πολλὸν ἀπὸ πρὸ φέρων, λοῦσεν ποταμοῖο ῥοῆισι*
680 *χρῖσέν τ' ἀμβροσίηι, περὶ δ' ἄμβροτα ϝείματ' ἔϝεσσε·*
*πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,*
*Ὕπνωι καὶ Θανάτωι διδυμάοσιν, οἵ ῥά μιν ὦκα* 682 = 672
*κάτθεσαν ἐν Λυκίηι εὐρείηι πίονι δήμωι.* 683 cf. 673

*Πάτροκλος δ' ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας*
685 *Τρῶας καὶ Λυκίους μετεκίαθε, καὶ μέγ' ἀάσθη*
*νήπιος· εἰ δὲ ϝέπος Πηληϊάδαο ἐφύλαξε,*
*ἦ κεν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.*
688 *ἀλλ' αἰεί γε Διὸς κρείσσων νόος ἠέ περ ἀνδρός,* 688 cf. *P* 176
691 *ὅς ϝοι καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἔηκε.*
*ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξας,* 692 cf. *E* 703
*Πάτροκλος, ὅτε δή σε θεοὶ θάνατόνδ' ἐκάλεσσαν;* 693 cf. *X* 297
*Ἄδρηστον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον*

---

689 *ὅσ τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην* 689 sq. = *P* 177 sq.
*ῥηϊδίως, ὅτε δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι.* 690ᵇ cf. *Υ* 171

---

676. *ἀνηκούστησεν*] cf. *O* 236. || 687. *κεν* § 326] *τ' ἂν*. || 688. *γε* Syr.] *τε Ω*, item versu parall.; an **κρείσσων γε Διὸς νόος*? Cf. § 328². — *κρείσσων*] *-ω* olim quidam (Zen.? cf. *A* 80). — *ἀνδρός* Syr. A T] *-ῶν Ω*. || 689 sq. Om. Syr. A D et olim alii (teste Eust. 1081, 36). || 689. *φοβεῖ*] *φέβει* (item *P* 177)? Cf. § 244. || 690. *ὅτε*] *τότε* Aristoph. (item *P* 178; cf. *M* 141); *ὅτε* est etiam *Λ* 568. — *αὐτὸς*] *αὖτις* Bentley. — *ἐποτρύνει* C T *μαχέσασθαι* Harl.] *-νη(ι)σι μάχεσθαι Ω*. Eadem v. l. est *P* 178; cf. etiam *Υ* 171. Paradiorthosi debetur quod habet Par. *ὅτε τ' αὐτὸς ἐποτρύνῃσι μάχεσθαι*. || 691. **ἔηκε*] *ἐνῆκεν* Syr. D, *ἀνῆκεν Ω*. Cf. *P* 570 et *Ψ* 709; *ἀνιέμεναι θυμόν* alibi non dicitur, *ἀνῆκε θυμόν* cum acc. personae est *H* 152 al. || 693. **Πάτροκλος*] *Πατρόκλειος Ω*, item vs. 859. Cf. § 51 et 73.

---

674. ταρχύσουσι] cf. H 85.

675. τύμβωι τε στήληι τε] cf. vs. 457.

677. φύλοπιν] § 66.

679. λοῦσεν] § 295.

685. μέγ' ἀάσθη] quippe qui victoria elatus et pugnae ardore abreptus non recordaretur verborum Achillis, usque ad ipsam urbem Troianos persequi se vetantis (cf. vs. 87—96).

686. Πηληϊάδα'(ο)] § 55.

689. φοβεῖ καὶ ἀφείλετο] praesens tempus aoristo gnomico iunctum, ut Δ 161.

692. Imitatur Verg. Aen. XI 664: *quem telo primum, quem postremum, aspera virgo | deicis?*

694. Cf. A 8 sq.

Ἄδρηστον] cf. Z 63.

καὶ Πέριμον Μεγάδην καὶ Ἐπίστορα καὶ Μελάνιππον,
αὐτὰρ ἔπειτ' Ἔλασον καὶ Μούλιον ἠδὲ Πυλάρτην.
τοὺς ἕλεν· οἳ δ' ἄλλοι φύγαδ' ἐμνάοντο ϝέκαστος.
ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷεσ Ἀχαίων — 698 = Φ 544
Πατρόκλοι' ὑπὸ χερσί, — περὶ πρὸ γὰρ ἔγχε' ἔθυιε, — 699b = Λ 180
εἰ μὴ Ἀπόλλων Φοῖβοσ ἐΰ δμητοῖ' ἐπὶ πύργου — 700a = Φ 545
ἔστη, τῶι ὀλοὰ φρονέων, Τρώεσσι δ' ἀρήγων. — 700b cf. M 154
τρὶσ μὲν ἐπ' ἀγκῶνοσ 'βᾶ τείχεοσ ὑψηλοῖο
Πάτροκλοσ, τρὶσ δ' αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων, — 703 sq. cf. E 437
χείρεσσ' ἀθανάτησι φαεινὴν ἀσπίδα νύσσων. — [sq.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ϝίσοσ, — 705 sq.a = E 438
δϝεινά ϝ' ὁμοκλήσασ ϝέπεα πτερόεντα προσηύδα· — 706 = Υ 448
„χάζεο, διογενὲσ Πατρόκλεεσ· οὔ νύ τοι αἶσα
σῶι ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων, — 708 cf. Φ 584
οὐδ' ὑπ' Ἀχιλλῆοσ, ὅσ περ σέο πολλὸν ἀμείνων." — 709b cf. H 114
ὣσ 'φάτο, Πάτροκλοσ δ' ἀνεχάζετο πολλὸν ὀπίσσω, — 710 cf. E 443
μῆνιν ἀλευάμενοσ ϝεκατηβόλου Ἀπόλλωνοσ. — 711 = E 444

Ἕκτωρ δ' ἐν Σκαιῆισι πύληισ' ἔχε μώνυχασ ἵππουσ·
'δϝίζε γὰρ ἠὲ μάχοιτο κατὰ κλόνον αὖτισ ἐλάσσασ,
ἦ λαοὺσ εἰσ τεῖχοσ ὁμοκλήσειε ϝαλῆναι.
ταῦτ' ἄρα ϝοι φρονέοντι παρίστατο Φοῖβοσ Ἀπόλλων,
ἀνέρι ϝεισάμενοσ αἰζηῶι τε κρατερῶι τε, — 716 cf. h. Ap. 449

696. *Μούλιον*] cf. Λ 739. ‖ 697. *ἕλεν*] ἕλεσ Zen. ‖ 699. (ἔ)*θυιε* A H] *θῦε* Ω. Cf. § 286[10]. ‖ 703. *αὐτὸν*] -*όσ* Hartman. ‖ 706. *δϝεινά ϝ'*(*ε*)] *δεινὰ δ'* Ω (*δεινὸν* L). Cf. E 439. — *ϝέπεα πτερόεντα προσηύδα* A C H L] *προσέφη ἐκάεργοσ Ἀπόλλων* Ω (ut E 439). ‖ 707. *τοι*] *πω* Ar. ‖ 708. *πέρθαι Τρώων*] **Τρ πέρθεσθ'*? Cf. § 211[9]. ‖ 710. *πολλὸν*] *τυτθὸν* (ut E 443) Zen.

697. φύγαδ' ἐμνάοντο] de verborum structura cf. Ε 252 et de -άοντο termino § 191. *Eundi* verbum omissum est, ut supra in locutione ἐπί τινι κέλεσθαι vs. 382.

699. Πατρόκλοι'(ο)] § 59.

— ἔγχε'(ϊ)] § 71.

700. δμητοῖ'(ο)] § 59.

702. ἀγκῶνοσ] vox proprie *cubitum* valens *muri* (*turris*) *angulum* (cf. Χ 97) nunc significat.

703. αὐτὸν] si sincerum est hoc pronomen, opponitur nunc Patroclus *Troianis*, quos vincere volebat: cum heros defensoribus de muro pulsis in urbem irruere conaretur, *ipse* a deo est repulsus.

707. Πατρόκλεεσ] § 73.

709. Sciebat et ipse Achilles se urbe non potiturum; cf. Ρ 406 sq. Σ 95 sq. Φ 277 sq. (Τ 417 Χ 359 sq. Ω 85 sq., 131 sq.) Ψ 150 et Α 352 sq. Χ 61.

713. 'δϝίζε] *ambigebat*. Verbum †.

*Ἀσίωι, ὃσ μήτρωσ ἦεν Ἔκτοροσ ἱπποδάμοιο,*
*αὐτοκασίγνητοσ Ϝεκάβησ, υἱὸσ δὲ Δύμαντοσ,*
*ὃσ Φρυγίηι ναίεσκε ῥοῆισ' ἔπι Σαγγαρίοιο·* [cf. *P* 585
*τῶι μιν ϝεισάμενοσ προσέφη Διὸσ υἱὸσ Ἀπόλλων·* 720 = *P* 326 *Υ* 82
720ª = *B* 22
*„Ἔκτορ, τίπτε μάχησ ἀποπαύεαι; οὐδέ τί σε χρή.*
*αἴθ', ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτεροσ εἴην!* 722ᵇ sq.ª = *φ* 373 sq.
*τῶι κε τάχα στυγερῶσ πολέμοι' ἀπερωήσειασ.* 723ª = *ψ* 23
*ἀλλ' ἄγε, Πατρόκλωι ἔπεχε κρατερώνυχασ ἵπποουσ,* 724 cf. 732
*αἴ κέν πώσ μιν ἕλησισ, δώηι δέ τοι εὖχοσ Ἀπόλλων.“* 725 cf. *H* 81
*ὣσ ϝειπὼν ὃ μὲν αὖτισ ἔβη θεὸσ ἂμ πόνον ἀνδρῶν,* 726 = *N* 239
*Κεβριόνηι δ' ἐκέλευσε δαΐφρονι φαίδιμοσ Ἕκτωρ*
*ἵπποουσ εἰσ πόλεμον πεπληγέμεν'. αὐτὰρ Ἀπόλλων*
*'δύσεθ' ὅμιλον ἰών, ἐν δὲ κλόνον Ἀργείοισι*
*ἧκε κακόν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδοσ ὄπαζε.* 730 = *M* 255
*Ἕκτωρ δ' ἄλλουσ μὲν Δαναοὺσ ἐᾶ' οὐδ' ἐνάριζε,*
*αὐτὰρ ὃ Πατρόκλωι ἔπεχε κρατερώνυχασ ἵπποουσ·* 732 cf. 724
*Πάτροκλοσ δ' ἑτέρωθεν ἀφ' ἵππων ἅλτο χαμᾶζε* 733ᵇ = 755
*ἔγχοσ ἔχων σκαιῆι, ἑτέρηφι δὲ 'λάζετο πέτρον*
*μάρμαρον ὀκριόεν', ὅν ϝοι περὶ χεὶρ ἐκάλυψε·* 735ª cf. *M* 380

719. *Φρυγίηι*] *-ην* Syr. G Strab. 590. || 720. *ϝεισάμενοσ* § 212³] *ἐεισάμενοσ.* || 724 et 732. *ἔπεχε* L, vs. 732 etiam G et l. a. in A] *ἔφιπε Ω* (cf. *E* 329). || 734. **ἔγχοσ ἔχων σκαιῆι*] *σκαιῆι ἔγχοσ ἔχων Ω* vitio metrico (cf. § 14). || 735. *ὀκριόεν'*, *ὅν* Bentley] *-εντα, τόν.*

717. ἔεν] § 302.

719. *Sangarii* fluvii etiam Γ 187 fit mentio.

721. σε χρή] cf. I 75 sq.

722 sq. Optativus ut Δ 314.

723. στυγερῶσ] *cum magno tuo* (*suo* al.) *malo*, item φ 374 ψ 23 et adi. χ 470. Cf. κακῶσ χ 27 et adiectivi πικροῦ usus ρ 448.

— πολέμοι'(ο)] § 59.

731. ἔα'(ε)] § 191.

734. Hastam, qua ipsum mox Hectorem petiturus est, Patroclus sinistra comprehendit, dein lapidem dextra arreptum torquet in Hectoris aurigam, qui dum habenas tenet, tela hostilia cavere nequit; auriga autem interfecto currus inutilis fiet. In secunda pugna prius *Eniopeus* Hectori fuit auriga, dein hoc necato *Archeptolemus* (cf. Θ 119—129); qui cum item interfectus esset, Hector fratri suo *Cebrioni* habenas tradidit (cf. Θ 312—319), qui et hodie in pugna tertia ei aurigavit. Post Cebrionen quoque nunc peremtum novum aurigam non quaesivit, sed pedes pugnavit per ceteram huius diei partem et die sequenti usque ad mortem (cf. Π 820, 864 P 75, 87, 213, 592 Σ 160 Υ 379, 422 Χ 5 sqq.). Currum autem in urbem remisit (cf. P 130 sq., 189—191).

735. ὅν ϝοι περὶ χεὶρ ἐκάλυψε] χειροπληθῆ, saxum quantum alterius manus digitis comprehendere poterat.

ἦκε δ' ἐρεισάμενος, οὐδὲ δϝὴν ἄζετο φωτός,
οὐδ' ἀλίωσε βέλος, 'βάλε δ' Ἕκτορος ἡνιοχῆα,
Κεβριόνην, νόθον υἱὸν ἀγακλεέος Πριάμοιο,
ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέϊ λᾶϊ. 739ᵃ = Θ 121
739ᵇ cf. Λ 95
740 ἀμφοτέρας δ' ὀφρῦσ σύνελεν λίθος, οὐδέ ϝοι ἔσχε
ὀστέον, ὀφθαλμοὶ δὲ χαμαὶ 'πέσον ἐν κονίησι
[sq.
αὖθι πρόσθε ποδῶν· ὃ δ' ἄρ' ἀρνευτῆρι ϝεϝοικὼσ 742 sq. cf. E 585
742ᵇ = M 385
κάππεσ' ἀπ' εὐϝεργέοσ δίφρου, 'λίπε δ' ὀστέα θυμός. 743 cf. M 386
τὸν δ' ἐπικερτομέων προσέφησ, Πατρόκλεεσ ἱππεῦ· 744ᵃ = χ 194 cf.
Ω 649
745 „ὦ πόποι, ἦ μάλ' ἐλαφρὸσ ἀνήρ· ὡσ ῥεῖα κυβιστᾶι!
εἰ δή που καὶ πόντωι ἔν ἰχθυόεντι γένοιτο,

---

736. ἄζετο] χάζετο H (cf. Λ 539); utrumvis obscurum. ‖ 741—743. Postmodo aucta haec videntur. Cf. comment. ‖ 742. δ' ἄρ' ἀρνευτῆρι] cf. M 385.

---

736. *Iecit omni virium intentione et nihil cunctatus.* Hoc fere requiritur; sed (χ)άζετο verbum aut corruptum est aut aliunde ignotum. Nam alienum hinc est *verendi* verbum ἄζεσθαι (infinitivum vel accusativum regens), nec non *recedendi* verbum χάζεσθαι. — Versum postmodo additum esse Heyne suspicatus est.

738. ἀγακλεέοσ] § 73.

740. σύνελεν] *coniunctim abstulit* (= σὺν ἀφεῖλε); verbum redit υ 95. Cf. διελεῖν *perforare* Υ 280.

741—743. Horribilia magis quam perspicua sunt haec. Os frontale saxo *confractum* et oculos *elisos* facile nobis fingimus: oculos capite *excussos* et ante pedes morientis *prolapsos* non item, et certum est nihil eiusmodi fieri unquam potuisse. Imago autem *urinatoris*, qui capite demisso manibusque protentis de navi (cf. μ 413) in undas se proicit, multo aptior est M 385, ubi de *alta turri* miles quidam pronus decidit, quam nostro loco, ubi de *capso currus* Cebriones ruens manus extendere vix potuit quin terram continuo contingeret (cf. E 586). Itaque mox (vs. 750) Patroclus, licet et ipsius menti imago urinatoris obversetur, non tamen ἀρνευτῆρι assimulat militem cadentem, sed κυβιστητῆρι sive *saltatori* corpore gyrum ducenti. Accedit quod *resupinus* potius quam *pronus* cadere debuit Cebriones a fronte percussus. Denique verba κάππεσ' ἀπ' εὐϝεργέοσ δίφρου metro cogente dicta sunt pro κάππεσεν ἐκ δίφροι' ἐὐϝεργέοσ vel ἐὐϝεργέοσ ἔκπεσε δίφρου, ut est E 585. Quapropter in textu varias has ob causas suspecto forma recentior εὐϝεργέοσ (cf. § 73) non est sollicitanda, nisi et vicina mutentur. Oculos humi proiectos imitator ex N 616 sq. potuit desumere, ubi Agamemnon faciem Pisandri vehementissimo ictu gladii a capite recidit. Quae cum ita sint, vellet quis pro vs. 740ᵇ—743 haec sola fere legi: οὐδέ ϝοι ἔσχε | ὀστέον, ἐκ δίφρου δ' ἔπεσεν· 'λίπε δ' ὀστέα θυμός. Tales, quales traditi sunt, ipsi poetae deberi hi versus non videntur.

742. αὖθι] § 322.

744. Πατρόκλεεσ] § 2 et 73.

745. Cf. similis iocus vs. 617 sq.

πολλούς κεν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν,
νηὸς ἀποθρώισκων, εἰ καὶ δυσπέμφελος εἴη,
ὡς νῦν ἐν πεδίοι ἐξ ἵππων ῥεῖα κυβιστᾶι.
ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασι.“
ὣς ϝειπὼν ἐπὶ Κεβριόνηι ἦρω᾽ ἐβεβήκει
οἶμα λέοντος ἔχων, ὅς τε σταθμοὺς κεραΐζων
ἔβλητο πρὸς στῆθος, ἐρή τέ μιν ὤλεσεν ἀλκή·
ὣς ἐπὶ Κεβριόνηι, Πατρόκλεες, ἄλσο μεμαώς.
Ἕκτωρ δ᾽ αὖθ᾽ ἑτέρωθεν ἀφ᾽ ἵππων ἅλτο χαμᾶζε. 755ᵇ = 733
τὼ περὶ Κεβριόναο λέοντ᾽ ὣς δῆριν ἐθέσθην,
ὥ τ᾽ ὄρεος κορυφῆισι περὶ κταμένηι ἐλάφοιο, 757ᵃ sq.ᵇ = 824
ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον·
ὣς περὶ Κεβριόναο δύω μήστωρες ἀϋτῆς,
Πάτροκλός τε Μενοιτιάδης καὶ φαίδιμος Ἕκτωρ,
ϝίεντ᾽ ἀλλήλων ταμέμεν χρόα νηλέϊ χαλκῶι. 761 = Ν 501
Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ ϝλάβεν, οὔ τι μεθίει, 762 cf. Ο 716
Πάτροκλος δ᾽ ἑτέρωθεν ἔχεν ποδός· οἳ δὲ δὴ ἄλλοι
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην. 764 = Ξ 448
ὡς δ᾽ Εὖρός τε Νότος τ᾽ ἐριδαίνετον ἀλλήλοιιν
οὔρεος ἐν βήσσηι βαθέαν πελεμιζέμεν ὕλην, 766ᵃ = 634
φηγόν τε μελίην τε τανύφλοιόν τε κράνειαν,

748. δυσπέμφελος εἴη] -λοι εἶεν Zen. (cf. Hes. Op. 722). ‖ 752—754. Spurii? Cf. comment. ‖ 756. δῆριν ἐθέσθην Nauck coll. *P* 158] δηριηθήτην. Cf. § 193. ‖ 762. οὔ τι L] οὐχὶ Ω (cf. Ο 716). ‖ 766. *βήσσηι] -ησι. Cf. vs. 634. — βαθέαν § 17 et 75] -ην Ω, Nauck βήσσηισι, βαθὺν (cf. § 53).

747. κεν] § 326.

— τήθεα] †, *ostreas*?

— διφῶν] †, *petens* (accedente notione operose perscrutandi maris profunda). Cf. Hes. Op. 374 Ar. Nub. 192 Herod. Mim. III 54 VI 73 VII 78.

748. δυσπέμφελος] *male fervidus, aestuans.* Adi. †, de quo cf. I 516. *Maris* epitheton esse sensit Ar.; redit Hes. Theog. 440 Oper. 618, 722, nostro autem loco substantivi vicem obit (etiamne Hes. Theog. 440?).

751. ἦρω᾽(ϊ)] § 13.

752—761. Duae recensiones (vs. 752—754 et 756—758) videntur confluxisse, aptior autem est posterior; nam „cum leone sauciato Patroclus quomodo commode comparari nunc potest“ (Heyne)? — Cf. B 144—148.

753. ἐρή τέ μιν ὤλεσεν ἀλκή] cf. Z 407.

754. Πατρόκλεες] § 73.

— μεμαώς] § 160.

758. πεινάοντε] § 190.

761. ταμέμεν] § 126.

764. σύναγον . . . ὑσμίνην] cf. B 381.

767. τανύφλοιον] †, *glabram*, cortice veluti extenso sine nodis vel rugis insignem.

αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
ϝηχῆι θεσπεσίηι, πάταγος δέ τε ϝαγνυμενάων,
ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες — 770 sq. = Λ 70 sq.
δήιοον, οὐδ' ἕτεροι μνάοντ' ὀλοοῖο φόβοιο.
πολλὰ δὲ Κεβριόνην ἀμφ' ὀξέα δοῦρ' ἐπεπήγει
ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες,
πολλὰ δὲ χερμάδια μεγάλ' ἀσπίδας ἐστυφέλιξαν — [sq.
μαρναμένων ἀμφ' αὐτόν· ὃ δ' ἐν στροφάλιγγι κονίης — 775b sq. cf. ω 39; 775bsq.asq. cf. Σ 26 sq.
κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων. — 775b cf. Φ 503
ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφεβεβήκει, — 777 cf. Θ 68
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἵπτετο, πίπτε δὲ λαός· — 778 = Θ 67
ἦμος δ' ἠέλιος μετενίσσετο βουλυτόνδε, — 779 = ι 58
καὶ τότε δή ῥ' ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν.
ἐκ μὲν Κεβριόνην βελέων ἥρῳ' ἐϝέρυσσαν
Τρώων ἐξ ἐνοπῆς, καὶ ἀπ' ὤμων τεύχε' ἕλοντο, — 782a = P 714; 782b = H 122
Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσε. — 783b cf. K 486
τρὶς μὲν ἔπειτ' ἐπόρουσε θοῶι ἀτάλαντος Ἄρηϊ, — 784a = E 436
σμερδαλέα ϝιϝάχων, τρὶς δ' ἐννέα φῶτας ἔπεφνε.

---

768. τανυήκεας] ταναήκεας Ambr. (cf. H 77 al.). || 774. ἐστυφέλιξαν Ar.] -ξε(ν) D T. || 775. αὐτόν] -τῶι? Cf. vs. 526. — δ' ἐν Ar. L] δὲ Ω. Cf. Θ 337. || 778. μάλ'(α)] μὲν A. || 784. ἐπόρουσε] ἐνόρ. Ambr. T.

---

771. δήιοον] § 191.

— μνάοντ'(ο)] § 190 sq.

776. μέγας μεγαλωστί] cf. H 39.

— ἱπποσυνάων] artis aurigandi, qua Cebriones multum profuerat Hectori. Hic pedes exinde dimicavit, etiam die sequenti (cf. vs. 734).

777—779. Haec omnia tempore meridionali et pomeridionali eiusdem diei, cuius Λ 86 fit mentio, dicuntur esse facta; et fieri facile potuerunt. De versu 777 cf. Θ 68, de verbo ἀμφιβαίνειν A 37, de nomine βουλυτός Λ l. l.

780. ὑπὲρ αἶσαν] P 321 et 327. Ita nunc interpretanda est haec locutio ut Achivi dicantur aliquantisper vicisse, licet non hos sed Troianos illo die superiores fore decrevisset Iuppiter.

785. τρὶς ... ἐννέα] numerus IX sive III², qui sollemnis est in Iliade et veluti sacrosanctus (cf. Λ 303—309 al.), nunc etiam augetur (IX × III sive III³). Sic Odysseae poeta suum heroëm extollens per IX × II νυχθήμερα somnum non vidisse ait ε 278 sq., et alterum numerum sollemnem altero multiplicans, procos IX × XII vicisse et interfecisse (cf. α 245—248). Nempe ad virtutis fastigium pervenit nunc Patroclus, et ipsum carmen quod est de Achillis ira veluti ad fastigium suum sive καταστροφήν iam pervenit; moriturus enim est Achillis amicus, dein ipse Achilles iram abiecturus. — Cum alia possunt conferri tum vaticinium, quod belli Peloponnesii initio in hominum ore fuisse testatur Thucy-

*ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ϝἶσος,* 786 = *E* 438
*ἔνθ' ἄρα τοι, Πάτροκλε, 'φάνη βιότοιο τελευτή·* 787[b] = *H* 104
*ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇι ὑσμίνηι*
*δϝεινός. ὃ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησε,*
*ἠέρι γὰρ πολλῆι κεκαλυμμένος ἀντεβόλησε·*
*'στῆ δ' ὄπιθεν, 'πλῆξεν δὲ μετάφρενον εὐρέε τ' ὤμω*
*χειρὶ καταπρηνεῖ, 'στρεφεδίνηθεν δέ ϝοι ὄσσε.* 792[a] = *ν* 164 h. Ap. 333
*τοῦ δ' ἀπὸ μὲν κρατὸς κυνέην 'βάλε Φοῖβος Ἀπόλλων·* 793 cf. *O* 125
*ἣ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὕφ' ἵππων*
*αὐλῶπισ τρυφάλεια, 'μιάνθησαν δὲ ϝέθειραι*
*αἵματι καὶ κονίηισι. πάροσ γε μὲν οὐ θέμισ ἦεν*
*ἱππόκομον πήληκα μιαίνεσθαι κονίηισι,*
*ἀλλ' ἀνδρὸσ θείοιο κάρη χαρίεν τε μέτωπον*
*'ρύετ', Ἀχιλλῆοσ· τότε δὲ Ζεὺσ Ἕκτορ' ἔδωκε*
*ϝῆι κεφαλῆι φορέειν. σχεδόθεν δέ ϝοι ἦεν ὄλεθροσ·*
*πᾶν δέ ϝοι ἐν χείρεσσι 'ϝάγη δολιχόσκιον ἔγχοσ,* 801 cf. *Γ* 367
*βριθύ, μέγα, στιβαρόν, κεκορυθμένον, αὐτὰρ ἀπ' ὤμων* 802[a] = *E* 746
*ἀσπὶσ σὺν τελαμῶνι χαμαὶ 'πέσε τερμιόεσσα,*

787. *βιότοιο*] cf. *H* 104. || 788. *τοι*] *οἱ* T (cf. vs. 697). || 792. *καταπρηνεῖ*] **-νέσ* (item *ν* 164)? Cf. § 73 et *O* 114 *Υ* 131. || 801. *πᾶν*] sic Ar., *τῶι* l. a. ant.

dides (V 26 § 4), ὅτι τρὶσ ἐννέα ἔτη δέοι γενέσθαι τοῦτον τὸν πόλεμον, et ratio a Philolao inita ad solis lunaeque itinera inter se concilianda; qui menses (IX × III)[3] sive III[6] sive 729 aequabat annis solaribus 59. Praeterea cf. Hes. fr. 171 et Hendess Orat. Graec. p. 3.

791–806. Sic Alcathoo Neptunus stuporem incussit N 434–439.

792. 'στρεφεδίνηθεν] †. Patrocli, qui vehementi ictu a tergo percussus est, non firmi clarique manserunt oculi, sed veluti hominis dementis vel morbo comitiali correpti volvebantur in orbitis. Quod N l. l. dicitur: ὅσσε ἔθελχθεν.

795. αὐλῶπισ] cf. E 182.

796. οὐ θέμισ ἦεν] dum Achillis herois invicti caput tuebatur donum divinum (cf. P 195 sq. Σ 84 et supra vs. 148–151).

799 sq. Non ab Iliade quidem (cf. vs. 38—45), sed a prisca fabula alienus fuit Hector ὁ κορυθαιόλοσ galeam, quam ipse Troiae deus tutelaris Apollo ei tribuerat (cf. Λ 353), ponens ut galea hostili caput ornaret. Cf. Σ 131 sq.

799. Ἕκτορ'(ι)] § 13.

800. ϝοι] *Patroclo*, ut vs. sq.

801–803. Fregit Apollo hastam Patrocli, divulsit autem balteum unde eius clipeus suspensus erat. Quae *quomodo* fecerit deus, poeta non rogat. Voluit Apollo frangi arma: fracta sunt. Cf. Z 306 sq. O 464 al.

803. τερμιόεσσα] adi. redit (Γ 338 l. a.) τ 242 Hes. Op. 537: τερμιόεντα χιτῶνα, ubi *talarem* (ποδήρη vel ποδη-

ἄλῦσε δέ ϝοι θώρηκα ϝάναξ Διὸς υἱὸς Ἀπόλλων.
τὸν δ' ἀάτη φρένας εἷλε, λύθεν δ' ὑπὸ φαίδιμα γυῖα,
στῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξέϊ δουρὶ 806ª = Λ 545
ὤμων μεσσηγὺ σχεδόθεν βάλε Δάρδανος ἀνήρ,
Πανθοΐδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο 808ᵇ cf. N 431
ἔγχεΐ θ' ἱπποσύνηι τε πόδεσσί τε καρπαλίμοισι· 809ª = Λ 503
καὶ γὰρ δὴ τότε φῶτας ἐϝείκοσι βῆσεν ἀφ' ἵππων,
πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο.
ὅς τοι πρῶτος ἐφῆκε βέλος, Πατρόκλεες ἱππεῦ,
οὐδ' ἐδάμασσ'. ὃ μὲν αὖτις ἀνέδραμε, μίκτο δ' ὁμίλωι, 813ᵇ = Λ 354
ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον, οὐδ' ὑπέμεινε
Πάτροκλον γυμνόν περ ἐόντ' ἐν δηϊοτῆτι·
Πάτροκλος δὲ θεοῦ πληγῆι καὶ δουρὶ δαμασθεὶς
ἄψ ἑτάρων εἰς ϝέθνος ἐχάζετο κῆρ' ἀλεείνων. 817 cf. Γ 32
Ἕκτωρ δ' ὡς ἔϝιδεν Πατροκλέεα μεγάθυμον
ἄψ ἀναχαζόμενον, βεβλημένον ὀξέϊ χαλκῶι,
ἀγχίμολόν ῥά ϝοι ἦλθε κατὰ στίχας, οὖτα δὲ δουρὶ
νείατον εἰς κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε. 821ª = E 857
821ᵇ = N 388

804. Del. Reichel (cf. vs. 133 sq.). ‖ 807. *μεσσηγὺ* Syr.] *-γὺς Ω* (*σ—σσ*). — *σχεδόθεν βάλε*] sic Ar. (coll. vs. 812 et 819), *σχεδὸν οὖτασε* Zen. (propter vs. 813ᵇ sq.ª). ‖ 810. *τότε* Ar. Syr. H L] *ποτε Ω*. ‖ 820. *ῥά*] *δέ* Syr. H (ut. *Λ* 529).

νεκῆ) interpretantur veteres: *tunicam talarem* festis diebus ferendam; cf. ἑλκεχίτων N 685. Nostro igitur loco significatur clipeus ad pedes usque pertinens (ποδηνεκής O 645 sq.). Non *oblongos* clipeos poeta hoc similibusve locis videtur cogitasse, sed similem figuram huic Patrocli sive Achillis clipeo tribuisse atque fuit novi clipei quem deinde Achilli fabricavit Vulcanus; illum autem *rotundum* sibi mente informavit (cf. Σ 483—608).

807. E carmine antiquiore haec ducta esse veri simile reddit id quod de *Protesilao* verbis simillimis dicitur B 701, ubi fabula prisca aperte significatur.

808. ἡλικίην] cf. Γ 175.

809. Cf. Λ 503.

811. Viginti principes peremit Euphorbus, licet in bello nuper coorto tirocinium tunc faceret (cf. Δ 477—479). Iuvenile eius decus pingitur P 52—60. Cf. Tyrtaei fr. 11²⁷: ἔρδων δ' ὄβριμα ϝέργα διδασκέσθω πολεμίζειν. Locutioni διδασκόμενος πολέμοιο similia sunt genitivus participio ἐπιστάμενος additus φ 406 et locutio πολέμοιο δαήμεναι Φ 487. — Etiam Nestor iuvenis imperitus olim hostes fortiter profligavit et vel *centum* eorum sua manu interfecit (cf. Λ 717—721, 748 sq.).

812. Πατρόκλεες] § 2 et 73.

813 sq. μίκτο—μείλινον] Euphorbus iuvenis velocissimus irruit in Patroclum a tergo percussum et prius quam ille convertere se potuit evulsa hasta recessit.

'δούπησεν δὲ πεσών, μέγα δ' ἴαχε λαὸν Ἀχαιῶν.
ὡς δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμηι,
ὅς τ' ὄρεος κορυφῆισι μέγα φρονέοντε μάχεσθον 824ª = 757
824ᵇ = 758
πίδακος ἀμφ' ὀλίγησ, ἐθέλουσι δὲ πινέμεν' ἄμφω,
πολλὰ δέ ϝ' ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφι·
ὣς πολέας πεφνόντα Μενοιτίου ἄλκιμον υἱὸν
Ἕκτωρ Πριαμίδησ σχεδὸν ἔγχεϊ θυμὸν ἀπέρρα, [179
828ᵇ cf. *Υ* 290 *Φ*
καί ϝοι ἐπευχόμενοσ ϝέπεα πτερόεντα προσηύδα· 829 cf. *Φ* 121, 409
„Πάτροκλ', ἦ ποθ' ἔφησθα πόλιν κεραϊξέμεν' ἡμήν,
Τρωϊάδασ δὲ γυναῖκασ ἐλεύθερον ἦμαρ ἀποῤῥὰσ 831 cf. *Υ* 193
831ᵇ = *Ζ* 455
ἀξέμεν' ἐν νήεσσι φίλην εἰσ πατρίδα γαῖαν,
νήπιε! τάων δὲ πρόσθ' Ἕκτοροσ ὠκέεσ ἵπποι
ποσσὶν ὀρωρέχαται πολεμιζέμεν', ἔγχεϊ δ' αὐτὸσ
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω
ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπεσ ἔδονται. 836ᵇ cf. *χ* 30
ἆ δ ϝεί', οὐδέ τοι ἐσθλὸσ ἐὼν 'χραίσμησεν Ἀχιλλεύσ,
ὅσ ποθί τοι μάλα πολλὰ μένων ἐπετέλλετ' ἰόντι·
„μή μοι πρὶν ἴμεναι, Πατρόκλεεσ ἱπποκέλευθε,
νῆασ ἔπι γλαφυράσ, πρὶν Ἕκτοροσ ἀνδροφόνοιο
αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.' 841ᵇ = *Β* 416
ὣσ ποθί σε προσέφη, σοὶ δὲ φρένασ ἄφρον' ἔπειθε." 842ᵇ cf. *Δ* 104
τὸν δ' ὀλιγοδρανέων προσέφησ, Πατρόκλεεσ ἱππεῦ· 843ª cf. *Ο* 246
„ἤδη νῦν, Ἕκτορ, μεγάλ' εὔχεο· σοὶ γὰρ ἔδωκε

---

825. *πίδακοσ ἀμφ' ὀλίγησ*] *-κι ἀμφ' -γηι*? vHerwerden *-κοσ ἄγχ' ὀλίγησ*. Cf. § 316¹. — *πινέμεν'(αι)* G] *πιέμεν Ω* (cf. *H* 481). || 826. *ϝ'(ε)* Brandreth] *τ'*. || 828. *ἀπέρρα* § 150⁵] *ἀπηύρα*. || 829. *πτερόεντα προσηύδα* A C] *-ντ' ἀγόρευε* D T. || 830. *κεραϊξέμεν'(αι)* Bekker] *-ξέμεν* (cf. vs. 832 et *B* 436). || 831. *ἀποῤῥὰσ* § 150⁵] *ἀπούρασ*. || 840. *πρὶν*] *πρίν γ'* Syr. T (cf. § 18). — *ἀνδροφόνοιο*] *ἱποδάμοιο* Syr. (cf. *Ω* 724). || 842. *σε*] sic Ar., *σοι* Syr. D.

---

829—863. Verbis similibus *Achilles* X 330—367 morientem irridet *Hectorem*, hic autem mortem proximam vaticinatur ipsi, ut nostro loco Hectori Patroclus. Quae morientium credebatur esse facultas; cf. Plat. Apol. 39 *c* Cic. de Div. I § 63.

830. ποθ'(ι)] § 322.

— ἡμήν] § 95.

832. ἀξέμεν'(αι)] § 125.

833. Cf. H 75 et A 240.

834. πολεμιζέμεν'(αι)] § 125.

835 sq. δ — ἀναγκαῖον] cf. Z 403 et de adiectivo quod est ἀναγκαῖοσ ρ 399.

838 et 842. ποθί] § 322. „Opinor" Hector ait, hosti deiecto insultans. Alia omnia autem Patroclo mandaverat Achilles (cf. vs. 685).

842. ἄφρον'(ι)] § 13.

843. Πατρόκλεεσ] § 2 et 73.

844. ἔδωκε] cf. A 255.

νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ μ' ἐδάμασσαν
ῥηϊδίως, αὐτοὶ γὰρ ἀπ' ὤμων τεύχε' ἔλοντο. 846ᵇ = *H* 122
τοιοῦτοι δ' εἴ πέρ μοι ἐρείκοσιν ἀντεβόλησαν,
πάντες κ' αὐτόθ' ὄλοντο ἐμῶι ὑπὸ δουρὶ δαμέντες. 848ᵇ = *Λ* 749
ἀλλά με μοῖρ' ὀλοὴ καὶ Λητόος ἔκτανεν υἱός,
ἀνδρῶν δ' Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις.
ἄλλο δέ τοι ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισι· 851 = *Λ* 297
οὔ θην οὐδ' αὐτὸς δηρὸν βίῃ, ἀλλά τοι ἤδη 852ᵇ sq. = *Ω* 131 sq.
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή,
χερσὶ δαμεὶς Ἀχιλῆος ἀμύμονος Αἰακίδαο."
ὣς ἄρα μιν ϝειπόντα τέλος θανάτοι' ἐκάλυψε· [sqq. 855-858ᵃ = X361
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδόσδ' ἐβεβήκει, 855 = 502
ϝὸν πότμον γοάουσα, λιποῦσ' ἀνδρωτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προσηύδα φαίδιμος Ἕκτωρ·
„Πάτροκλος, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;

852. βίε'(αι) § 194] *βέηι.* || 856. (ἐ)βεβήκει] *κατῆλθεν* Athen. 507 *e.* || 857. ἀνδροτῆτα] ἀδρ. vel ἀδρ. G Cant. alii. Vocabulum redit *X* 363 *Ω* 6; cf. § 28. || 859. *Πάτροκλος*] cf. vs. 693.

847. τοιοῦτοι] *qualis tu es.*

849. Λητόος] § 77.

850. τρίτος] ut vs. 853 *mors* et *fatum*, vel P 296 *hasta* et *brachium*, sic h. l. *fatum* et *Apollo* ἓν διὰ δυοῖν enuntiatum efficiunt teste verbi ἔκτανεν vs. 849 numero singulari. Nam aliter habent loci qualis est A 255. Apollo effecit ut leto daretur Patroclus; cf. Σ 454—456. Similia sunt Σ 119 T 87, 410 λ 292 sq.; cf. etiam χ 413 et P 327. Perperam olim quidam contenderunt Hectorem *quartum*, non *tertium* Patrocli adversarium dicendum fuisse (cf. nota crit. ad Z 319).

852. βίε'(αι)] § 117.

853 sq. παρέστηκεν ... δαμέντ'(ι)] *adest* (*instat*) *tibi mors prostrato*; cf. nostrum *is aanstaande.* Item Xen. Hell. II 3 § 56 Herod. Mim. I 16. Vaticinantis haec sunt verba pro: *mox prostratus necaberis*, mentis enim oculis rem futuram nunc cernit veluti praesentem. Cf. Θ 246 et de eliso δαμέντ'(ι) § 13, de caede autem futura a vaticinantibus praedicta υ 350—357.

856. Imitatur Verg. Aen. X 820.

— ῥεθέων] vox X 68, 362 redit. Veteres interpretati sunt *artus*, sed aut quod ῥῖνας (= μυκτῆρας) significet requiritur aut quod χείλεα. Hoc verum videtur, et sic Herod. Mim. III 3 sq.: τοῦτον κατ' ὤμου δεῖρον ἄχρις ἡ ψυχὴ | αὐτοῦ ἐπὶ χειλέων μοῦνον ἡ κακὴ λειφθῆι. Cf. ῥέθος *os* (= *facies*) Soph. Ant. 529 Eur. Herc. 1204 Ap. Rhod. II 68.

— πταμένη] § 216.

857. *Vitaque cum gemitu fugit indignata sub umbras* (Verg. Aen. XI 831), corpus morti nondum maturum relinquere vi coacta. De sedibus umbrarum cf. O 188.

— γοάουσα] § 191.

858. τεθνηῶτα] § 160.

— προσηύδα] § 191.

τίσ ϝοῖδ' εἴ κ' Ἀχιλεύς, Θέτιδοσ πάϊσ ἠϋκόμοιο, — 860ᵇ = Δ 512
φθήνι ἐμῶι ὑπὸ δουρὶ τυπεὶσ ἀπὸ θυμὸν ὀλέσσαι;" — 861 cf. Δ 433
ὣσ ἄρα φωνήσασ δόρυ χάλκεον ἐξ ὠτειλῆσ — 862ᵇ = κ 164
ἕϝρυσε, λὰξ προσβάσ, τὸν δ' ὕπτιον ὦσ' ἀπὸ δουρόσ.
αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντ' ἐβεβήκει,
ἀντίθεον θεράποντα ποδώκεοσ Αἰακίδαο,
'ϝίετο γὰρ βαλέμεν· τὸν δ' ἔκφερον ὠκέεσ ἵπποι — 866 = 383
ἄμβροτοι, οὕσ Πηλῆϊ θεοὶ 'δόσαν ἀγλαὰ δῶρα. — 867 = 381

## Μενελάου ἀριστεία.

**P** οὐδ' ἔλαθ' Ἀτρέοσ υἱόν, Ἄρηϊ φίλον Μενέλαον,
Πάτροκλοσ Τρώεσσι δαμεὶσ ἐν δκϊοτῆτι.
'βῆ δὲ διὰ προμάχων κεκορυθμένοσ αἴθοπι χαλκῶι, — 3 = Δ 495
ἀμφὶ δ' ἄρ' αὐτῶι ἔβαιν' ὥσ τισ περὶ πόρτακι μήτηρ· — 4 cf. Ε 299
ὥσ περὶ Πατρόκλωι 'βαῖνε ξανθὸσ Μενέλαοσ,
πρόσθε δέ ϝοι δόρυ τ' ἔσχε καὶ ἀσπίδα πάντοσ' ἐϝίσην, — 7 sq. = Ε 300 sq.
τὸν κτάμεναι μεμαώσ, ὅσ τισ τοῦ γ' ἀντίοσ ἔλθοι.
οὐδ' ἄρα Πανθόου υἱὸσ ἐϋμμελίησ ἀμέλησε
Πατρόκλοιο πεσόντοσ ἀμύμονοσ, ἄγχι δ' ἄρ' αὐτοῦ
ἔστη, καὶ προσέϝειπεν Ἄρηϊ φίλον Μενέλαον·
„Ἀτρεΐδη Μενέλαε, διοτρεφέσ, ὄρχαμε λαῶν, — 12 = δ 156, 291, 316 ο 64, 87
χάζεο, λεῖπε δὲ νεκρόν, ἔα δ' ἔναρα βροτόεντα. — 13ᵇ cf. Ο 347
οὐ γάρ τισ πρότεροσ Τρώων κλητῶν τ' ἐπικούρων

---

5 *πρωτοτόκοσ κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο.*

---

860. *τίσ* Bentley] *τίσ δ'*. || 861. *ὀλέσσαι*] **-αο?* cf. comment. || 867. Olim addebant quidam: *ἤματι τῶι ὅτ' ἔγημε Θέτιν λιπαροκρήδεμνον* (cf. Σ 85). || 5. Del. Heyne. Epicum non est *εἰδυῖα* pro *ϝιδυῖα* (simile vitium Hes. Theog. 887 correxit Schoemann). Cf. § 160⁷. || 7. *ϝοι*] sic (*οἱ*) Ar., *ου* (i. e. *οὑ*) Zen.; cf. § 92. || 9, 23, 40, 59. *Πανθόου* et *-όωι*] cf. Ο 522. || 14. *κλητῶν*] cf. Γ 451.

---

860 sq. τίσ ϝοῖδ' εἴ κε ... φθήνι ... ὀλέσσαι;] *quis scit an ... prius moriturus sit?* = *quis praestat non ... prius moriturum?* Item Λ 792 Ο 493 γ 216 Soph. Ant. 521 Eur. fr. 639, 830 Ar. Ran. 1477 (Lys. 376). Cf. οὐ ϝοῖδ' εἰ *nescio an* Ε 183 Ο 16. — Iungenda esse φθήνι ὀλέσσαι docent loci paralleli; sed quoniam infinitivus verbo φθάμεναι iunctus apud Homerum non redit et omnino est rarissimus, verum videtur ὀλέσσασ.

863. ἔϝρυσε] § 293.

866. βαλέμεν] § 126.

867. Cf. vs. 148—151.

4—6. ἀμφὶ (περὶ) 'βαῖνε] cf. Α 37. De voce πόρταξ cf. κ 410, vox κινυρή aliunde non est cognita.

Πάτροκλον ’βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην· 15 cf. *H* 14
τῶι μ᾽ ἔαε κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
μή σε βάλω, ἀπὸ δὲ μελιϝηδέα θυμὸν ἕλωμαι.“ 17ᵇ cf. *K* 495
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη ξανθὸς Μενέλαος· 18 = *ὁ* 30, 332
18ᵃ = *H* 454
„Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάεσθαι!
οὔτ᾽ οὖν παρδάλιος τόσσον μένος οὔτε λέοντος
οὔτε συὸς κάπροι᾽ ὀλοόφρονος, οὔ τε μέγιστος
θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει, 22ᵇ cf. *Θ* 337
ὅσσον Πανθόου υἷες ἐϋμμελίαι φορέουσι.
οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
ϝῆσ ἤβησ ἀπόνηθ᾽, ὅτε μ᾽ ὤνοτο καί μ᾽ ὑπέμεινε,
καί μ᾽ ἔφατ᾽ ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
ἔμμεναι· οὐδέ ϝέ φημι πόδεσσί γε ϝοῖσι κιόντα
εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούσ τε τοκῆασ. 28 cf. *E* 688
ὥσ θην καὶ σὸν ἐγὼ λύσω μένοσ, εἴ κέ μ᾽ ἄντα
στήηισ. ἀλλά σ᾽ ἐγώ γ᾽ ἀναχωρήσαντα κελεύω 30ᵇ-32 = *Υ* 196 sqq.
εἰσ πληθὺν ἴμεναι, μηδ᾽ ἀντίοσ ἵστασ᾽ ἐμεῖο, 31ᵇ cf. *N* 448
πρίν τι κακὸν παθέμεν· ῥεχθὲν δέ τε νήπιοσ ἔγνω.“ 32ᵇ cf. Hes. Op. 218
ὣσ ’φάτο, τὸν δ᾽ οὐ ’πεῖθεν· ἀμειβόμενοσ δὲ προσηύδα·

---

20. *παρδάλιοσ*] sic Ar., *πορδ.* Ambr. A D. Cf. *N* 103. ‖ 23. *φορέουσι(ν)* Ambr. A T] *φρονέουσιν Ω* (ut *μέγα, ἀγαθά, ἀταλά, φίλα, κακὰ φρονέειν*). ‖ 25. *ἀπόνηθ᾽, ὅτε*] *-νητο, ὅ* Nauck. — *ὤνοτο* Brandreth] *ὤνατο*. Cf. *Ω* 241. ‖ 27. *ϝε*] *τε* Ar.

---

16. μ᾽ ἔαε] § 191.

17. μελιϝηδέα θυμὸν] cf. K 495.

19. *O Iuppiter, turpe immodica superbia! = O Iuppiter, fac ut aliquanto humilior mens fiat isti iactatori!*

— εὐχετάεσθαι] § 191.

21. κάπροι᾽(ο)] § 59.

22. σθένεϊ βλεμεαίνει] cf. Θ 337.

23. Πανθόου υἷεσ] *Euphorbus, Hyperenor, Polydamas.*

— φορέουσι] contemtim nec sine irrisione dicitur nunc φορέειν θυμόν pro ἔχειν, ut ἀγλαΐασ φορέειν ρ 245 vel apud comicum λῆμα θούριον φορεῖν (Ar. Eq. 757; cf. etiam Lys. 800 Plut. 1059 Cratin. fr. 153 Eupol. 147 Ephipp. 23 com. adesp. 388 Soph. Ant. 705 Eur. Cycl. 126). Similis verbi ὀχέειν, quae est verbi ἔχειν forma intensiva, usus est α 297: νηπίασ ὀχέειν, φ 302: ἀάτην ὀχέειν, λ 619: μόρον ὀχέειν, η 211: ὀϊζὺν ὀχέειν. Praeterea cf. τρέφειν γλῶσσαν ἡσυχωτέραν Soph. Ant. 1089, *gestare brachia, pectora* Hor. Carm. I 8, 10 Verg. Aen. I 567 et nostra: *een hoogen toon voeren, er veel praats op na houden,* al.

24—28. Cf. Ξ 516—519. Nunc Hyperenor vulturibus πολὺ φίλτερόσ ἐστι quam uxori (ut de aliis dicitur Λ 162).

29. με᾽(ο)] § 92.

31. ἴμεναι] § 125.

32. παθέμεν] § 126.

— ῥεχθὲν δέ τε νήπιοσ ἔγνω] cf. I 250 et Λ 764.

„νῦν μὲν δή, Μενέλαε διοτρεφέσ, ἦ μάλα τίσεισ
γνωτὸν ἐμόν, τὸν ἔπεφνεσ, ἐπευχόμενοσ δ' ἀγορεύεισ,
'χήρωσασ δὲ γυναῖκα μυχῶι θαλάμοιο νέοιο,
ἄρρητον δὲ τοκεῦσι γόον καὶ πένθοσ ἔθηκασ. 37 = Ω 741
ἦ κέ σφι δϝειλοῖσι γόου κατάπαυμα γενοίμην,
εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκασ
Πανθόωι ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίηι.
ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητοσ πόνοσ ἔσται 41ᵃ cf. *E* 895
οὐδέ τ' ἀδήριτοσ ἤ τ' ἀλκῆσ ἤ τε φόβοιο."
ὣσ ϝειπών ϝ' οὔτασσε κατ' ἀσπίδα πάντοσ' ἐϝίσην· 43 = Λ 434
οὐδ' ἔρρηξεν χαλκόσ, ἀνεγνάμφθη δέ ϝοι αἰχμὴ 43ᵇ-46 = Γ 347 sqq.
ἀσπίδ' ἔνι κρατερῆι. ὃ δὲ δεύτεροσ ὤρνυτο χαλκῶι
Ἀτρεΐδησ Μενέλαοσ, ἐπευξάμενοσ Διὶ πατρί,
ἂψ δ' ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
'νύξ', ἐπὶ δ' αὐτὸσ ἔρεισε, βαρείηι χειρὶ πιθήσασ· 48 = Λ 235
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένοσ ἤλυθ' ἀκωκή. 49 = X 327 χ 16
'δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι· 50 = Δ 504
αἵματί ϝοι 'δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι
πλοχμοί θ', οἳ χρυσῶι τε καὶ ἀργύρωι ἐσφήκωντο.

---

34. *μάλα*] *τάχα* l. a. in Ar. comment. || 37. *ἄρρητον*] *ἄρητον* A T (item pap. vetustissima in versibus post *Ψ* 223 adiectis), prisco more non duplicata littera *ρ*, quod an *ἀρητὸν* scribendum et *execrabilem* interpretandum sit dubitatur coll. *ζ* 280 *τ* 404 (*πολυάρητοσ* = *εὐκταῖοσ*); simplex tamen *ἀράομαι* non *imprecandi* vim habet apud H., quae compositis *ἐπαρή* et *καταράομαι* est propria, sed solam *precandi*. || 41. *ἔτι*] *ἔπι* l. a. in Ar. comm. (cf. *I* 415). || 42. *ἤ τ' ... ἤ τε* Nicanor A] *ἠδ' ... ἠδὲ* Ar. *Ω*, *οὔτ' ... οὔτε* G H (cf. v. l. *O* 409). || 43. **ϝ'*] addidimus (ut *Λ* 434). — *οὔτασσε* § 150⁹] *-ησε*. || 44. *χαλκόσ* Ar. A] *-όν* *Ω* (cf. *Γ* 348). || 45. *ἀσπίδ' ἔνι*] *-δι ἐν* A C (cf. *Γ* 349). || 51. *Χαρίτεσσιν ὁμοῖαι*] *-σσι μέλαιναι* Zen.

---

35. γνωτὸν ἐμόν] *Hyperenorem* (cf. vs. 24).

36. μυχῶι θαλάμοιο νέοιο] cf. B 701.

41 sq. *At non tempus nunc cunctandi: aut fuge aut defende te.* Mox πεῖραν facias necesse est sive ἀλκῆσ sive φόβοιο. Genitivi neglegentius subiuncti sunt post adiectiva ἀπείρητοσ et ἀδήριτοσ, = πόνοσ οὐκ ἄτερ πείρησ καὶ δήριοσ ἔσται. *Mox erit labor sive pugnae sive fugae*, mox patebit uter victor sit evasurus, uter fugiturus.

44. Cf. Γ 348.

45. ἀσπίδ'(ι)] § 13.

48. ἐπὶ δ' αὐτὸσ ἔρεισε] cf. Λ 235.

51. κόμαι Χαρίτεσσιν ὁμοῖαι] i. e. κόμαι ταῖσ τῶν Χαρίτων κόμαισ ὁμοῖαι. Cuiuscemodi comparatio *compendiaria* vocari solet. Similia sunt A 163, 187 Φ 191 β 121 δ 279 λ 557 ν 89, cf. etiam Γ 151 sq. et λ 202 sq.; apud comicum similia sunt ἀκτῖνεσ δεινότεραι (sic legendum) Κύννησ Vesp. 1032, alia. Praeterea cf. ζ 308.

52. Euphorbus χρυσὸν ἔχων πόλε-

οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
χώρωι ἐν οἰοπόλωι, ὅθ' ἅλις ἀναβέβρυχεν ὕδωρ, 54ª = *N* 473
καλὸν τηλεθάον· — τὸ δέ τε πνοιαὶ δονέουσι
παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῶι·
ἐλθὼν δ' ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῆι
βόθρου ϝ' ἐξέστρεψε καὶ ἐξετάνυσσ' ἐπὶ γαίηι· —
τοῖον Πανθόου υἱὸν ἐϋμμελίην Εὔφορβον
Ἀτρεΐδης Μενέλαος ἐπεὶ κτάνε, τεύχε' ἐσύλα.
ὡς δ' ὅτε τίς τε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθώς, 61 cf. *M* 299 ζ 130
βοσκομένης ἀγέλης βοῦν ἁρπάσηι, ἣ τις ἀρίστη, —
τῆς δ' ἐξ αὐχέν' ἔραξε λαβὼν κρατερῆισιν ὀδοῦσι 63 sq. = *Λ* 175 sq.
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει
δηιῶν, — ἀμφὶ δὲ τόν γε κύνες τ' ἄνδρες τε νομῆες
πολλὰ μάλ' ἰύζουσιν ἀπόπροθεν οὐδ' ἐθέλουσι

---

54. ἀναβέβρυχεν] -βρυχεν Zen.; lectio incerta, nam ὅθ' sitne ὅθι an ὅ τε (= ὅσ) intellegendum dubitatur, in ἅλις autem desideratur sonus ϝ (ὅ ϝάλις Bentley), et perfectum -βέβρυχε ignotum est; ὅ ϝάλις ἀναβέβλυχεν vHerwerden (coll. *I* 491 et Anth. Palat. VII 31, 5 IX 374, 1). || 58. *ϝ'(ε)] τ'. Cf. *Λ* 315. || 65. δηιῶν] *δάπτων (cf. *Λ* 481 *Π* 159)? vChrist δηΐόων, τὸν δ' ἀμφὶ (cf. *P* 566 *Σ* 195 *Ψ* 176).

μόνδ' ἴεν ἠΰτε κούρη (cf. B 872). Habebat nimirum *crines in aurum nodatos* (Verg. Aen. IV 138), confixos σφηξί τισι sive σφηκίσκοισ i. e. *acubus*, si artis vox σφηκίσκοσ sive *canterius* (de qua cf. Ar. Plut. 301 Ditt. Syll.² 537) huc trahenda est. Sed fortasse praestat verbum ἐσφήκωντο cum scholiis interpretari συνεσφιγμένοι ἦσαν coll. Ar. Vesp. 1072.

53—58. Similes comparationes sunt Σ 56, 437 ζ 163 ξ 175. Imitatus est Catullus LXII 49 sqq. — *Oliva culta* etiam η 116 λ 590 ω 246 h. Cer. 23, 100 commemoratur, et *sacrarum olivarum* ubi fit mentio, item arbor culta videtur intellegenda (sic ν 102, 346, 372 ψ 190, 195). Aliis locis (e. g. ι 320) *oleastrum*, quem posteri dixerunt κότινον, poeta videtur voluisse, item ubi *ligni oleaginei* fit mentio (N 612 al.).

54. χώρωι ἐν οἰοπόλωι] *in loco deserto*, ubi solus sine vicinis versatur, ἀγροῦ ἐπ' ἐσχατίησ (ε 489). Adi. οἰοπόλοσ cf. N 473.

55 sq. Crescit surculus ἀνεμοτρεφήσ (cf. Λ 256).

57. ἄνεμοσ σὺν λαίλαπι] est igitur λαῖλαψ *nubes* potius, quae ventum comitatur, quam ipsa *procella*. Cf. Λ 306.

59 sq. *Sic Euphorbum* iuvenem parentibus dilectissimum et primum nunc in bellum profectum (cf. Π 811) *Menelaus prostravit; quem armis dein coepit spoliare.*

65 sq. κύνεσ τ' ἄνδρεσ τε . . . ἰύζουσιν] zeugma (cf. Δ 282), hominum enim solorum est ἰύζειν sive „ἰού ἰού" *clamare*. Verbum redit o 162, cf. ἰυγμόσ Σ 572. Cum toto loco cf., licet aliter habeat, comparatio Λ 414—418.

*ἀντίον ἐλθέμεναι, μάλα γὰρ χλωρὸν δρέος αἱρεῖ·* 67ᵃ = 69 *Υ* 175
67ᵇ cf. *H* 469
*ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ στήθεσσιν ἐτόλμα* 68 cf. *K* 232
*ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.* 69ᵃ = 67
*ἔνθα κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο*
*Ἀτρεΐδης, εἰ μή ϝοι ἀγάσσατο Φοῖβος Ἀπόλλων,*
*ὅς ῥά ϝοι Ἕκτορ᾽ ἐπῶρσε θοῷι ἀτάλαντον Ἄρηϊ,*
*ἀνέρι ϝεισάμενος, Κικόνων ἡγήτορι Μέντηι·* 73 cf. *α* 105
*καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·*
*„Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,*
*ἵππους Αἰακίδαο δαΐφρονος· οἳ δ᾽ ἀλεγεινοὶ* 76 cf. *K* 402
*ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ᾽ ὀχέεσθαι,* 77 sq. = *K* 403 sq.
*ἄλλωι γ᾽ ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.*
*τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱός,* 79ᵇ cf. *Δ* 98
*Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνε,*
*Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.“* 81ᵇ = *O* 250
*ὣς ϝειπὼν ὃ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,* 82 = *N* 239
*Ἕκτορα δ᾽ αἰνὸν ἄχος ᾽πύκασε φρένας ἀμφὶ μελαίνας.* 83 cf. *Θ* 124
*᾽πάπτηνεν δ᾽ ἄρ᾽ ἔπειτα κατὰ στίχας, αὐτίκα δ᾽ ἔγνω*
*τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ᾽ ἐπὶ γαίηι*
*κείμενον· ἔρρεε δ᾽ αἷμα κατ᾽ οὐταμένην ὠτειλήν.* 86ᵇ = *Ξ* 518
*᾽βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῶι,* 87 = *Δ* 495
*ὀξέα κεκληγώς, φλογὶ ϝείκελος Ἡφαίστοιο* 88ᵃ = *B* 222

---

70. *φέροι*] -*ρεν* Vrat. (cf. *M* 465). || 73. *Μέντηι*] *Πείρωι* l. a. in T. || 80. *τὸν*] **ὄχ᾽* (item *Σ* 80)? Cf. *M* 344 et *Δ* 288.

---

70. φέροι] optativus ut Δ 223.

70 sq. Menelaum Euphorbi spolia non abstulisse ait poeta noster; Troiam igitur a Troianis ea relata esse, non in campo fuisse relicta, ut sumamus fert ratio. Aliam famam secuti sunt qui Euphorbi clipeum a Menelao abreptum et Iunoni consecratum monstrabant postea in fano prope Mycenas, aut versus 85, 91 ita sunt interpretati ut clipeum certe Euphorbi Menelaus abstulisset; quem clipeum Pythagoras ut suum postea agnovisse fertur (cf. Paus. II 17 § 3; paulo aliter Heraclides Pont. apud Diog. Laert. VIII § 5).

73. *Mentes* dux *Taphiorum* Ulixis amicus commemoratur α 105. *Ciconibus* autem Thraciae oram habitantibus, Troianorum sociis, Mentes aliqui dux a poeta potuit sane tribui illius viri homonymus; sed quoniam B 846 Taphiorum dux audit *Euphemus*, suspicio nascitur nostro loco Mentae nomen errori recentiorum deberi (cf. nota crit.).

76. ἀλεγεινοί] cf. K 402.

77 sq. Cf. Λ 521 sq.

80. περιβὰς] cf. A 37.

83. φρένας ... μελαίνας] cf. A 103.

86. ἔρρεε] § 191.

88 sq. φλογὶ—ἀσβέστωι] cf. Λ 596.

ἀσβέστωι. οὐδ' υἷα 'λάθ' Ἀτρέος ὀξὺ βοήσας·
ὀχθήσας δ' ἄρ' ἔξειπε ποτὶ μεγαλήτορα θυμόν· 90 = Λ 403
„ὤ μοι ἐγών! εἰ μέν κε λίπω κάτα τεύχεα καλὰ 91ª = Φ 553 X 99
Πάτροκλόν θ', ὅσ κεῖται ἐμῆσ ἕνεκ' ἐνθάδε τιμῆσ,
μή τίσ μοι Δαναῶν νεμεσήσεται, ὅσ κε ϝίδηται. 93ª cf. τ 121
εἰ δέ κεν Ἕκτορι μοῦνοσ ἐὼν καὶ Τρωσὶ μάχωμαι
αἰδεσθείσ, μή πώσ με περιστήωσ' ἕνα πολλοί·
Τρῶασ δ' ἐνθάδε πάντασ ἄγει κορυθαιόλοσ Ἕκτωρ.
ἀλλὰ τίη μοι ταῦτα φίλοσ διελέξατο θυμόσ; 97 = Λ 407
ὁππότ' ἀνὴρ ἐθέλῃι πρὸσ δαίμονα φωτὶ μάχεσθαι,
ὅν κε θεὸσ τίηι, τάχα ϝοι μέγα πῆμ' ἐκυλίσθη.
τῶι μ' οὔ τισ Δαναῶν νεμεσήσεται, ὅσ κε ϝίδηται
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
εἰ δέ ποθ' Αἴαντόσ γε βοὴν ἀγαθοῖο πυθοίμην,
ἄμφω κ' αὖτισ ἰόντε ἐπιμνησαίμεθα χάρμησ
καὶ πρὸσ δαίμονά περ, εἴ πωσ ϝερυσαίμεθα νεκρὸν
Πηλεΐδηι Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη."
ὣσ ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν, 106 sq.ª = Λ 411 sq.
τόφρα δ' ἐπὶ Τρώων στίχεσ ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
αὐτὰρ ὃ γ' ἐξοπίσω ἀνεχάζετο, 'λεῖπε δὲ νεκρόν, 108 cf. Λ 461
ἐντροπαλιζόμενοσ ὥσ τε λὶσ ἠϋγένειοσ, 109ᵇ = Σ 318 cf. O 275
ὅν ῥα κύνεσ τε καὶ ἄνδρεσ ἀπὸ σταθμοῖο δίωνται
ἔγχεσι καὶ φωνῆι, τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
παχνόεται, ἀϝέκων δὲ ἔβη ἀπὸ μεσσαύλιο· 112ᵇ cf. Λ 548

89. υἷα ('λάθ' Barnes] υἱὸν λάθεν Ω (λάθ' Lips.), ἀσπέτωι pro ἀσβέστωι Bentley cetera servans. Cf. § 8. || 90. ποτὶ] πρὸσ δν Ω. Cf. Λ 403. || 99. τίηι § 165] τιμᾶι. || 103. ἰόντε Zen.] -ντεσ Ar. Ω. || 104. πωσ] περ C. || 105. φέρτατον A] -τερον C T. || 112. δὲ T] δέ τ' Ω.

91. τεύχεα] *Euphorbi.*

95. περιστήωσ'(ι)] § 122.

96. δ'(ὲ)] id fere quod γάρ nunc valet, ut saepe; illustratur enim hoc versu adiectivum πολλοί.

98. ἀνὴρ ... φωτὶ] id quod τισ .. ἑτέρωι τινί. Vocabulum φώσ sine emphasi, ut Δ 194 al.; praeterea cf. Σ 362 sq.

— et 104. πρὸσ δαίμονα] *deo adversante.* Opp. σὺν δαιμόνι Λ 792, ἐκ θεόφι h. l. vs. 101. Cf. ὑπὲρ θεόν et similia vs. 327. Praepositio πρόσ etiam vs. 471 valet *adversus*; cf. ἐπὶ Τρώεσσι Ε 124, 244 Λ 442 P 459 Υ 26.

100 μ'(οι)] § 13.

102. ποθ'(ι)] § 322.

106. ὅσ] § 323.

112. παχνόεται] § 191. *Obrigescit*, item Hes. Op. 360 Aesch. Choeph. 83; cf. φόβοσ κρυερόσ vel κρυόεισ et similia. Contrarium est ἰαίνεσθαι Τ 174 Ψ 598 al.

*ὣς ἀπὸ Πατρόκλοιο 'κίε ξανθὸς Μενέλαος.*
*'στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ϝέθνος ἑταίρων,* 114 = *Λ* 595
*παπταίνων Αἴαντα μέγαν, Τελαμώνιον υἱόν.*
*τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης* 116 sq. = 682 sq.
*θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι,* 117 = *N* 767
*θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων·*
*'βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενος ϝέπος ηὔδα·*
*„Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος*
*σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν*
*γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ.“* 122 = 693 cf. *Σ* 21
*ὣς ἔφατ', Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε·* 123[b] = *N* 418
*'βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος.* 124[a] = *Λ* 495
*Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε' ἀπέρρα,*
*εἶλχ', ἵν' ἀπ' ὤμοιιν κεφαλὴν τάμοι ὀξέϊ χαλκῷι,*
*τὸν δὲ νέκυν Τρωῗκισι ϝερυσσάμενος κυσὶ δοίη·*
*Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον.* 128 = *H* 219
*Ἕκτωρ δ' ἂψ ἐς ὅμιλον ἰὼν ἀνεχάζεθ' ἑταίρων,*
*εἰς ὄφρον δ' ἀνόρουσε, 'δίδου δ' ὅ γε τεύχεα καλὰ*
*Τρωσὶ φέρειν προτὶ ϝάστυ, μέγα κλέος ἔμμεναι αὐτῷι.*
*Αἴας δ' ἀμφὶ Μενοιτιάδηι σάκος εὐρὺ καλύψας*
*εἰστήκειν ὥς τίς τε λέων περὶ ϝοῖσι τέκεσσι,*

125. *ἀπέρρα* § 150[5]] *ἀπηύρα.*

116. ἐπ' ἀριστερὰ] *naves versus spectanti* (μεταστρεφθέντι vs. 114), urbem igitur a tergo habenti. Item vs. 682. Cf. E 355.

118. φόβον ἔμβαλε] cf. Λ 402.

122—125. *Nudum* Patroclum esse interemtum, cum arma ei excidissent ab Apolline percusso, poeta modo narravit (Π 793—803). Itaque in vs. 125 verba ἐπεὶ κλυτὰ τεύχε' ἀπέρρα sic sunt interpretanda: *postquam Hector arma Patrocli humi prolapsa abstulit* (i. e. *a suis colligi et auferri iussit*).

126 sq. Nihilo igitur Hector erga hostem caesum mitior fuit quam Achilles; cf. X 395—404 et A 4.

127. Τρωῗκισι] § 17.

130 sq. Currum Hector adiit, non ut ipse inscenderet, sed ut spolia Patrocli illo curru in urbem transportanda daret ministris. Cf. vs. 189—191 et Π 734.

132. καλύψας] cf. E 315.

133 sq. Masculum leonem poeta cogitasse videtur, heroëm cum belua nunc comparans; quamquam *leaenae* potius hic et Σ 318 sq. ut mentio fiat fert ratio. Cf. τ 522 sq. — Ceterum in lingua Homeri vox λέων fuit promiscua (cf. Φ 483), quae res non magis est mira quam Athenis cum gallum tum gallinam ἀλεκτρυόνα audivisse, qua de re Aristophanes comicus et eius aequales aut philosophati sunt aut iocati (cf. Nub. 661 sqq.).

ὧι ῥά τε νήπι' ἄγοντι συναντήσωνται ἐν ὕληι
ἄνδρες ἐπακτῆρες, ὃ δέ τε σθένεϊ βλεμεαίνει, 135b cf. 22
πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων·
ὣς Αἴας περὶ Πατρόκλωι ἤρω' ἐβεβήκει.
Ἀτρεΐδης δ' ἑτέρωθεν Ἄρηϊ φίλος Μενέλαος
εἵστηκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων. 139 cf. λ 195.

Γλαῦκος δ', Ἱππολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν, 140 = H 13
Ἕκτορ' ὑπόδρα ϝιδὼν χαλεπῶι ἠνίπαπε μύθωι· 141b = B 245
„Ἕκτορ, ϝεῖδος ἄριστε, μάχης ἆρα 'δεύεο πολλόν!
ἦ σ' αὔτως κλέος ἐσθλὸν ἔχει φυζηλὸν ἐόντα.
φράζεο νῦν, ὅππως κε πόλιν καὶ ϝάστυ σαώσηις
οἷος σὺν λαοῖσ' οἳ Ἰλίηι ἐγγεγάασι·
οὐ γάρ τις Λυκίων γε μαχεσσόμενος Δαναοῖσι
εἶσι περὶ πτόλιος, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν 147b sq. = I 316 sq
μάρνασθαι δηΐοισιν ἐπ' ἀνδράσι νωλεμὲς αἰεί.
πῶς κε σὺ χείρονα φῶτα σαώσειας καθ' ὅμιλον,
σχέτλι'! ἐπεὶ Σαρπηδόν', ἅμα ξεῖνον καὶ ἑταῖρον,
κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι, 151 cf. γ 271
ὅς τοί πόλλ' ὄφελος 'γένετο, πτόλεΐ τε καὶ αὐτῶι, 151b cf. E 488
ζωιὸς ἐών· νῦν δ' οὔ ϝοι ἀλαλκέμεναι κύνας ἔτλης.

---

134—136. Om. Chia et Zen. ‖ 136. *καλύπτων*] sic Ar., *-πτον* C. ‖ 142. (')*δεύεο πολλόν* Fick] *πολλὸν ἐδεύεο*. Cf. § 117. ‖ 143. *φυζηλὸν* νHerwerden ex Hesych.] *φύξηλιν Ω* (et hinc Nicander Ther. 660 Alex. 472). ‖ 145. *λαοῖσ*(' *τ*)*οἳ* Bentley] *λαοῖσι τοὶ*. ‖ 148. *δηΐοισιν ἐπ'* Ar. versu parall.] *-σι μετ'*. ‖ 149. **καθ'* (*κατὰ*)] *μεθ'*. Cf. *A* 424. — *ὅμιλον*] sic Ar., (*δι'* ?) *ὁμίλου* Zen. ‖ 151. *Ἀργείοισιν*] *οἰώνοισιν* Z Harl. Lips. (ut γ 271). ‖ 153. *κύνας*] *κύον* Zen.

---

135. σθένεϊ βλεμεαίνει] cf. Θ 337.

136. ἐπισκύνιον] †; *cutem frontis* significari docet contextus. Furore incensa magna haec felis corrugat cutem circa nasi radicem, ut et circa rictum.

— κάτω] non nisi ψ 91 redit (in simili iunctura verborum).

137. περὶ . . . ἤρω' ἐβεβήκει] cf. A 37 et de eliso ἤρω'(ϊ) § 13.

138. ἑτέρωθεν] tergo in Aiacem converso Menelaus et ipse Patrocli corpus tuetur. Cf. vs. 359.

142. ϝεῖδος ἄριστε] cf. Γ 39.

144. πόλιν καὶ ϝάστυ] bis idem dici tur (cf. X 203), non sic distinguuntur *arx* et *urbs*, ut ab Atheniensibus. Nam alibi (Z 177 Θ 525 Ξ 472) πόλις et ϝάστυ promiscue usurpantur.

146. μαχεσσόμενος] § 291.

147. ἆρα . . . ἦεν] cf. Γ 183.

148. δηΐοισιν] § 17.

— νωλεμὲς αἰεί] cf. I 317.

151. Nescit Glaucus quid de Sarpedonis corpore post sit factum quam ipse a Patroclo est fugatus (cf. Π 659 et 678 sqq.).

τῶι νῦν εἴ τισ ἐμοὶ *Λυκίων* ἐπιπείσεται ἀνδρῶν, 154 cf. *T* 305
ϝοίκαδ' ἴμεν· *Τροίνι* δὲ πεφήσεται αἰπὺσ ὄλεθροσ.
εἰ γὰρ νῦν *Τρώεσσι* μένοσ πολυθαρσὲσ ἐνείη, 156[b] cf. *T* 37 ν 387
ἄτρομον, οἷόν τ' ἄνδρασ ἐσέρχεται, οἵ περὶ πάτρησ
ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
αἶψά κε *Πάτροκλον* ϝερυσαίμεθα *Φίλιον* εἴσω.
εἰ δ' οὗτοσ προτὶ ϝάστυ μέγα *Πριάμοιο* ϝάνακτοσ 160[b] = *H* 296
ἔλθοι τεθνηὼσ καί μιν ϝερυσαίμεθα χάρμησ,
αἶψά κεν *Ἀργείοι Σαρπηδόνοσ* ἔντεα καλὰ
λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα *Φίλιον* εἴσω·
τοίου γὰρ θεράπων πέφατ' ἀνέροσ, ὅσ μέϝ' ἄριστοσ 164[b] sq. = *Π* 271 sq.
*Ἀργείων* παρὰ νηυσὶ καὶ ἀγχίμαχοι θεράποντεσ.
ἀλλὰ σύ γ' *Αἴαντοσ* μεγαλήτοροσ οὐκ ἐτάλασσασ
στήμεναι ἄντα, κατ' ὄσσε ϝιδὼν δηΐων ἐν ἀϋτῆι,
οὐδ' ἰθὺσ μαχέσασθαι, ἐπεὶ σέο φέρτερόσ ἐστι."
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη κορυθαίολοσ *Ἕκτωρ*· 169 = *M* 230
„*Γλαῦκε*, τίη δὲ σὺ τοῖοσ ἐὼν ὑπέροπλον ἔϝειπεσ; 171[b] = *N* 631
ὦ πέπον, ἦ τ' ἐφάμην σε περὶ φρένασ ἔμμεναι ἄλλων 172 cf. *B* 841
τῶν ὅσσοι *Λυκίην* ἐριβώλακα ναιετάουσι· 173 = *Ξ* 95
νῦν δέ σε' ὠνοσάμην πάγχυ φρένασ, οἷον ἔϝειπεσ,
ὅσ τέ με φὴσ *Αἴαντα* πελώριον οὐχ ὑπομεῖναι.
οὔ τοι ἐγὼν ἔρριγα μάχην οὐδὲ κτύπον ἵππων·
ἀλλ' αἰεί γε *Διὸσ* κρείσσων νόοσ αἰγιόχοιο, 176 cf. *Π* 688
ὅσ τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην 177 sq. = *Π* 689 sq.
ῥηϊδίωσ, ὁτὲ δ' αὐτὸσ ἐποτρύνει μαχέσασθαι.
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵσταso καὶ ϝίδε ϝέργον, 179 = *χ* 233
179[a] = *Λ* 314
ἠὲ πανημέριοσ κακὸσ ἔσσομαι, ὡσ ἀγορεύεισ,
ἤ τινα καὶ *Δαναῶν*, ἀλκῆσ μάλα περ μεμαῶτα,

---

155. ἴμεν] sic Ar., ἴτω Dionysius Sidonius (ἴω schol. T, corr. Spitzner). — πεφήσεται] πεφάνσεται vHerwerden (cf. § 280). || 158. ἔθεντο] ἔχουσιν pap. Ber. 230 T. Cf. (*Π* 756) *Ω* 402. || 165. ἀγχίμαχοι] ἀγχέμ. *Ω*. Cf. *N* 5. || 171. πέπον] sic Zen., πόποι (Ar.) A C (cf. v. l. *O* 467 et comment. ad *N* 99). || 172. Quidam — || 173. σε(ʾο) Zen.] σευ *Ω*· Cf. *Ξ* 95. || 174. με φὴσ] μ' ἔφησ Ptolemaeus Asc. || 176. γε] τε *Ω* (cf. *Π* 688). — αἰγιόχοιο] ἠέ περ ἀνδρόσ (ut in vs. parall.) C T. || 177 sq. Cf. *Π* 689 sq.

---

155. ἴμεν] *ibimus*. Indicativus est (non infinitivus, cf. § 125), ut β 127 κ 431 σ 288.

163. αὐτὸν] ipsum *corpus*; cf. A 4.

167. δηΐων] § 17.

173. σε'(ο)] § 92.

177. φοβεῖ καὶ ἀφείλετο] praesens aoristo gnomico iunctum, ut Δ 161.

σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος.“
ὣς ϝειπὼν Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας· 183ᵇ-185 = Θ172 sqq.
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρα κ' ἐγὼν Ἀχιλῆος ἀμύμονος ἔντεα δύω
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάς.“ 187 cf. X 323
ὣς ἄρα φωνήσας ἀπέβη κορυθαιόλος Ἕκτωρ 188 = Z 116
δηΐου ἐκ πολέμοιο· θέων δ' ἐκίχανεν ἑταίρους
ὦκα μάλ', οὔ πω τῆλε, ποσὶ κραιπνοῖσι μετασπών, 190ᵃ cf. τ 301
οἳ προτὶ ϝάστυ ϝφέρον κλυτὰ τεύχεα Πηλεΐδαο. 190ᵇ = ξ 33
στὰς δ' ἀπάνευθε μάχης πολυδάκρυος ἔντε' ἄμειβε.
ἦ τοι ὃ μὲν ἕϝ' ἔδωκε φέρειν προτὶ Ἴλιον ἱρὴν
Τρωσὶ φιλοπτολέμοισιν, ὃ δ' ἄμβροτα τεύχε' ἔδυνε
Πηλεΐδα' Ἀχιλῆος, ἃ ϝοι θεοὶ οὐρανίωνες
πατρὶ φίλωι ἔπορον, ὃ δ' ἄρα ϝῷι παιδὶ ὄπασσε
γηράς, — ἀλλ' οὐχ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα!
τὸν δ' ὡς οὖν ἀπάνευθε ϝίδεν νεφεληγερέτα Ζεὺς
τεύχεσι Πηλεΐδαο κορυσσόμενον θείοιο, [376
κινήσας ῥα κάρη προτὶ ϝὸν μυθήσατο θυμόν· 200 cf. 442 ε 285,
„ἆ δϝείλ', οὐδέ τί τοι θάνατος καταθύμιός ἐστι, 201 cf. K 383
ὅς δή τοι σχεδὸν εἶσι· σὺ δ' ἄμβροτα τεύχεα δύνεις

191. *Πηλεΐδαο*] *Πηλείωνος* L. || 192. *πολυδάκρυος* Bentley] *-κρύου* (A D) vel *-κρΰτου* Ω (hoc metro invito). Cf. *P* 544 et § 83¹⁰. || 193. *ἕϝ' ἔδωκε*] cf. Θ 430. || 199. *Πηλ. κορ. θείοιο*] *λαμπόμενον μεγαθύμου Πηλείωνος* H (cf. *P* 214 *Υ* 4€). || 202. *ὅσ*] *ὡς* L. — *εἶσι* Ar. L] *ἐστι* Ω.

ὄτρυνον δ’ Ἀχιλῆϊ δαΐφρονι θᾶσσον ἰόντα
ϝειπέμεν’ ὅττι ῥά ϝοι πολὺ φίλτατοσ ὤλεθ’ ἑταῖροσ.“ 655 cf. 411
ὣσ ἔφατ’, οὐδ’ ἀπίθησε βοὴν ἀγαθὸσ Μενέλαοσ, 656 = 246
’βῆ δ’ ἴμεναι ὥσ τίσ τε λέων ἀπὸ μεσσαύλοιο, 657 cf. Λ 548
ὅσ τ’ ἐπεὶ ἄρ κε κάμηισι κύνασ τ’ ἄνδρασ τ’ ἐρεθίζων,
οἵ τέ μιν οὐκ ἐάουσι βοῶν ἐκ πῖαρ ἑλέσθαι 659-664 = Λ 550 sqq.
πάννυχοι ἐγρήσσοντεσ, ὃ δὲ κρεάων ἐρατίζων
ἰθύει, ἀλλ’ οὔ τι πρήσσει, θαμέεσ γὰρ ἄκοντεσ
ἀντίον ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν,

647. *φάεϊ] δὲ φάει. Cf. § 71; etiam similibus locis E 685 η 224 abest δέ. || 650. ἐφαένθη § 155[6]] -άνθη. || 658. „ἡ διπλῆ ὅτι ὁ κέ περισσόσ“ Ariston.; quidamne igitur olim ἐπεὶ ἄν κε? Cf. N 127 Ω 437 et Λ 187. Sed mirum ni „ὅτι ἡ ὅσ περισσόσ“ diplen appinxit Ar. || 662. ἀντίον D Gen.] -οι Ω. Cf. Λ 553 et Z 54.

hic semper *adest*, hodie *aër*, *lucht* vocatus, illa *fit* cum dispelluntur nubes: *serenitas*, nostrum *helderheid*. Itaque cum interdiu αἴθρη est vel fit, αὐγὴ ἠελίοιο est ὀξεῖα et homines ὑπ’ αἰθέρι sive *sub caelo aperto* versantur (P 371 sq., cf. Θ 558). *Caelitibus* autem αἴθρη est perpetua (Ζ 44), *Scyllae* vero rupes densis nebulis involuta est semper neque unquam αἴθρηι illustratur (μ 75).

647. καὶ] cf. E 685.

— ἔϝϝαδεν] § 40.

650. ἐφαένθη] § 280.

651 sqq. „Aiacem“ Patrocli corpus tuitum esse narrarunt poetae antiquissimi, qui non nisi unum Aiacem nossent (cf. N 198—202); postea alii *Locrensem*, alii *Salaminium* hunc heroëm fecerunt, quibus fabulis in unum coniunctis poeta Iliadis *ambos Aiaces* nunc, ut saepe, Troianis opposuit (cf. vs. 668 sq., 707, 719—721, 732, 747, 752 Σ 157, 163).

651. Μενέλαον] cf. E 170.

652—654. Et pernix admodum fuit Antilochus (cf. δ 202) et Achilli amicissimus (cf. ω 78 sq.).

655. ϝειπέμεν’(αι)] § 125.

657. ἴμεναι] § 125.

658. ὅσ] structura mutata verbum, quod poeta in mente habuit, versu 664 demum additur. Poeta dicere voluit: ὡσ λέων ὅσ . . . ἠῶθεν καμὼν ἀποβαίνει. Tardus et reluctanter Menelaus Aiace iubente discedit, ut leo famelicus a stabulo.

659. ἐάουσι] § 191.

— βοῶν ἐκ πῖαρ ἑλέσθαι] cf. Λ 550.

660. κρεάων] § 72.

καιόμεναί τε δεταί, τάσ τε τρέει ἐσσυμένοσ περ,
ἠῶθεν δ' ἀπὸ νόσφιν ἔβη τετιηότι θυμῶι·
ὣσ ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸσ Μενέλαοσ
ἤϊε, πόλλ' ἀϝέκων, περὶ γὰρ 'δϝίε μή μιν Ἀχαιοὶ 666ª = *Λ* 557
ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηΐοισι λίποιεν. 666ᵇ cf. *χ* 96
πολλὰ δὲ Μηριόνηι τε καὶ Αἰάντεσσ' ἐπέτελλε·
„Αἴαντ', Ἀργεῖων ἡγήτορε, Μηριόνη τε, 669ª = *Λ* 285
νῦν τισ ἐνηείησ Πατροκλέεοσ δϝειλοῖο
μνησάσθω! πᾶσιν γὰρ ἐπίστατο μείλιχοσ εἶναι
ζωιὸσ ἐών· νῦν ϝ' αὖ θάνατοσ καὶ μοῖρα κιχάνει." 672 = 478
ὣσ ἄρα φωνήσασ ἀπέβη ξανθὸσ Μενέλαοσ,
πάντοσε παπταίνων ὥσ τ' αἰετόσ, ὅν ῥά τέ φασι 674ª = *N* 649
ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν,
ὅν τε καὶ ὑψόθ' ἐόντα πόδασ ταχὺσ οὐκ ἔλαθε πτὼξ
θάμνωι ὕπ' ἀμφικόμωι κατακείμενοσ, ἀλλά τ' ἐπ' αὐτῶι
ἔσσυτο καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
ὣσ τότε σοί, Μενέλαε διοτρεφέσ, ὄσσε φαεινὼ 679 cf. 702
πάντοσ' ἐδινείσθην πολέων κατὰ ϝέθνοσ ἑταίρων,
εἴ ποθι Νέστοροσ υἱὸν ἔτι ζώοντα ϝίδοιτο.
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχησ ἐπ' ἀριστερὰ πάσησ 682 sq. = 116 sq.
θαρσύνονθ' ἑτάρουσ καὶ ἐποτρύνοντα μάχεσθαι. 683 sq.ª = *N* 767 sq.
ἀγχόθι δ' ἱστάμενοσ προσέφη ξανθὸσ Μενέλαοσ·
„Ἀντίλοχ', εἶ δ' ἄγε δεῦρο, διοτρεφέσ, ὄφρα πύθηαι 685 cf. *Ψ* 581
λυγρῆσ ἀγγελίησ, ἣ μὴ ὤφειλε γενέσθαι! 686 cf. *Σ* 19

---

664. τετιηότι θυμῶι] τετιημένοσ ἦτορ l. a. in A. || 672. ϝ'(ε)] add. Brandreth (cf. vs. 478). || 681. ϝίδοιτο] sic (ἴδοιτο) Ar., ἴδοιο Aristarchei (cf. v. l. *Π* 697), ἴδοιντο olim alii. || 684. ἀγχόθι δ'(ὲ)] cf. *B* 172. || 685. εἶ δ'(ὲ)] cf. *Α* 302. || 686. ὤφειλε § 273] ὤφελλε.

---

663. δεταί] cf. Λ 554.

— τρέει] § 191.

667. πρὸ φόβοιο] i. q. πρὶν φυγεῖν, *antequam effugere possent* (sive: *verebatur ne fuga tam difficilis esset futura ut corpus Patrocli hostibus derelinqui necesse foret*)? Aristarchus lingua invita interpretabatur: ὑπὸ φόβου sive *propter fugam* (*fugae molestias*). In scholio B confertur Ω 734.

— δηΐοισι] § 17.

670. Πατροκλέεοσ] § 73.

680. ἐδινείσθην] § 191.

681. ποθι] § 322.

— ϝίδοιτο] subiectum est *Menelaus*, ut verbi ἐνόησε vs. 682. Durior quam Π 586, 697 P 705 est h. l. transitus a 2ª persona ad 3ªm.

682. μάχησ ἐπ' ἀριστερὰ] cf. vs. 115 et E 355.

686. γενέσθαι] *facta esse*. Non *verba sua* cogitat nunc is qui loquitur, sed *ipsam rem* quam nuntiat; item Σ 19. Nam ἀγγελίη cum *nuntium* valet, dici-

ἤδη μὲν σὲ καὶ αὐτὸν ὀΐομαι εἰσοράοντα 687b sq.a = ξ 214 sq.
γιγνώισκειν ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ' ὄχ' ἄριστος Ἀχαιῶν,
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται. 690b cf. Λ 471 P 704
ἀλλὰ σύ γ' αἶψ' Ἀχιλῆϊ, θέων ἐπὶ νῆας Ἀχαιῶν,
ϝειπέμεν', αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσηι
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ." 693 = 122
ὣς ἔφατ', Ἀντίλοχος δὲ κατέστυγε μῦθον ἀκούσας.
δῆν δέ μιν ἀφασίη ϝεπέων λάβε, τὼ δέ ϝοι ὄσσε 695 sq. = δ 704 sq. 695b sq. = Ψ 396 sq. τ 471 sq.
δακρυόφι πλῆσθεν, θαλερὴ δέ ϝοι ἔσχετο φωνή.
ἀλλ' οὐδ' ὣς Μενελάου ἐφημοσύνης ἀμέλησε,
βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι δῶκεν ἑταίρωι,
Λαοδόκωι, ὅς ϝοι σχεδὸν ἕστρεφε μώνυχας ἵππους.
τὸν μὲν δάκρυ χέοντα πόδες φέρον ἐκ πολέμοιο, 700b = N 515
Πηλεΐδηι Ἀχιλῆϊ κακὸν ϝέπος ἀγγελέοντα.
οὐδ' ἄρα σοί, Μενέλαε διοτρεφές, ἤθελε θυμὸς 702 cf. 679
τειρομένοισ' ἑτάροισιν ἀμυνέμεν', ἔνθεν ἀπῆλθε 703a = Σ 129
Ἀντίλοχος, μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη· 704 cf. Λ 471 P 690
ἀλλ' ὅ γε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκε,
αὐτὸς δ' αὖτ' ἐπὶ Πατρόκλωι ἥρωϊ ἐβεβήκει,
στῆ δὲ παρ' Αἰάντεσσι θέων, εἶθαρ δὲ προσηύδα· 707 cf. M 353
„κεῖνον μὲν δὴ νηυσὶν ἐπιπροέηκα θοῆισι, 708b cf. ο 299
ἐλθέμεν' εἰς Ἀχιλῆα πόδας ταχύν· οὐδέ ϝ' ὀΐω
νῦν ἵμεναι, μάλα περ κεχολωμένον Ἕκτορι δίωι·
οὐ γάρ πώς κεν γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο.
ἧμες δ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην, 712 cf. 634

689. ὄχ' ἄριστος] cf. Λ 288. ‖ 695. ἀφασίη C T] ἀμφασίη Ω. Cf. δ 704 et § 21. ‖ 707. θέωι] κιών Vrat. (ut M 353). ‖ 709. ϝ' ὀΐω § 292*] μιν οἴω. ‖ 710. Ἕκτορι δίωι] Ἀτρείωνι l. a. in A.

tur φέρεσθαι, ϝείρεσθαι, ἔρχεσθαι, ἵκειν. Cf. βέλος id fere quod *vulnus* vel *ictum* significans Ξ 439.

687. εἰσοράοντα] § 191.

692. ϝειπέμεν'(αι)] § 125.

696. θαλερὴ — φωνή] *vox faucibus haesit.* Verg. Aen. IV 280. Hoc, et quod modo dictum est ἀφασίη ϝεπέων, in Odyssea dicitur: ἄπτερος ἔπλετο μῦθος (cf. quae ad ρ 57 sunt observata).

703. ἔνθεν] de hoc adv. ad ἑτάρουσ nunc relato cf. Ω 382.

705. τοῖσιν] *ut illis opem ferret.*

706. ἥρω'(ϊ)] § 13.

709. ἐλθέμεν'(αι)] § 125.

710. ἴμεναι] § 125.

711. κεν] § 326.

712. ἧμες] § 92.

*ἡμὲν ὅπωσ τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ* 713 = 635
*Τρώων ἐξ ἐνοπῆσ θάνατον καὶ κῆρα φύγωμεν.“* 714[a] = *Π* 782
714[b] = *μ* 157
*τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγασ Τελαμώνιοσ Αἴασ·*
*„πάντα κατ᾽ αἶσαν ἔϝειπεσ, ἀγακλεὲσ ὦ Μενέλαε.*
*ἀλλὰ σὺ μὲν καὶ Μηριόνησ ὑποδύντε μάλ᾽ ὦκα*
*νεκρὸν ἀείραντεσ φέρετ᾽ ἐκ πόνου, αὐτὰρ ὄπισθε* 718 cf. *Ξ* 429
*νῶϊ μαχεσσόμεθα Τρωσίν τε παὶ Ἕκτορι δίωι,*
*ϝῖσον θυμὸν ἔχοντεσ, ὁμώνυμοι, οἵ τὸ πάροσ περ* 720[a] cf. *N* 704
*μίμνομεν ὀξὺν Ἄρηα παρ᾽ ἀλλήλοισι μένοντεσ.“*
*ὣσ ἔφαθ᾽, οἳ δ᾽ ἄρα νεκρὸν ἀπὸ χθονὸσ ἠγκάζοντο*
*ὕψι μάλα μεγάλωσ· ἐπὶ δ᾽ ἴαχε λαὸσ ὄπισθε*
*Τρωϊκόσ, ὡσ ἐϝίδοντο νέκυν αἴροντασ Ἀχαιούσ.*
*ἴθυσαν δὲ κύνεσσι ϝεροικότεσ, οἵ τ᾽ ἐπὶ κάπρωι*
*βλημένωι ἀΐξωσι πρὸ κούρων θηρητήρων·*
*τῆοσ μέν ῥα θέουσι διαρραῖσαι μεμαῶτεσ,* 727[b] = *B* 473
*ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐν τοῖσι ϝελίξεται ἀλκὶ πεποιθώσ,*
*ἄψ τ᾽ ἀνεχώρησαν διά τ᾽ ἔτρεσαν ἄλλυδισ ἄλλοσ.* 729[b] cf. *Λ* 486
*ὣσ Τρῶεσ τῆοσ μὲν ὁμιλαδὸν αἰὲν ἔποντο,* 730 cf. *O* 277
*νύσσοντεσ ξίφεσίν τε καὶ ἐγχεσιν ἀμφιγύοισι·* 731=*N* 147 *O* 278
*ἀλλ᾽ ὅτε δή ῥ᾽ Αἴαντε μεταστρεφθέντε κατ᾽ αὐτοὺσ*
*σταίησαν, τῶν δὲ ᾽τράπετο χρώσ, οὐδέ τισ ἔτλη* 733 cf. *N* 279
*πρόσσω ἀΐξασ περὶ νεκροῦ δηριάεσθαι.*
*ὣσ τώ γ᾽ ἐμμεμαῶτε νέκυν ᾽φέρον ἐκ πολέμοιο* 735 cf. 746
*νῆασ ἔπι γλαφυράσ· ἐπὶ δὲ πτόλεμοσ ᾽τέτατό σφι*
*ἄγριοσ ἠΰτε πῦρ, τό τ᾽ ἐπεσσυμένον πόλιν ἀνδρῶν*

---

714. *φύγωμεν*] *-οιμεν* C T. ‖ 720 sq. *ἔχοντεσ . . . μένοντεσ*] *ἔχοντε* (ut *N* 704) Macrob. Sat. V 15 § 13, *μένοντε* (ut l. a. *Λ* 348) Aristophanes, *ἔχοντε ὁμωνύμω, ὦ . . . μένοντε* Ahrens (cf. vs. 742). ‖ 723. *μάλα μεγάλωσ*] **μάλ᾽ ἐμπαίωσ* (cf. *E* 836)? Bothe *μέγαν μεγάλωσ* (coll. *Π* 776 *Σ* 26 *ω* 40). — *ἴαχε*] neglecto *ϝ* (cf. *N* 822). ‖ 724. *αἴροντασ*] **ϝερύοντασ*? Cf. *P* 581, 635 *Σ* 232 et § 256. ‖ 727. *τῆοσ* (*τειοσ*) Brandreth] *ἕωσ*. Cf. *M* 141. — *ῥα* Nauck (*τε* Brandreth)] *γάρ τε*. ‖ 729. *ἄψ τ᾽(ε)*] *ἄψ* C, *αἶψά τ᾽* L (cf. *H* 272). ‖ 730. *τῆοσ* (*τειοσ*) Brandreth] *εἵωσ*. Cf. *M* 141. ‖ 733. *σταίησαν, τῶν δὲ*] *σταῖεν, τῶν δ᾽ αὖτε* LDindorf (cf. § 116). ‖ 734. *ἀΐξασ*] **ἐπαΐξασ* vel **ϝιέμενοσ*? Cf. § 14. — *δηριάεσθαι*] *δηρίσασθαι* C D T. ‖ 735 et 746. *τώ*] *οἵ* Ω. — *γ᾽ ἐμμεμαῶτε*] cf. *N* 785.

---

716. ἀγακλεὲσ] § 73.

719. μαχεσσόμεθα] § 291.

723. μεγάλωσ] adv. non nisi π 432 redit (ubi cf. l. a.), nostro autem loco minus convenit. Cf. nota crit.

732. ὅτε . . . κατ᾽ αὐτοὺσ | σταίησαν] *quoties . . . prope ipsos consistebant* (*ipsis obsistebant*). Praepositio κατά ut π 159.

734. δηριάεσθαι] § 191.

736. πτόλεμοσ ᾽τέτατό σφι] cf. N 359.

737. ἠΰτε πῦρ] cf. Λ 596.

ὄρμενον ἐξαίφνης φλεγέθει, μινύθουσι δὲ ϝοῖκοι 738ª = Φ 14
ἐν σέλαϊ μεγάλωι, τὸ δ' ἐπιβρέμει ἶσ ἀνέμοιο.
ὣς μὲν τοῖσ' ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
ἀξηχὴς ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισι.
τὼ δ', ὥς θ' ἡμιόνω κρατερὸν μένος ἀμφιβαλόντε
ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν
ἢ δοκὸν ἠὲ δόρυ μέγα νήϊον, ἐν δέ τε θυμὸσ
τείρεθ' ὁμοῦ καμάτωι τε καὶ ἱδρῶι σπευδόντεσσι,
ὣς τώ γ' ἐμμεμαῶτε νέκυν 'φέρον. αὐτὰρ ὄπισθε 746 cf. 735
Αἴαντ' ἰσχανέτην, ὥς τε πρὼν ἰσχάνει ὕδωρ
ὑλήεισ, πεδίοιο διαπρύσιον τετυχηκώσ,
ὅσ τε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησι
πλάζων, οὐδέ τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντεσ·
ὣσ αἰεὶ Αἴαντε μάχην ἀνέϝεργον ὀπίσσω 752ᵇ cf. h. Merc. 211ª
Τρώων, οἳ δ' ἄμ' ἕποντο, δύω δ' ἐν τοῖσι μάλιστα,
Αἰνείασ τ' Ἀγχισιάδησ καὶ φαίδιμοσ Ἕκτωρ.
τῶν δ', ὥς τε ψαρῶν νέφοσ ἔρχεται ἠὲ κολοιῶν,

739. ἶσ] neglecto ϝ, βρέμεται δ' ἐπὶ ϝὶσ Knight (cf. Δ 425 et Ο 627 Π 642). || 742. τὼ ... ἡμιόνω ... ἀμφιβαλόντε] οἵ ... -νοι ... -ντεσ Ω. Cf. vs. 746 et Ψ 97. Similis est controversia supra vs. 720 sq., de participio autem cf. comment. || 745. ἰδρῶι σπευδόντεσσι] ἰδρόϊ ἐσσυμένοισι vHerwerden; cf. § 77. || 748. τετυχηκώσ] -χηώσ Heraclides T. || 751. τι Aristoph. G] τε Ω.

739. τὸ] pronomen molestum, non enim *afflare* vel *incitare* valet verbum ἐπιβρέμειν (vel -μεσθαι), sed *mugire*. Intellegi posset τό si legeretur τὸ δ' ἐπιφλέγει [ϝ]ἶσ ἀνέμοιο, sed propter vs. 741 melius est *sonum* incendii commemorari, id quod fit in textu tradito. Cf. nota critica.

742. μένοσ ἀμφιβαλόντε] integrumne? Insolite certe dictum. Nam participium si *indutum* significat h. l. (ut ἐπιϝειμένοσ A 149 al.), requiritur potius *medii* forma: ἀμφιβαλομένω (cf. ζ 178 κ 262 χ 103). Facilius intellegeretur e. g.: ζυγὸν ἀμφὶσ ἔχοντε (ut γ 486 ο 184).

747. πρὼν] expectatur forma disyllaba πρώιων, quoniam pluralis est πρώιονεσ (Θ 557 al.).

748. πεδίοιο διαπρύσιον τετυχηκώσ] *per planitiem tractu continuo se extendens*. Cf. κ 87 sq.: περὶ λιμένα πέτρη τετύχηκε διαμπερὲσ ἀμφοτέρωθε. Perfectum non nisi his locis obvium.

755—759. Cf. Π 582 sq., ubi eadem comparatio est adhibita ad designandos Lycios et Troianos a Patroclo fugatos, et Χ 139—144, ubi Achilles in Hectorem irruens comparatur cum niso palumbem persequenti.

755. τῶν] *Achivorum* (ceterorum, exceptis Aiacibus). Sed mox verborum structura ita mutatur ut si οἵ fuerit dictum.

οὖλον κεκληγῶτες, ὅτε προλίδωσιν ἰόντα — 756ᵃ = 759
κίρκον, ὅ τε σμικρῆισι φόνον φέρει ὀρνίθεσσι,
ὣς ἄρ' ὑπ' Αἰνείαι τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν
οὖλον κεκληγῶτες ἴσαν, ᾽λήθοντο δὲ χάρμης. — 759ᵃ = 756
760 πολλὰ δὲ τεύχεα καλὰ ᾽πέσον περί τ' ἀμφί τε τάφρον
φευγόντων Δαναῶν· πολέμου δ' οὐ ᾽γίγνετ' ἐρωή. — 761ᵇ = *Π* 302

## Ἀχιλλέως ἀνάστασις.

Σ ὣς οἳ μὲν ᾽μάρναντο δέμας πυρὸς αἰθομένοιο· — 1 = *Λ* 596
Ἀντίλοχος δ' Ἀχιλῆϊ πόδας ταχὺς ἄγγελος ἦλθε.
τὸν δ' ηὗρε προπάροιθε νεῶν ὀρθοκραιράων — 3ᵇ = *T* 344
τὸ φρονέοντ' ἀνὰ θυμόν, ὃ δὴ τετελεσμένον ἦεν·
5 ὀχθήσας δ' ἄρ' ἔειπε ποτὶ μεγαλήτορα θυμόν· — 5 = *Λ* 403
„ὤ μοι ἐγώ, τί τ' ἄρ' αὖτε κάρη κομάοντες Ἀχαιοὶ
νηυσὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῷι,
ὥς ποτέ μοι μήτηρ διεπέφραδε καί μοι ἔφραπε

---

756 et 759. *κεκληγῶτες*] *-γοντες* Ω (cf. *M* 125). ‖ 4. *τὸ* (sic pap. 107²) ... *δ* ... *τετελεσμένον* Heyne] *τὰ* ... *ᾶ* ... *-να* Ω vitio metrico. ‖ 5. *ποτί*] *πρὸς δν* Ω. Cf. *Λ* 403.

---

756 et 759. οὖλον] proprie *pernicio sum*; nunc significat *clamores* ab iis quibus instans pernicies obversatur editos. Nisi adiectivum quod duobus his locis legitur cum οὔλωι *pernicioso* praeter speciem nihil habet commune et aliunde est ignotum (= *turbatus*? Schol. interpretatur ὀξύ).

757. σμικρῆισι] § 45.

760 sq. Post insertum episodium, quod est de Achille tristi nuntio perculso, continuantur haec Σ 148—150, qui versus cum nostris artissime cohaerent. Multi Achivi prope fossam ceciderunt, a Troianis usque ad castra et ipsum mare pulsi.

760. περί τ' ἀμφί τε τάφρον] voluitne poeta intellegi: *circa fossam et in utraque eius ora*? An — quae simplicior et magis probabilis videtur explicandi ratio — bis idem sed alia voce dicitur, ut h. Cer. 276? Cf. Φ 10 et X 203.

1. Cf. Λ 596 et B 426; οἵ sunt *Troiani*.

2. A Menelao missus Antilochus (cf. P 651—701) in castra pervenit.

3. ὀρθοκραιράων] *boum* hoc epitheton (Θ 231 Σ 573 μ 348 h. Merc. 220) h. l. et T 344 transfertur ad naves, quae *cornua erecta* habere sic dicuntur. Binane igitur eiusmodi cornua in *fronte* sive in prora navium erant? Alienum hinc est navium epitheton ἀμφιέλισσαι (B 165 al.), si recte id redditur verbis *a parte anteriore et a posteriore incurvatae*.

6. κάρη κομάοντες] cf. B 11 et § 191.

7. πεδίοιο] cf. B 785.

9—11. Cf. P 406—409. — Myr-

*Μυρμιδόνων τὸν ἄριστον ἔτι ζώοντος ἐμεῖο* 10
*χερσὶν ὕπο Τρώων λείψειν φάος ἠελίοιο.* 11ᵃ = *Α* 827
*ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός,* 11ᵇ cf. *λ* 93
*σχέτλιος! ἦ ῥ' ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ* 13ᵇ cf. *Π* 301
*νῆας ἔπ' ἂψ ἴμεναι, μηδ' Ἕκτορι ϝῖφι μάχεσθαι.“* 14 cf. *Π* 87
14ᵃ = *Φ* 297
*ὣς ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,* 15 15 = *Α* 193
*τόφρα ϝοι ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστορος υἱὸς* 17ᵃ = *Π* 3
*δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν·*
*„ὤ μοι, Πηλέος υἱὲ δαΐφρονος, ἦ μάλα λυγρῆς* 19 cf. *P* 686
*πεύσεαι ἀγγελίης, ἣ μὴ ὄφελε γενέσθαι!*
*κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφὶ μάχονται* 20 21 cf. *P* 122
*γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ.“*
*ὣς φάτο, τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα,* 22-24ᵃ = *ω* 315
22 = *P* 591 [sqq.
*ἀμφοτέρησι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν* 23 sq. cf. *Ω* 163ᵇ-165
*χεύατο κὰκ κεφαλῆς, χαρίεν δ' ἤισχυνε πρόσωπον,*
*νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη·* 25
*αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς* 26 sqᵃ cf. *Π* 775ᵇ sq.ᵃ
*κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ἤισχυνε δαΐζων.*
*δμωιαὶ δ', ἃς Ἀχιλεὺς ἠϊσσατο Πάτροκλός τε,* 28 cf. *α* 398
*θυμὸν ἀκηχεμέναι μέγ' ἐϊάχον, ἐκ δὲ θύραζε*

---

10 sq. Rhianus Aristoph. om. ‖ 10] *τόν*] cf. *P* 80. ‖ 13. *ϝ*(*ε*) Brandreth] *τ'*. ‖ 14. *νῆας ἔπ' ἂψ ἴμεναι*] *ἂψ ἐπὶ νῆας ἴμεν* Aristoph. Ar. H T (ut *Φ* 297), [*ἂψ ἐπὶ ν*]*ηας ιναι* pap. 127. Cf. l. a. *Φ* 535 et § 126. ‖ 19. *ὄφειλε* § 273] *ὤφελλε*. ‖ 20 sq. *νέκυος . . . γυμνοῦ*] **νέκυϊ . . . γυμνῷι*? Cf. *O* 391. ‖ 29. *ἀκηχεμέναι*] **ἀχεύουσαι*? Cf. § 240. — *μέγ' ἐϊάχον*] *μεγάλ' ἴαχον Ω*. Cf. *Α* 482.

---

midonibus iam accensetur Patroclus, licet aliunde oriundus fuerit (cf. Ψ 85 sqq.).

13 sq. Cf. Π 87 sqq. et cum locutione νῆας ἔπ' ἂψ ἴμεναι cf. Φ 535.

15. ὅσος] § 323.

18—21. Dolore perculsus Antilochus et post cursum celerrimum spiritum aegre ducens paucis verbis tristem nuntium perfert: *mortuus Patroclus, — de eius corpore iam certatur, — nudatum est, — armis Hector potitus.* Cf. A 234—239 et Ψ 469—472.

19. γενέσθαι] cf. P 686.

22. Cf. P 591.

23—25. Achilles caput et vestem foedat pulvere, ut Laërtes sub finem Odysseae, non cinere, nam προπάροιθε νεῶν (vs. 3) nunc versatur, non in suo tabernaculo. Cf. X 414. Tunica Achillis dicitur νεκταρέη, utpote a Thetide accepta; cf. Π 223—225.

26. μέγας μεγαλωστὶ] cf. H 39.

— τανυσθεὶς] *prostratus, proiectus* vi doloris: passivum; Cyclops vero ι 298 τανυσσάμενος *porrectus* sive placide extensis cruribus.

28. ἠϊσσατο] singularis ut A 255.

ἔδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα, χερσὶ δὲ πᾶσαι
στήθε' ἐπεπλήγοντο, 'λύθεν δ' ὑπὸ γυῖα ϝεκάστησ. 31ᵃ = 51
Ἀντίλοχοσ δ' ἑτέρωθεν ὀδύρετο δάκρυα λείβων, 31ᵇ = σ 341
χεῖρασ ἔχων Ἀχιλῆοσ, — ὃ δ' ἔστενε κυδάλιμον κῆρ, — 32 cf. X 79
ἔδϝιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρωι· 33ᵇ cf. K 16
σμερδαλέον δ' ὤιμωξεν.

ἄκουσε δὲ πότνια μήτηρ 35ᵇ cf. A 357
ἡμένη ἐν βένθεσσιν ἁλὸσ παρὰ πατρὶ γέροντι, 36 = A 358
'κώκυσέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφήγροντο, 37ᵃ cf. Ω 703
πᾶσαι ὅσαι κατὰ βένθοσ ἁλὸσ Νηρηΐδεσ ἦσαν. 38 cf. 49
ἔνθ' ἄρ' ἔεν Γλαύκη τε Θάλειά τε Κυμοδόκη τε 39-49 cf. Hes. Theog. 243 sqq.
Νησαίη Σπεεώ τε Θόη θ' Ἁλίη τε βοῶπισ,
Κυμοθόη τε καὶ Ἀκταίη καὶ Λιμνώρεια
καὶ Μελίτη καὶ Ἴαιρα καὶ Ἀμφιθόη καὶ Ἀγαυὴ
Δωτώ τε Πρωτώ τε Φέρουσά τε Δυναμένη τε
Δεξαμένη τε καὶ Ἀμφινόμη καὶ Καλλιάνειρα,
Δωρὶσ καὶ Πανόπη καὶ ἀγακλειτὴ Γαλάτεια
Νημερτήσ τε καὶ Ἀψευδὴσ καὶ Καλλιϝάνασσα,
ἔνθα δ' ἔεν Κλυμένη Ϝιάνειρά τε καὶ Ϝιϝάνασσα,

34. Del. Bentley. — ἔδϝιε (εδδιε) Brandreth] δείδιε (cf. § 168). Vitium redit Ω 358, verum praebet Hesychii glossa: „εἴδειεν (i. e. εἴδιεν) ἐφοβεῖτο." — ἀποτμήξειε Zen. Ω] ἀπαμήσειε Ar. T (cf. A 146). || 37. ἀμφήγροντο] cf. B 94. || 38 et 49. ἦσαν] εἰσίν Lehrs (cf. B 448 E 739). || 39—49. In Arg. non legebantur (propter homoeoteleuton versuum 38 et 49 casu praetermissi?); Zen. Ar. — || 40. θ' Ἁλίη] sic Ar., Θαλίη alii olim (sic codd. Hes. loco parall.). — τε βοῶπισ] τ' ἐρόεσσα Hes. l. l. (cf. Γ 144). || 45. ἀγακλειτὴ] εὐειδὴσ Hes. l. l. (metro invito, nisi Πανόπεια legatur).

33. ἔστενε κυδάλιμον κῆρ] cf. K 16.

34. Ut antehac irae, sic luctus iam impotentem se praestat Achilles, vitae inexpertus necdum malis induratus. Itaque veritus est Antilochus ne iugulum sibi praecideret; erat enim vere λαιμότμητον τοῦτο τὸ ἄχοσ (cf. Eur. Alc. 229 Phoen. 655). Voce *ferro* significatur *culter*; cf. Ψ 826—835 et Λ 844 Ψ 30.

35ᵇ sqᵃ. *At mater sonitum thalamo sub fluminis alti | sensit* Verg. Georg. IV 333.

39. ἔνθ'(α)] *illic* in Nerei megaro submarino, ubi et Thetis degebat.

— ἔεν] § 302. Singularis ita est usurpatus ut A 255.

39ᵇ sq.ᵃ Imitatur Verg. Aen. V 826: *Nisaee Spioque Thaliaque Cymodoceque.*

40. Σπεεώ] § 71.

— βοῶπισ] cf. Γ 144.

43. Πρωτώ] veluti *Proteus femina*, quemadmodum Ἐνυώ est *Enyalius femina.*

47. ἔεν] § 302.

Μαῖρα καὶ Ὀρείθυια ἐϋπλόκαμός τ' Ἀμάθυια
ἄλλαι θ' αἳ κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν. 49 cf. 38
τάων δ' ἀργύφεον πλῆτο σπέος· αἳ δ' ἅμα πᾶσαι 51ª = 31
στήθε' ἐπεπλήγοντο, Θέτις δ' ἐξῆρχε γόοιο·
„κλῦτε, κασίγνηται Νηρηΐδες, ὄφρ' ἐῢ πᾶσαι
ϝείδετ' ἀκούουσαι ὅσ' ἐμῶι ἔνι κήδεα θυμῶι.
ὤ μοι ἐγὼ δϝειλή, ὤ μοι δυσαριστοτόκεια! 54ª cf. ε 299
ἣ τ' ἐπεὶ ἄρ' τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε, 55ᵇ = Δ 89
ἔξοχον ἡρώων, — ὃ δ' ἀνέδραμεν ἔρνεϊ ϝῖσος, — 56-62 = 437 sqq.
τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὣς γουνῶι ἀλωιῆς,
νηυσὶν ἐπιπροέηκα κορωνίσι Ἴλιον εἴσω
Τρωσὶ μαχεσσόμενον, τὸν δ' οὐχ ὑποδέξομαι αὖτις 59ᵇ sq.ª = τ 257
sq. cf. Σ 89 sq.
ϝοίκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾶι φάος ἠελίοιο, 61ᵇ = δ 833 ξ 44
ν 207 cf. Ω 558
ἄχνυται, οὐδέ τί ϝοι δύναμαι χραισμῆσαι ἰοῦσα. δ 540 κ 498
ἀλλ' εἶμ', ὄφρα ϝίδωμι φίλον τέκος ἠδ' ἐπακούσω
ὅττι μιν ἵκετο πένθος ἀπὸ πτολέμοιο μένοντα."
ὣς ἄρα φωνήσασα λίπε σπέος, αἳ δὲ σὺν αὐτῆι
δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
ῥήγνυτο.

ταὶ δ' ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
ἀκτὴν εἰσανέβαινον ἐπισχερώ, ἔνθα θαμεῖαι 68ª cf. Ω 97
Μυρμιδόνων ϝέϝρυντο νέες ταχὺν ἀμφ' Ἀχιλῆα. 69ᵇ cf. 354

---

48. *Ἀμάθυια*] -θεια G H. || 50. *τάων δ'*(*ἐ*) Fick] *τῶν δὲ καὶ* (cf. § 56). || 53. *ἔνι*] *ἔπι* Aristoph. (cf. Α 55). || 63. (*ϝ*)*ἴδωμι* pap. 107] *ἴδοιμι* Ω (cf. § 112). || 68. *εἰσανέβαινον*] -*βησαν* A.

---

54. δυσαριστοτόκεια] †, ἐπὶ κακῶι (αἰνὰ Α 414) ἄριστον τεκοῦσα. Cf. δυσέρωσ vox recentiorum = *cum maximo suo malo amans* et Homerica Δύσπαρις, δυσμήτηρ, Γ 39 al.

56. δ δ' ἀνέδραμεν ἔρνεϊ ϝῖσος] ut surculus in horto sedula cura cultus; cf. P 53—58. Verbum ἀναδραμεῖν ut ἀνέρχεσθαι ζ 162. Cf. nostra verba *opschieten, uitloopen, opgaan* (*opgaand geboomte*) ad arbores translata.

57. θρέψασα] *eminus curans*. Non enim apud Peleum vixit Thetis. Cf. Α 358 ! 485—495.

58 et 60. εἴσω] = εἰσ. Cf. Α 71.

59. μαχεσσόμενον] § 291.

— οὐχ ὑποδέξομαι αὖτις] redditum sibi filium censeat mater, si e belli periculis incolumis redeat in aedes paternas. At futurum id non est!

68. ἐπισχερώ] cf. Λ 668.

69. ϝέϝρυντο] § 293 et 119.

τῶι δὲ βαρὺ στενάχοντι παρίστατο πότνια μήτηρ,
ὀξὺ δὲ κωκύσασα κάρη ʼλάβε παιδὸσ ἑϝοῖο,
καί ϝʼ ὀλοφυρομένη ϝέπεα πτερόεντα προσηύδα·
„τέκνον, τί κλαίεισ; τί δέ σε φρένασ ἵκετο πένθοσ; 73 sq.ᵃ = Α 362 sq.
ἐξαύδα, μὴ κεῦθε. τὰ μὲν δή τοι τετέλεσται
ἐκ Διόσ, ὡσ ἄρα δὴ πρίν γʼ ηὔχεο χεῖρασ ἀνασχών,
πάντασ ἐπὶ πρύμνησι ϝαλήμεναι υἷασ Ἀχαιῶν
σεῖʼ ἐπιδευομένουσ, παθέμεν τʼ ἀϝεκήλια ϝέργα.“
τὴν δὲ βαρὺ στενάχων προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ· 78 = Α 364
„μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιοσ ἐξετέλεσσε,
ἀλλὰ τί μοι τῶν ἦδοσ! ἐπεὶ φίλοσ ὤλεθʼ ἑταῖροσ, 80ᵃ cf. ω 95
Πάτροκλοσ, τὸν ἐγὼ περὶ πάντων ʼτῖον ἑταίρων,
ϝῖσον ἐμῆι κεφαλῆι. τὸν ἀπώλεσα, τεύχεα δʼ Ἕκτωρ
δηιώσασ ἀπέδυσε πελώρια, θαῦμα ϝιδέσθαι, 83ᵇ = Κ 439
καλά· τὰ μὲν Πηλῆϊ θεοὶ ʼδόσαν ἀγλαὰ δῶρα, 84ᵇ = Π 381
ἤματι τῶι ὅτε σε βροτοῦ ἀνέροσ ἔμβαλον εὐνῆι. 85ᵇ cf. h. Ven. 200
αἴθʼ ὄφελεσ σὺ μὲν αὖθι μετʼ ἀθανάτησʼ ἁλίησι 86ᵇ cf. ω 47, 55
ναίειν, Πηλεὺσ δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν!

---

71. ἑϝοῖο] ἐῆοσ recc. (cf. Α 393). ‖ 72. ϝʼ(ε) Brandreth] ῥʼ. Cf. Ε 871. ‖ 83. ἀπέδυσε] -λυσε l. a. in T. ‖ 86. αἴθʼ(ε) A C] ὡσ pap. 107 (ut vs. 107 Γ 173, 428 al.).

---

73 sq. Mater rem sibi cognitam ex filio audire tamen vult, quippe quae sciat leniri dolorem causam doloris proloquendo. Caesum esse Patroclum Thetis minime ignorat (cf. Ρ 406—409). Simili ratione interpretandi sunt Α 362—365.

74ᵇ—77. Cf. Α 408—410 (Ι 652 sq. Π 97—100).

77. σεῖʼ(ο)] § 92.

— παθέμεν] § 126.

— ἀϝεκήλια] †; a voce [ϝ]έκηλοσ hoc adiectivum Ar. recte repetens (cf. vs. 580) interpretabatur ταραχώδη sive *non placida*. Litotes igitur haec est minarum plena. Expectabatur ἀϝεικέα (ut Χ 395 al.) vel ἀϝεικέλια (ut δ 244 al.), sed ad illam stirpem referri vocem non sinunt versus numeri.

79—82. Tempestive cedere se nescivisse sentire incipit Achilles: ῥεχθὲν νήπιοσ ἔγνω, quod frustra ei praedixit Phoenix (cf. Ι 650—656). Nunc carissimum amicum simulque sua ipsius arma — ipsum suum decus et veluti honorem — amisit.

84—87. *Deorum dona* illa arma et alibi dicuntur (cf. Π 796), nunc *nuptialia* dona fuisse ait poeta, idemque dixit Cypriorum carminis auctor (cf. Π 143 sq.). *Iustum* tamen Pelei et Thetidis *matrimonium*, cuius fit mentio in versu omnium consensu spurio Π 867*bis*, a fabula quae fuit de Thetide Achillis matre fuit alienum, neque id significatur verbo violentiore εἰσ εὐνὴν ἐμβάλλειν. Cf. vs. 433 sq. et. Α 358.

νῦν δ', ... ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴῃ
παιδὸς ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις 89ᵇ sq.ᵃ cf. 59 sq.
ϝοίκαδε νοστήσαντ'· ἐπεὶ οὐδ' ἐμὲ θυμὸς ἀνώγει
ζωέμεν' οὐδ' ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτον ἐμῶι ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσηι, 92 cf. Λ 433
Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδα' ἀποτίσηι."
τὸν δ' αὖτε προσέϝειπε Θέτις κατὰ δάκρυ χέουσα· 94 cf. Λ 413
„ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις·
αὐτίκα γάρ τοι ἔπειτα μετ' Ἕκτορα πότμος ἑτοῖμος."
τὴν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 97 cf. Π 48
97ᵃ = Λ 517
„αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρα 'μέλλον ἑταίρωι
κτεινομένωι ἐπαμῦναι! ὃ μὲν μάλα τηλόθι πάτρης
ἔφθιτ', ἐμεῖο δ' ἐδεύετ' ἀρῆς ἀλκτῆρα γενέσθαι. 100ᵇ cf. Ξ 485
νῦν δ', ... ἐπεὶ οὐ νέομαί γε φίλην εἰς πατρίδα γαῖαν, 101 = Ψ 150
οὐδέ τι Πατρόκλωι 'γενόμην φάος οὐδ' ἑτάροισι
τοῖσ' ἄλλοισ', οἳ δὴ πολέες 'δάμεν Ἕκτορι δίωι,
ἀλλ' ἧμαι παρὰ νηυσίν, ἐτώσιον ἄχθος ἀρούρης, 104ᵇ cf. υ 379
τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων

90. ἀνώγει C] ἄνωγε Ω (cf. § 225). || 92. πρῶτον vHerwerden] -τος. Cf. Τ 158 Ω 27 al. || 94. αὖτε προσέϝειπε] ἠμείβετ' ἔπειτα l. a. in A. || 97. Sic affert Aeschines I § 150: τὴν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς. || 98 sq. 'μέλλον ... ἐπαμῦναι] *ἐσθλῶι ... ἐπάμυνα? Cf. comment.; in codd. metro invito est ἄρ' ἔμελλον (item Ε 686; cf. § 3). || 99 sq. ὃ — γενέσθαι] ὅ μοι πολὺ φίλτατος ἔσκεν Aeschin. l. l. || 100. δ' ἐδεύετ'(ο) Duentzer] δὲ δῆσεν Ar. Ω. — ἀρῆς] Ἄρεω Ar. (item vs. 213); cf. Ξ 485. || 104. νηυσίν, ἐτώσιον] νηυσὶ κορωνίσιν Plat. Apol. 28 d (aliena hinc sunt epitheta ornantia).

88. νῦν δ'(έ)] mente supplendum: *dis aliter visum*, ἑτέρωσ 'βούλοντο θεοί, ut dicitur α 234. Cf. etiam infra vs. 101.

89. Cf. vs. 59.

91. ζωέμεν'(αι)] § 125.

93. Πατρόκλοιο ... ἕλωρα] *Patrocli ... rapinam* = *raptatum Patroclum*. Huc illuc corpus plus semel tractum fuit, ideo plur.; ceteris locis ἕλωρ non *raptationem* sed ipsam *praedam* significat.

— Μενοιτιάδα'(ο)] § 55.

95 sq. Cf. Π 709.

95. οἷ' ἀγορεύεις] *secundum ista verba*. Locutio, quae etiam *propter tua verba* valere potest, redit δ 611 ρ 479 σ 338, 389 τ 255.

96. Praesenti tempore sic utuntur vaticinantes; cf. Θ 246. De ipsa re cf. Π 709, de adiectivi ἑτοίμου usu Ξ 53.

98 sq. οὐκ ... ἔμελλον ... ἐπαμῦναι] *non in fatis fuit ut ... opem ferrem*. Si quidem haec sunt integra. Cf. § 107 et ad σ 138.

101. νῦν δ'(έ) enuntiatum non decurrit, sed vs. 114 redintegratur. Ceterum cf. vs. 88.

104. ἀρούρης] cf. λ 489.

105 sq. Cf. *Tydei* laudes Δ 400.

105. οἷος οὔ τις] i. e. *qualis nullus alius*. Item Soph. Ai. 425 ἄνδρα οἷον οὔ τινα Τροία στρατοῦ ὀέρχθη, Ar.

ἐν πολέμωι! — ἀγορῆι δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.
ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο,
καὶ χόλος! ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι· 108 cf. ξ 464
ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠΰτε καπνός.
ὡς ἐμὲ νῦν ἐχόλωσε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ, 112 sq. = T 65 sq.
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκηι. 112a = Π 60
νῦν δ' εἶμ', ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχήω 112b = T 8 Ω 523 π 147
Ἕκτορα· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ 115 cf. X 365
Ζεὺς ἐθέληι τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι. 116 = X 366
οὐδὲ γὰρ οὐδὲ βίηι Ἡρακλέος φύγε κῆρα,
ὅς περ φίλτατος ἦσκε Διὶ Κρονίωνι ϝάνακτι·
ἀλλά ϝε μοῖρ' ἐδάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.
ὣς καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,

---

Plut. 247 ὡς οὐδεὶς ἀνήρ. — De correpto οἷος (⏑⏑) cf. § 17.

106. Nuper se ἐν ἀγορῆι ira abreptum peccasse confitetur iuvenis tandem resipiscens, sed sero et etiamnunc invitus. „Ubi strenue factis opus est, nemo mihi par, manibus enim, in quibus πολέμοιο τέλος ἐστί (cf. Π 630), quovis sum superior; verbis vero sunt qui plus valeant." Lingua non bene tunc usus sum: at quid militi cum facundia et artificiis oratoriis!

107. *Utinam laudis studium inter homines nullum valeret!* Cf. Δ 440. — „Immo vero et bona extat ἔρις!" Hesiodus ait Op. 11—24, aut ipsis his Iliadis versibus oblocutus aut — quod verum videtur — dicterio populari, ad quod et Iliadis poeta h. l. respexerit. Etiam Heraclitus Achillis haec verba improbavit (cf. Aristot. Eth. Eud. 7 § 1). — Singularis ἀπόλοιτο ut A 255.

108—110. Cum propria tum translata vi vocis χόλου — quae et *fel* (cf. Π 203) et *iram* valet — poeta nunc utitur. Cf. att. τοῦτ' ἐστὶν χολή Ar. Ran. 4, Hor. Sat. II 6, 32 *hoc ... melli est*, similia. — „Stomachantibus ira iucunda est." Ad *allegoricum* dicendi genus (de quo cf. I 503—512) proxime haec accedunt.

114. κιχήω] § 122.

115. δέξομαι] *accipiam* haud invitus.

116. ἐθέλῃι] singularis ut A 255.

117—119. *Mortui* Herculis *umbram* (viri quippe mortalis: ἀνδρός E 396, φωτός φ 26) in regione vita functorum vidit Ulixes. Cf. λ 621—627; cuius loci versus 602—604, ubi *in caelo* etiam *vivere* Hercules dicitur Iuventae deae maritus, merito damnarunt veteres, utpote ab illo contextu alienos. De Hercule Iovi carissimo, Iunoni inviso, cf. A 590 sq.

117. Ἡρακλέος] § 73.

118. ὅς] cf. E 638.

119. μοῖρ'(α) ... καὶ χόλος Ἥρης] cf. Π 850.

120. *Si quidem mors, quae cunctis mortalibus communis est, iam mihi instat* (ἑτοίμη ἐστί, vs. 96). Cf. vs. 329.

κείσομ', ἐπεί κε θάνω. νῦν δὲ κλέοσ ἐσθλὸν ἀροίμην, 121ᵇ cf. *E* 3
καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων
χείρεσσ' ἀμφοτέρηισι παρηιάων ἁπαλάων 123ᵃ cf. *M* 382
δάκρυ' ὀμορξαμένην ἀδινὸν στοναχῆσαι ἐφείην! 124ᵃ cf. *Θ* 88 *Λ* 530
γνοῖεν δ' ὡσ δὴ δϝηρὸν ἐγὼ πολέμοιο πέπαυμαι! 125
μηδέ μ' ἔρυκε μάχησ φιλέουσά περ· οὐδέ με πείσεισ." 126ᵇ = *Z* 360
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτισ ἀργυρόπεζα· 127 = *T* 28 cf. *Ω* 89
„ναὶ δὴ ταῦτά γε, τέκνον, ἐτήτυμα. οὐ κακὸν ἐστι
τειρομένοισ' ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον. 129ᵃ = *P* 703
ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται, 130
χάλκεα μαρμαίροντα, τὰ μὲν κορυθαίολοσ Ἕκτωρ 131ᵃ = *Π* 664
αὐτὸσ ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ϝέ φημι 132ᵃ = *P* 473
δϝηρὸν ἐπαγλαΐσεσθαι, ἐπεὶ φόνοσ ἐγγύθεν αὐτῶι.
ἀλλὰ σὺ μὲν μή πω καταδύσεο μῶλον Ἄρηοσ,
πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦσαν ἐν ὀφθαλμοῖσι ϝίδηαι· 135 cf. 190
ἠῶθεν γὰρ νίσσομ', ἅμ' ἠελίωι ἀνιόντι, 136ᵇ = *Ψ* 362 cf. *μ* 429
τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ϝάνακτοσ." 137 cf. 617
ὣσ ἄρα φωνήσασα πάλιν 'τράπεθ' υἷοσ ἑοῖο, 138ᵃ cf. *Φ* 468
καὶ στρεφθεῖσ' ἁλίησι κασιγνήτῃσι μετηύδα·
„ὔμεσ μὲν νῦν δῦτε θαλάσσησ εὐρέα κόλπον 140ᵇ = *δ* 435
ὀψόμεναί τε γέροντ' ἅλιον καὶ δώματα πατρόσ,

---

123. **χείρεσσ' ἀμφοτέρηισι*] *ἀμφοτέρῃσιν χερσὶ Ω* (duris numeris), item *δ* 116. Cf. *M* 382. ‖ 124. *δάκρυ'(α)*] cf. *I* 433. — *ἀδινόν*] sic Ar., *-νὰ* pap. 107 A² T. Singularis etiam *δ* 721 *κ* 413 adverbii vice fungitur, pluralis *Ψ* 225 *Ω* 123 *η* 274 *ω* 317, *-νῶσ* est *T* 314, *-νώτερον π* 216. ‖ 127. *θεὰ Θέτισ ἀργυρόπεζα*] *Θέτισ κατὰ δάκρυ χέουσα* pap. 107. ‖ 128. *ἐτήτυμα* Ahrens] *-μον*. ‖ 133. *ἐπαγλαΐσεσθαι* § 147 et 210] *-ιεῖσθαι*. ‖ 136. *νίσσομ'(αι)* Menrad] *νεῦμαι*. Cf. *Ψ* 76 et § 292. ‖ 138. *ἑοῖο*] *ἑῆοσ* pap. 127 Syr. (cf. *A* 393).

---

122. βαθυκόλπων] cf. Z 442.

123. παρηιάων] cf. Δ 142.

125. δϝηρὸν . . . πέπαυμαι] pugnandi igitur nunc si unquam avidus, quippe qui inde ab expeditione qua Theba aliaeque urbes sunt captae (per totum igitur mensem ad minimum) a bello me abstinuerim.

131. χάλκεα] cf. X 322.

131ᵇ sq. Hectoris priscum epitheton κορυθαίολοσ, quo poeta et nunc utitur, testatur Hectorem Patrocli aut Patroclum Achillis arma in fabulis Iliade antiquioribus non induisse. Cf. Λ 353 et Π 799 sq.

133. αὐτῶι] *ipsi*, ut ei quem peremit Patroclo.

134. μὴ . . . καταδύσεο] cf. Δ 410.

138. πάλιν . . . υἷοσ] genitivum (ablativum) particula πάλιν additum habet etiam Υ 439 Φ 594 η 143, item ἄψ Μ 420.

140. ὔμεσ] § 92.

141. *Nerei* nomen licet apud nostrum non inveniatur, hic versus dubitare nos non sinit quin poetae

καί ϝοι πάντ' ἀγορεύσατ'· ἐγὼ δ' εἰς μακρὸν Ὄλυμπον
εἶμι παρ' Ἥφαιστον κλυτοτέχνην, αἴ κ' ἐθέλησι
υἷϊ ἐμῷι δόμεναι κλυτὰ τεύχεα παμφανάοντα."
ὣς ἔφαθ', αἳ δ' ὑπὸ κῦμα θαλάσσης αὐτίκ' ἔδυσαν·
ἣ δ' αὖτ' Οὔλυμπόνδε θεὰ Θέτις ἀργυρόπεζα
ἤϊεν, ὄφρα φίλωι παιδὶ κλυτὰ τεύχε' ἐνείκαι.

τὴν μὲν ἄρ' Οὔλυμπόνδε πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ 148 cf. *O* 405
θεσπεσίωι ἀλαλητῶι ὑφ' Ἕκτορος ἀνδροφόνοιο
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο. 150 cf. *O* 233
οὐδέ κε Πάτροκλόν περ ἐϋκνήμιδες Ἀχαιοὶ
ἐκ βελέων ϝερύσαντο νέκυν, θεράποντ' Ἀχιλῆος·
αὖτις γὰρ δὴ τόν γε ϝίκεν λαός τε καὶ ἵπποι
Ἕκτωρ τε Πριάμοιο πάϊς, φλογὶ ϝείκελος ἀλκήν. 154ᵇ cf. *N* 330
τρὶς μέν μιν μετόπισθε ποδῶν ἴλαβε φαίδιμος Ἕκτωρ
ἑλκέμεναι μεμαώς, μέγα δὲ Τρώεσσιν ὁμόκλα,
τρὶς δὲ δύ' Αἰάντες, θοῦριν ἐπιϝειμένοι ἀλκήν, 157ᵇ = *H* 164
νεκροῦ ἀπεστυφέλιξαν· ὃ δ' ἔμπεδον, ἀλκὶ πεποιθώς,
ἄλλοτ' ἐπηΐξασκε κατὰ μόθον, ἄλλοτε δ' αὖτε 159 cf. *Ω* 10
ἵστάσκε μέγα ϝιϝάχων, ὀπίσω δ' οὐ χάζετο πάμπαν.
ὡς δ' ἀπὸ σώματος οὔ τι λέοντ' αἴθωνα δύνανται
ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεσθαι,

142. ἀγορεύσατ'(ε)] ἀγορεῦσαι Zen. || 146. δ' αὖτ'(ε)] μὲν ἄρ' Zen. || 151. οὐδέ κε] οὐδ' ἄρα l. a. in A. || 153. ἵκεν § 208] ἵκον. || 154. φλογὶ] συῒ Zen. (ut *Δ* 253 *P* 281). || 155 sq. *ὅσ μιν τρὶς μετόπισθε ποδῶν λάβε καὶ μέγ' ἄϋτει | ἑλκέμεναι μεμαώς, κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει | πῆξαι ἀνὰ σκολόπεσσι ταμόνθ' ἁπαλῆσ ἀπὸ δειρῆς* Zen. (cf. vs. 174—177). || 157. δύ'(ο)] μιν Bentley. || 160. ϝιϝάχων] ἀχέων Zen.

Iliadis *senex marinus* ille fuerit *pater Nereidum* sive Nereus ipse (cf. h. Ap. 319).

144. υἷϊ(ῖ)] § 78.

— παμφανάοντα] § 191.

148—150. Paucis verbis iterum dicitur id quod poeta iam P 760 sq. indicavit; nunc enim narratio redit illuc unde ad Achillem deflexit. Dum cum filio collocuta est Thetis, Achivi cum corpore Patrocli usque ad castra confugerunt.

149. ἀλαλητῶι] cf. B 419.

151 sq. οὐδέ κε . . . ϝερύσαντο] poeta verba, quae iam nunc in mente habet: εἰ μή κτέ., vs. 166 demum addidit.

153. Achivos denuo assecutus Hector corpus Patrocli Menelao et Merionae eripere conatur (cf. P 715—754).

154. Cf. N 330 et Λ 596.

157. ἐπιϝειμένοι ἀλκήν] cf. A 149.

161 sq. Cf. Γ 23.

162. πεινάοντα] § 190.

ὣς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστὰ 163 cf. N 201
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δεδρίξασθαι.
καί νύ κέ ῥ' ἕρυσσέν τε καὶ ἄσπετον ἤρετο κῦδος, 165 = Γ 373
εἰ μὴ Πηλεΐωνι ποδήνεμος ὠκέα Ἶρις
ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι, 167 = Δ 715
κρύβδα Διὸς ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη.
ἀγχόθι δ' ἱσταμένη ῥέπεα πτερόεντα προσηύδα· 169 = Δ 92
„ὄρσεο, Πηλεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν· 170ᵇ = Δ 146
Πατρόκλωι ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
ἕστηκε πρὸ νεῶν. οἳ δ' ἀλλήλουσ ὀλέκουσι,
οἳ μὲν ἀμυνόμενοι νέκυος πέρι τεθνηῶτος,
οἳ δὲ ῥερύσσασθαι ποτὶ Ἴλιον ἠνεμόεσσαν
Τρῶες ἐπιθύουσι· μάλιστα δὲ φαίδιμος Ἕκτωρ
ἑλκέμεναι μέμονεν, κεφαλὴν δέ ῥε θυμὸς ἀνώγει
πῆξαι ἀνὰ σκολόπεσσι, ταμόνθ' ἁπαλῆσ ἀπὸ δειρῆσ.
ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο! σέβασ δέ σε θυμὸν ἱκέσθω
Πάτροκλον Τρωΐνισι κυσὶν μέλπηθρα γενέσθαι. 179 = P 255

---

165. *κέ ῥ'(ε)] κεν (ut Γ 373). — ἤρετο § 284] ἤρατο. || 167. Cf. Δ 715. || 169. ἀγχόθι δ'(ἐ)] cf. B 172. || 171. Πατρόκλωι] -κλου (i. e. -κλοι') Ar.; genitivus verbo ἐπαμύνειν alibi non adiungitur (dativus Z 362 alibi), verbo simplici ἀμύνειν non nusquam (cf. Π 522). || 174. ἠνεμόεσσαν] αἰπὺ θέλοντεσ Zen. omissis vs. 175—177 (cf. vs. 155 sq. et Π 92). || 176. δέ] τέ Syr. A. — ἀνώγει Syr. A C T] ἄνωγε Ω (cf. § 225). || 178. μηδ' ἔτι] μηκέτι Apoll. de con. 500 Apoll. lex. Gen.

---

163. κορυστὰ] cf. Δ 457.

168. Iris cur *clam Iove* (ceterisque numinibus) nunc mittitur, quae prohibeat quominus corpus Patrocli a Troianis abripiatur? Quia huic loco subest notio carminibus Iliade antiquioribus propria, qua Iuppiter sive deus *Idaeus* Hectori perpetuo favere, Achivis autem infestus et nunc ob Sarpedonis filii mortem etiam infestior esse habebatur; item infra vs. 356—368. Nam *Olympius* ille Dodonaeusve deus profecto noluit Patroclum heroëm fortissimum et Achilli carissimum canum praedam fieri (cf. P 269—272 al.).

169—182. Cf. A 198.

170. ἐκπαγλότατ'(ε)] *mirificentissime*, — quippe qui ne nunc quidem irruas in hostes, ut corpus certe amici iis eripias.

173. νέκυοσ ... τεθνηῶτοσ] cf. X 203 et § 160.

175. ἐπιθύουσι] verbum ἐπ-ιθύειν redit π 297 h. Merc. 475 (simplex Δ 507 al.). De verbo finito et participio ἐκ παραλλήλου collocatis cf. Γ 80.

177. σκολόπεσσι] *urbis moenibus*. Etiam murus altus, quo *Phaeacum* urbs protegebatur, σκολόπεσσιν ἀρηρώσ fuit (cf. η 45). De ipsa re cf. X 395—404.

178. κεῖσο] cf. B 688.

179. Τρωΐνισι] § 17.

— κυσὶν μέλπηθρα γενέσθαι] cf. H 241 et A 474.

*σοὶ λώβη, αἴ κέν τι νέκυσ ἀισχυμμένοσ ἔλθῃ.“*
*τὴν δ' ἀμείβετ' ἔπειτα ποδάρκησ δῖοσ Ἀχιλλεύσ·*
*„Ϝῖρι θεά, τίσ τ' ἄρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;“*
*τὸν δ' αὖτε προσέϝειπε ποδήνεμοσ ὠκέα Ϝῖρισ·*
*„Ἥρη με προέηκε, Διὸσ κυδρὴ παράκοιτισ·* 184[b] cf. λ 580
*οὐ ϝοῖδε Κρονίδησ ὑψίζυγοσ οὐδέ τισ ἄλλοσ*
*ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.“*
*τὴν δ' ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·*
*„πῶσ τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχεα κεῖνοι,*
*μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴαε θωρήσσεσθαι,*
*πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσι ϝίδωμαι·* 190 cf. 135
*ὑστεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν' ἔντεα καλά.*
*ἄλλου δ' οὔ θην ϝοῖδα τέο κλυτὰ τεύχεα δύω,*
*εἰ μὴ Αἴαντόσ γε σάκοσ Τελαμωνιάδαο.*
*ἀλλὰ καὶ αὐτόσ, ϝέλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,*
*ἔγχεῖ δηΐων περὶ Πατρόκλοιο θανόντοσ.“*
*τὸν δ' αὖτε προσέϝειπε ποδήνεμοσ ὠκέα Ϝῖρισ·*
*„εὖ νυ καὶ ἡμεσ ϝίδμεν ὅ τοι κλυτὰ τεύχ' ἔχονται·* 197[a] = Θ 32, 463
*ἀλλ' αὔτωσ ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι,*
*αἴ κέ σ' ὑποδϝείσαντεσ ἀπόσχωνται πολέμοιο* 199 cf. Λ 799
*Τρῶεσ, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷεσ Ἀχαιῶν* 200 sq. = Λ 800 sq.
*τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσισ πολέμοιο.“*
*ἦ μὲν ἄρ' ὣσ ϝειποῦσ' ἀπέβη πόδασ ὠκέα Ϝῖρισ,* 202 = Θ 425
*αὐτὰρ Ἀχιλλεὺσ ὦρτο Διὶ φίλοσ· ἀμφὶ δ' Ἀθήνη*

---

182. *τ' ἄρ*] sic (*τάρ*) Ar. in ed. altera, *γάρ* Ω. Cf. *A* 8 *K* 61, 424 Σ 188 *γ* 22 *ν* 417 *ο* 509 *π* 222 *ψ* 264. ‖ 185. *οὐ* Heyne] *οὔτ'* (Syr.) vel *οὐδ'* Ω, *οὐδὲ ϝίδε* Brandreth. — *οὐδέ*] *οὔτε* Syr. ‖ 192. *θην* G Z] *τευ* (i. e. *τεο*, § 99) Ω. — *τέο* Robert] *τεῦ ἂν* (cf. § 326) Ω, *ἄλλα δέ θην οὐ ϝοῖδα τά κεν* Brandreth. ‖ 193. *μὴ Αἴαντοσ*] vitium metricum (cf. Φ 536 et § 14). ‖ 194. *αὐτόσ* Bentley] *αὐτὸσ ὅ γ'*. — *πρώτοισιν*] *Τρώεσσιν* A C T (cf. *A* 523; vulgatae favet *E* 834). ‖ 197. *κλυτὰ*] *καλὰ* olim quidam (metro invito). ‖ 198. *αὔτωσ*] *αὐτὸσ* Zen. Aristoph.; cf. *o* 83. ‖ 200 sq. Om. pap. 107 Syr. et codicis A archetypum[1] (propter homoeoteleuton?); solum vs. 201 om. T Z. ‖ 203. *ἀμφὶ δ'*(*ὲ*)] *αὐτὰρ* Syr.

---

180. *Tibi dedecori erit Patroclus si specie deformata ad inferos* (cf. O 188) *perveniat.* Vox νέκυσ (acc. plur.) idem valet quod Ἀΐδαο δῶμα vel δόμουσ (O 251 X 482).

185. ὑψίζυγοσ] cf. Δ 166.

188. τεύχεα κεῖνοι] § 97.

189. εἴαε] § 191.

190. ϝίδωμαι] cf. A 158.

191. Cf. A 53.

197. ἧμεσ] § 92. Intell. *caelites* vel *Iuno et ego.* Cf. Z 414.

201. ὀλίγη — πολέμοιο] cf. Λ 801.

203 sq. De *aegide* cf. O 308—310 et B 447—449, de adiectivi θυσανόεισ prima syllaba § 21.

ὥμοισ' ἰφθίμοισι 'βάλ' αἰγίδα θυσανόεσσαν, 204ᵇ cf. *E* 738
ἀμφὶ δέ ϝοι κεφαλῆι νέφος ἔστεφε δῖα θεάων
χρύσεον, ἐκ δ' αὐτοῦ 'δαῖε φλόγα παμφανάουσαν.
ὡς δ' ὅτε καπνὸς ἰὼν ἐκ ϝάστεος αἰθέρ' ἵκηται, 207 cf. *Φ* 522
τηλόθεν ἐκ νήσου, τὴν δήϊοι ἀμφιμάχωνται· —
οἳ δὲ πανημέριοι στυγερῶι κρίνονται Ἄρηῖ 209 cf. *B* 385
ϝάστεος ἐκ σφετέροι', ἅμα δ' ἠελίωι καταδύντι 210ᵇ = *A* 592
πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ
γίγνεται ἀΐσσουσα, περικτιόνεσσι ϝιδέσθαι,
αἴ κέν πως σὺν νηυσὶν ἀρῆσ ἀλκτῆρες ἵκωνται· —
ὣς ἀπ' Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ' ἵκανε. 214 cf. *T* 379
'στῆ δ' ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος, οὐδ' ἐσ Ἀχαιοὺς
'μίσγετο, μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν.
ἔνθα στὰς ἤϋσ', — ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη 217ᵃ cf. *E* 784
'φθέγξατ', — ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν. 218 cf. *K* 523

---

207. *καπνὸς ἰὼν ἐκ ϝάστεος*] *πῦρ ἐπὶ πόντον ἀριπρεπὲς* Ar. (cf. *T* 375 sq.), qui prius (in ed. priore aut in commentariis) vulgatam lectionem fuerat secutus. || 208. *ἀμφιμάχωνται*] *-χονται Ω.* || 209. *δὲ* Heyne] *τε.* — *κρίνονται*] *-νωνται* Syr. G H. || 210. *ϝάστεος ἔκ σφετέροι'(ο)*] *ἄστυ ποτὶ* (aut *περὶ*) *σφέτερον* Zen. (cf. *I* 327). Uni eidemque errori debentur *τε, κρίνωνται, ποτί* (aut *περί*). || 213. *ἀρῆσ*] *Ἄρηι* Ar., *Ἄρεως* vel *-οσ Ω.* Cf. *Ξ* 485 *Σ* 100.

---

205 sq. Cf. E 4—8.

206. ἐκ δ' αὐτοῦ] *et ex ipso* (ex eius corpore). Nube aurea circumdatum est nudum Achillis caput, ex quo emicat clara flamma, nubis illius veluti nucleus.

207—214. Laxior, ut assolet poeta cum imaginibus utitur (cf. e. g. Ω 480—483), est horum versuum structura, quibuscum conferenda est imago non similis quidem sed cognata tamen T 374—380, ubi *clipeus* Achillis radios solis repercutiens assimulatur *igni* late resplendenti. Nunc poeta *nubem* fulgidam supra caput Achillis assurgentem assimulat *fumo ignium* ab insulae alicuius civibus incensorum ad periculum in quo versantur incolis insularum vicinarum nuntiandum, postquam per totum diem cum hostibus conflictati sunt. Sub solis igitur occasum — nam prius eiusmodi signa dari non potuerunt — efflagrant faces, quarum fumus rutilus, mox ingruente noctis caligine in flammas lucidas (ἀκάματον πῦρ vs. 225) mutatus, eminus late conspicitur, spem salutis denuo ciens in corde hominum defessorum, qui morti devotos se per multas horas sunt rati. Vox πυρσοί (vs. 211) †. Prima in his versibus fit mentio τῆσ φρυκτωρίασ, de qua cf. Aesch. Ag. 30, 292 sqq. Herodot. VII 182 IX 3 Thucyd. II 94 § 1 III 22 § 7 sq., 80 § 2 Ar. Av. 841, 1161 Polyb. X 38—44.

209. στυγερῶι κρίνονται Ἄρηῖ] cf. vs. 264.

210. σφετέροι'(ο)] § 59.

211. ἐπήτριμοι] *densi*? an *ex ordine dispositi*? Incertae originis adi. redit Σ 552 T 226.

ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε ϝίϝαχε σάλπιγξ
ϝάστυ περιπλομένων δηΐων ὕπο θυμορραιστέων, 220[b] = Π 591
ὣς τότ' ἀριζήλη φωνὴ γένετ' Αἰακίδαο.
οἳ δ' ὡς οὖν ἄϊον ϝόπα χάλκεον Αἰακίδαο,
πᾶσιν ὀρίνθη θυμός, ἀτὰρ καλλίτριχες ἵπποι 223[a] = E 29
ἆψ ὄχε' ἐτρόπαον· ὄσσοντο γὰρ ἄλγεα θυμῷι. 224[b] cf. σ 154
ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ϝίδον ἀκάματον πῦρ
δϝεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλεΐωνος
δαιόμενον· τὸ δ' ἔδαιε θεὰ γλαυκῶπις Ἀθήνη.
τρὶς μὲν ὑπὲρ τάφρου μέγ' ἐϝίϝαχε δῖος Ἀχιλλεύς,
τρὶς δ' ἐκυκλήθησαν Τρῶες κλητοί τ' ἐπίκουροι. 229[b] cf. Z 227

219. ὅτε Bentley] ὅτε τ'. || 220. ὕπο θυμορραιστέων] *θυμορραιστάων? Item Π 591. Cf. § 56 et N 544. || 222. χάλκεον] χαλκέην Zen. (cf. § 61); *χαλκείην Ἀχιλῆος? Vox Αἰακίδαο e vs. proximo potuit irrepere. || 224. (ἐ)τρόπαον § 251] τρόπεον. || 228. μέγ' ἐϝίϝαχε] μεγάλ' ἴαχε Ω. Cf. Α 482. || 229. κλητοί] cf. Γ 451.

219. ὡς ... ὅτε] cf. B 394.

— φωνή] ceteris locis cunctis *vocem humanam* vel *divinam* significat, nunc *tubae* voce humana inflatae vox et ipsi tribuitur. Cf. substantivum synonymum αὐδή et verbum ἀείδειν ad *nervi sonum* translata φ 411, βραχεῖν ad sonum *armorum* percussorum (Δ 420 al.), et similia Π 468 Λ 574.

— σάλπιγξ] †, sed cf. σαλπίζειν Φ 388. Hostiumne tubam urbem oppugnantium an civium suos sono tubae late resonantis ad arma vocantium poeta cogitarit fortasse dubitaverit quispiam, multo tamen melius comparationi convenit posterior interpretandi ratio, quam et commendat vis causalis praepositionis ὑπό (*propter...*) aut, si spuria haec (cf. nota crit.), vis genitivi absoluti idem significantis; et sic facile intellegitur qui fiat ut non nisi hoc uno loco in heroum arte bellica commemoretur tuba, ut et πυρσοί (vs. 211). Menti poetae obversatur civitas e plena pacis prosperae quiete subito excitata. Alia autem vitae instrumenta vel alios mores eum inter aequales vidisse, alios heroibus scientem tribuisse, ex hoc aliisve locis haudquaquam efficitur: id sequitur, tubam eius aetate inserviisse vocandis hominibus ad periculum effugiendum vel arcendum στράτου ἐρχομένοιο (β 30, 42), ut olim in Helvetia praelongas illas tubas e *ligno* confictas, quae nemini non sunt cognitae, utque *tympana* illa ingentia, quae inter Indos et hodie asservantur; *receptui cecinisse*, non inserviisse *signis in praelio dandis*.

220. δηΐων] § 17.

— θυμορραιστέων] § 56.

222. ϝόπα χάλκεον] *Achilles* magis etiam quam *Menelaus* vel *Ulixes* (Γ 222) est βοὴν ἀγαθός. Nam huic heroi poeta revera tribuit φωνὴν ἄρρηκτον καὶ χάλκεον ἦτορ, qualia sibi ipsi exoptabat B 490; est χαλκεόφωνος Achilles, ut *Stentor* (cf. E 785). Soli di eum voce superant (cf. E 859 sq. Ξ 148 sq.).

224. ἐτρόπαον] § 251.

— ὄσσοντο] cf. A 105. Subiectum est ἵπποι.

ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι
ἀμφὶ σφοῖσ' ὀχέεσσι καὶ ἔγχεσιν.

αὐτὰρ Ἀχαιοὶ
ἀσπασίως Πάτροκλον ὑπ' ἐκ βελέων ῥερύσαντες
κάτθεσαν ἐν λεχέεσσι, φίλοι δ' ἀμφέσταν ἑταῖροι
μυρόμενοι, μετὰ δέ σφι ποδώκησ εἵπετ' Ἀχιλλεὺσ
δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσιδε πιστὸν ἑταῖρον
κείμενον ἐν φέρτρωι, δεδαϊγμένον ὀξέϊ χαλκῶι.
τόν ῥ' ἦ τοι μὲν ἔπεμπε σὺν ἵπποισιν καὶ ὄχεσφι
εἰσ πόλεμον, οὐδ' αὖτισ ἐδέξατο νοστήσαντα.
ἠέλιον δ' ἀκάμαντα βοῶπισ πότνια Ἥρη
πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰσ ἀέκοντα νέεσθαι·
ἠέλιοσ μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ
φυλόπιδοσ κρατερῆσ καὶ ὁμοίοο πτολέμοιο.

233b cf. ω 44
233b = Ψ 695
234a = Ψ 14
235a = Π 3
236b = Τ 283,292 cf. Τ 211 Χ 72
239a cf. 484
240 cf. Φ 48
242b = Ν 358

## Τρώων ἀγορά.

Τρῶεσ δ' αὖθ' ἑτέρωθεν ἀπὸ κρατερῆσ ὑσμίνησ
χωρήσαντεσ ἔλυσαν ὑφ' ἅρμασιν ὠκέασ ἵπποουσ,
εἰσ δ' ἀγορὴν ἤγροντο, πάροσ δόρποιο μέδεσθαι.
ὀρθῶν δ' ἑσταότων ἀγορὴ γένετ', οὐδέ τισ ἔτλη
ἕζέσθαι· πάντασ γὰρ ἔχε τρόμοσ, οὕνεκ' Ἀχιλλεὺσ
ἐξεφάνη, ὄκρυὸν δὲ μάχησ ἐπέπαυτ' ἀλεγεινῆσ.

243a = Θ 55
247b sq. = Τ 45 sq. Υ 42 sq.

230 sq.b ἔνθα δὲ κοῦροι ὄλοντο δυώδεκα πάντεσ ἄριστοι | οἷσιν ἐνὶ βελέεσσι Zen.; pro ὀχέεσσι quidam olim legebant ξιφέεσσι. || 232. ἀσπασίωσ] cf. vs. 270. || 239. δ' ἀκάμαντα] μὲν ἔπειτα l. a. in A. || 240. πέμψεν] πέμπεν A. || 243. ἀπὸ κρατερῆσ ὑσμίνησ] ἐπὶ Θρωσμῶι πεδίοιο (ut K 160 Λ 56 Υ 3) quidam olim. || 245. ἤγροντο] cf. B 94. || 247. ἔτλη] ἔλε l. a. in A (ut Τ 14). — τρόμοσ] φόβοσ Zen. (item Τ 14; cf. Λ 402).

230. καὶ τότ'(ε)] tunc quoque, post recentem victoriam, ut antea saepius (cf. praesertim O 746).

231. *Circa suos ipsorum currus et suas hastas.* Subito recedentes suis ipsorum equis conculcati sunt et sodalium telis confossi.

240. Achivorum in gratiam Iuno Solem cogit solito citius Oceanum petere. Sic Minerva ut noctem in gratiam Ulixis produceret, solem retinuit ψ 243—246. Nunc Troianis diei finis nimis cito adesse visus est: ἀρέκουσιν ἔδυ φάοσ (Θ 486).

242. ὁμοίοο] cf. Δ 315 et § 59.

245. Militum Troianorum hic conventus *in castris prope fluvium* (non in urbe) est habitus ante cenam vespertinam. Cf. vs. 254 sqq., 298, 314 et Z 367 sq.

τοῖσι δὲ Πολυδάμας πεπνυμένος ἦρχ' ἀγορεύειν 249 cf. *H* 347 *χ* 461
Πανθοΐδης· ὃ γὰρ οἷος ὅρα πρόσσω καὶ ὀπίσσω. 250 cf. *ω* 452
Ἕκτορι δ' ἦεν ἑταῖρος, ἰῇ δ' ἐν νύκτ' ἐγένοντο·
ἀλλ' ὃ μὲν ἂρ μύθοισιν, ὃ δ' ἔγχεϊ πολλὸν ἐνίκα.
ὅ σφιν ἐῢ φρονέων ἀγορήσατο καὶ μετέφειπε·
„ἀμφὶ μάλα φράζεσθε, φίλοι. κέλομαι γὰρ ἐγώ γε
φάστυδε νῦν ἴμεναι, μὴ μιμνέμεν' Ἠόα δῖαν
ἐν πεδίοι παρὰ νηυσί· ϝεκὰς δ' ἀπὸ τείχεός εἰμεν.
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίοι,
τόφρα δὲ ῥηΐτεροι πολεμιζέμεν' ἦσαν Ἀχαιοί·
χαίρεσκον γὰρ ἐγώ γε θοῆισ' ἐπὶ νηυσὶν ἰαύων,
ϝελπόμενος νῆας αἱρησέμεν' ἀμφιϝελίσσας.
νῦν δ' αἰνῶς δέδϝοικα ποδώκεα Πηλεΐωνα·
οἷος κείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει 262ª = *o* 212 cf. *O* 94
μιμνέμεν' ἐν πεδίοι, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
ἐν μέσοι ἀμφότεροι μένος Ἄρηος δατέονται,
ἀλλὰ περὶ πτόλιός τε μαχεσσόμεθ' ἠδὲ γυναικῶν. 265 cf. *λ* 403

262. κεινοο § 59] κείνου (sic Ar.? cf. *O* 94) aut ἐκείνου *Ω* (cf. § 97). || 265. *μαχεσσόμεθ'(α)] -σσεται. Cf. *I* 327 *Π* 526 (*λ* 403). Vulgata lectio coll. *Γ* 137 *M* 216 *Σ* 279 quadamtenus potest defendi, sed non satis apte opponitur versibus 262 sq.

249. Πολυδάμας] § 21.

250. ὅρα πρόσσω καὶ ὀπίσσω] *non praesentis tantum temporis sed et rerum futurarum et praeteritarum habebat rationem:* erat vir *prudens.* Item de Priamo Γ 109 sq., de Halitherse ω 452; Agamemnoni vero hanc virtutem abiudicat Achilles A 343. Cf. Calchantis laus etiam maior — huic enim rerum futurarum *scientiam* deus dederat — A 70. Per diem qui modo praeteriit iam *ter* Polydamas Hectori consiliis cautis et prudentibus adfuit (M 60 sqq., 210 sqq., N 725 sqq.), sed nunc demum plura de eo dicit poeta, quia consilium quod nunc est daturus longe maximi momenti est futurum; ipsa enim Hectoris totiusque civitatis salus iam agitur.

251. Imitatur Verg. Aen. X 702 sqq.

— νύκτ' (νυκτί)] § 13.

255. ἴμεναι] § 125.

— μιμνέμεν'(αι)] § 125.

— Ἠόα] § 2 et 77.

258. ῥηΐτεροι πολεμιζέμεν'(αι)] item Ω 243 sq. ῥηΐτεροι ἐναιρέμεναι.

259. ἐπὶ νηυσὶν ἰαύων] *prope classem Achivorum pernoctans* (cf. vs. 245; item T 71). *Laetus in campo hic transegi noctem proximam, tunc enim Achivos profligatos et perterritos sciebam; iam vero alia est rerum facies.*

262. κείνοο] § 59.

263. μιμνέμεν'(αι)] § 125.

264. ἐν μέσοι] *in medio inter utramque aciem intervallo,* quo procurrere solent οἱ πρόμαχοι.

— μένος Ἄρηος δατέονται] *Martis furorem dividunt,* i. e. *furore martio flagrantes alteri alteris stant oppositi.* Idem alibi dicitur μένος Ἄρηος κρίνειν (π 269) et κρίνεσθαι Ἄρηϊ (B 385

ἀλλ' ἴομεν προτὶ ϝάστυ, πίθεσθέ μοι· ὧδε γὰρ ἔσται.
νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλεΐωνα
ἀμβροσίη, εἰ δ' ἦμε κιχήσεται ἐνθάδ' ἐόντας
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
γνώσεται· ἀσπάσιος γὰρ ἀφίξεται Ἴλιον ἱρὴν
ὅς κε φύγῃι, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται 271[b] cf. X 42
Τρώων. αἴ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο! 272 cf. X 454
εἰ δέ κ' ἐμοῖσι ϝέπεσσι πιθώμεθα κηδόμενοί περ,
νύκτα μὲν ἐν ἀγορῆι σθένος ἔξομεν, — ἄστυ δὲ πύργοι
ὑψηλαί τε πύλαι σανίδες τ' ἐπὶ τῆισ' ἀραρυῖαι
μακραὶ ἐΰξεστοι ἐζευγμέναι εἰρύσονται, —
πρῶῖ δ' ὑπηόῖοι σὺν τεύχεσι θωρηχθέντες 277 = Θ 530
στησόμεθ' ἂμ πύργουσ. τῶι δ' ἄλγιον, αἴ κ' ἐθέλῃσι 278[b]sq.[a]cf.vs.306
ἐλθὼν ἐκ νηῶν περὶ τείχεσ ἦμι μάχεσθαι·
ἂψ πάλιν εἶσ' ἐπὶ νῆας, ἐπεί κ' ἐριαύχενασ ἵππουσ
παντοίου δρόμου ἄσηι ὑπὸ πτόλιν ἠλασκάζων.
εἴσω δ' οὔ μιν θυμὸσ ἐφορμηθήμεν' ἐάσει,
οὐδέ ποτ' ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται."

268. ἦμε ... ἐνθάδ'(ε)] *ἔνθα ... ἦμασ? Cf. § 92. || 270. ἀσπάσιος Cobet] ἀσπασίωσ· Cf. Θ 488 K 35 Φ 607 ε 394, 397 ψ 238, 296. Redit error ὁ 523 ϑ 450 ξ 502 ψ 233; sed H 118 Λ 327 Σ 232 T 72 κ 131 ν 33, 333 adverbium non videtur sollicitandum (cf. Aristoph. Plut. 324 sq.). — Ἴλιον] neglecto ϝ. || 274. ἄστυ] neglecto ϝ.

Σ 209), nec non ξυνάγειν Ἄρηα ratione inita contraria (cf. B 381). Aliter κρίνεσθαι usurpatum est ω 507.

266. ὧδε γὰρ ἔσται] *ita ut dixi futurum esse certo scio.* Nunc nisi in urbem nos sponte nostra recipiemus, cras fluxis habenis illuc profugiemus Achille irruente.

269. εὖ νύ τισ αὐτὸν | γνώσεται] *probe quis experietur quid valeat ille.* Cf. Θ 535.

272. ἀπ' οὔατοσ ὧδε γένοιτο!] *absit omen! Utinam falsa sic prolocutus fuerim!* Averruncandi haec formula redit X 454: dicta quae non audiuntur indictorum sunt instar. De ἀπό praepositionis usu cf. A 562.

273. δέ κ'(ε)] § 326.

— ἐμοῖσι ϝέπεσσι] § 60.

274. ἐν ἀγορῆι σθένοσ ἔξομεν] *in urbis foro copias sistemus.* De ἐν producto cf. § 315; σθένοσ insolite dictum pro στρατόν, quemadmodum posteri dixerunt τὴν δύναμιν. Cf. δῆμοσ sic usurpatum O 738.

276. ἐζευγμέναι εἰρύσονται] *clausae* (obice iunctae) *tuebuntur.* De verbo cf. § 164.

278. ἂμ πύργουσ] *per turres dispositi.*

279. ἦμι] § 92.

230—237. *Qui vero superstites sunt, hos cibo refici oportet; dein armis induti, nihil etiam cunctati, hostes aggrediamur.* — Ulixes postquam in universum loqui coepit, id quod testatur subiunctivus λίπωνται, dein eum solum qui *nunc* est rerum statum cogitans dicit: μαχώμεθα, non: μάχωνται.

μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεί,
ϝεσσάμενοι χροΐ χαλκὸν ἀτειρέα. μηδέ τις ἄλλην
λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναέσθω, 234[b] cf. η 161.
ὅδε γὰρ ὀτρυντύς· κακὸν ἔσσεται, ὅς κε λίπηται
νηυσὶν ἔπ' Ἀργείων. ἀλλ' ἀθρόοι ὁρμηθέντες
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα." 237 = Δ 352
ἦ, καὶ Νέστοροσ υἱασ ὀπάσσατο κυδαλίμοιο,
Φυλεΐδην τε Μέγητα Θόαντά τε Μηριόνην τε
καὶ Κρειοντιάδην Λυκομήδεα καὶ Μελάνιππον.
βὰν δ' ἰμεν' εἰσ κλισίην Ἀγαμέμνονοσ Ἀτρεΐδαο.
αὐτίκ' ἔπειθ' ἅμα μῦθοσ ἔεν τετέλεστό τε ϝέργον· 242 cf. h. Merc. 46
ἑπτὰ μὲν ἐκ κλισίησ τρίποδασ φέρον, οὓσ ϝοι ὑπέστη,
αἴθωνασ δὲ λέβητασ ἐϝείκοσι, δώδεκα δ' ἵππουσ, 244 = I 123
ἐκ δ' ἄγον αἶψα γυναῖκασ ἀμύμονα ϝέργα ϝιδυίασ 245[b] = I 128
ἕπτ', ἀτὰρ ὀγδοάτην Βρισηΐδα καλλιπάρηιον,
χρυσοῦ δὲ στήσασ Ὀδυσεὺσ δέκα πάντα τάλαντα 247 cf. Ω 232
ἦρχ', ἅμα δ' ἄλλοι δῶρ' ἔφερον κούρητεσ Ἀχαιῶν.
καὶ τὰ μὲν ἐν μέσσηι ἀγορῆι θέσαν, ἂν δ' Ἀγαμέμνων
ἵστατο· Ταλθύβιοσ δὲ θεῶι ἐναλίγκιοσ αὐδὴν
κάπρον ἔχων ἐν χερσὶ παρίστατο ποιμένι λαῶν.
Ἀτρεΐδησ δὲ ϝερυσσάμενοσ χείρεσσι μάχαιραν, 252 sq. = Γ 271 sq.
ἣ ϝοι πὰρ ξίφεοσ μέγα κουλεὸν αἰὲν ἄορτο,

235. Post ὀτρυντύσ cum T interpunxit Cauer. || 236. νηυσὶν ἔπ'] -σὶ παρ' C. || 239. Μέγητα] Μέγην τε Zen. (cf. N 692). || 242. ἔπειθ' ἅμα] -τά γε Plut. Mor. 782 c. — τε Passow] δὲ. Cf. ε 262. || 245. ἀμύμονα] -νασ D (cf. I 128). || 246. ἕπτ' ... ὀγδοάτην] ἓξ ... ἑβδομάτην Zen..; cf. I 130 et Z 319. || 248. Ἀχαιῶν] -οί Strab. 467. || 251. χερσὶ G L] χειρὶ Ω. Cf. Α 585. || 253. ἄορτο D L] ἄωρτο Ω (cf. § 256).

232. νωλεμὲσ αἰεί] cf. I 317.

234. ἰσχαναέσθω] § 191.

235 sq. *Nunc enim milites his ipsis verbis incito: male mulcabitur quicunque* (post cenam) *in castris remanserit.* Similis demonstrativi ὅδε usus est η 317; de pronominis ὅσ usu cf. H 401.

238. ὀπάσσατο] cf. K 238.

240. Μελάνιππον] *Troianis* ducibus in Iliade hoc nomen aptius (cf. O 547 Π 695 al.); sed in fabulis *Thebanis* clarus fuit heros Melanippus Martis filius (Aesch. Sept. 414 al.). Cf. Λ 93.

242. Idem dicitur h. Merc. 46 Herodot. III 135.

— ἔεν] § 302.

245. ϝέργα ϝιδυίασ] § 160.

247. τάλαντα] cf. I 122.

248. κούρητεσ] cf. vs. 193.

251 — 254. Cf. vs. 197.

κάπρου ἀπὸ τρίχας ἀρξάμενος, Διὶ χεῖρας ἀνασχὼν
ηὔχετο· τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόθι ἥατο σιγῇ
Ἀργείοι κατὰ μοῖραν ἀκούοντες βασιλῆος.
εὐξάμενος δ' ἄρ' ἔρειπε ϝιδὼν εἰσ οὐρανὸν εὐρύν· 257ª cf. Π 513
„ϝίστω νῦν Ζεὺσ πρῶτα, θεῶν ὕπατοσ καὶ ἄριστοσ, 257ᵇ= Γ364 [279 258-260 cf. Γ276-
Γῆ τε καὶ Ἠέλιοσ καὶ Ἐρινύεσ, αἵ θ' ὑπὸ γαῖαν 258 = ϱ 155 τ 303
ἀνθρώπουσ τίνυνται, ὅ τίσ κ' ἐπίορκον ὀμόσσῃ, 258ª=ξ158 [υ230 258ᵇ = Ψ 43
μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ' ἐπένεικα,
οὔτ' εὐνῆσ πρόφασιν κεχρημένοσ οὔτε τεῦ ἄλλου,
ἀλλ' ἔμεν' ἀπροτίμαστοσ ἐνὶ κλισίῃσιν ἐμῇσι.
εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν [β197,223 λ280
πολλὰ μάλ', ὅσσα διδοῦσιν ὅ τίσ σφ' ἀλίτηται ὀμόσσασ." 265ª cf. α 278,292
ἦ, καὶ ἀπὸ στόμαχον κάπρου τάμε νηλεῖ χαλκῷι. 266 cf. Γ 292
τὸν μὲν Ταλθύβιοσ πολιῆσ ἁλὸσ εἰσ μέγα λαῖτμα
ῥῖψ' ἐπιδινήσασ, βόσιν ἰχθύσιν· αὐτὰρ Ἀχιλλεὺσ 268ª = Γ 378
ἀνστὰσ Ἀργείοισι φιλοπτολέμοισι μετηύδα·
„Ζεῦ πάτερ, ἦ μεγάλασ ἀάτασ ἄνδρεσσι διδοῖσθα.
οὔ κεν δή ποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσι

255. ἄρα] ἅμα Syr. — αὐτόθι Bekker] αὐτόφιν. Cf. M 302. || 257. εὐξάμενοσ] l. a. ant Cf. I 509. || 259. αἵ] οἵ olim quidam, Plutonem Proserpinamque invocari rati et pro copula habentes quod sequitur τε. Cf. Γ 279. || 260. τίνυνται] τίνυσθε Nauck. || 261. ἐπένεικα D H] ἐπενεῖκαι Ω. || 262. Del. Nauck. || 265. ὅ τισ] ὅ τι C T, ὅστισ G H, ὅ τε la Roche, item υ 40 π 228 υ 188 χ 415 ψ 66. || 266. στόμαχον] σφάραγον Pausan. V 24 § 11.

254. ἀπὸ τρίχας ἀρξάμενος] cf. Γ 273.

255. ἥατο] § 220. De verbi vi cf. Γ 134 sq.

259. Γῆ] § 58. Cf. Γ 104.

— Ἐρινύεσ] cf. I 454.

— ὑπὸ γαῖαν] *sub terra* <*degentes*>; cf. Γ 278.

261. μὴ] cf. K 330.

262. πρόφασιν] *causam*. Vox redit vs. 302. Neque concubitus gratia neque aliam quamcunque ob causam mulierem attigit Agamemnon. Gradationem haec efficiunt.

— τε'(ο)] § 92.

263. ἀπροτίμαστοσ] †, = ἄθικτοσ, *intacta*, a verbo προτι-μαίεσθαι (§ 287); cf. ἐπίμαστοσ υ 377.

265. σφ'(ι)] dativus ut δ 807 (cf. etiam A 76 al.). Non est intellegendum σφε (ut Ω 570 al.), nam dualis numerus hinc alienus (cf. § 92).

267 sq. Cf. Γ 310.

270—274. Achilles verba Agamemnonis (vs. 86 sqq.) urbane confirmat: *facta ea res est; fieri scilicet debuit! Nunc autem missa illa causa discidii alia agamus quae instant.* — Nempe Achilles quoque, ne culpam se in se admisisse confiteatur, Iovis voluntatem causatur: „Ζεὺσ ἤθελε". Cur vero voluit? Nonne a Thetide exoratus ut ulcisceretur *Achillem*?

271—273. οὔ κεν ... ἀλλά] id quod εἰ μή nunc valet particula ἀλλά, ut saepe (cf. E 23 al.).

271. οὔ κεν] § 326.

*Ἀτρεΐδησ ὥρινε διαμπερές, οὐδέ κε κούρην*
*ἦγεν ἐμεῖ' ἀϝέκοντοσ ἀμήχανοσ· ἀλλά ποθι Ζεὺσ*
*ἤθελ' Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.*
*νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα.“* 275 = *B* 381
*ὣσ ἄρ' ἐφώνησεν, 'λῦσεν δ' ἀγορὴν αἰψηρήν.* 276 = *β* 257
*οἳ μὲν ἄρ' ἐσκίδναντο ἑϝὴν ἐπὶ νῆα ϝέκαστοσ,* 277 = *Ψ* 3 cf. *β* 258
*δῶρα δὲ Μυρμιδόνεσ μεγαλήτορεσ ἀμφεπένοντο,* 277[b] = *Ω* 1
*'βὰν δ' ἐπὶ νῆα φέροντεσ Ἀχιλλῆοσ θείοιο·*
*καὶ τὰ μὲν ἐν κλισίῃσι' ἔθεσαν, κάθεσαν δὲ γυναῖκασ,*
*ἵππουσ δ' εἰσ ἀγέλην ἔλασαν θεράποντεσ ἀγαυοί.*
*Βρισηΐσ δ' ἄρ' ἔπειτ', ἰκέλη χρυσέῃ Ἀφροδίτῃ,* 282[b] cf. *Ω* 699
*ὡσ 'ϝίδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ,* 283[b] = *Σ* 236
*ἀμφ' αὐτῷ χυμένη λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσε* 284 cf. *Θ* 527
*στήθεά τ' ἠδ' ἁπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα.*
*'ϝείπε δ' ἄρα κλαίουσα γυνὴ ϝεϝικυῖα θεῇσι·* 286[b] = *Λ* 638
*„Πάτροκλ', ἐμοὶ ὀϝειλῇι πλεῖστον κεχαρισμένε θυμῷι,* 287 cf. *Λ* 608
*ζωιὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,*
*νῦν δέ σε τεθνηῶτα κιχάνομαι, ὄρχαμε λαῶν,*
*ἆψ ἀνιοῦσ'· ὣσ μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.* 290 cf. Hes. Theog. 800
*ἄνδρα μέν, ᾧι ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,*
*εἶδον πρὸ πτόλιοσ δεδαϊγμένον ὀξέϊ χαλκῷι,* 292[b] = *Σ* 236
*τρεῖσ τε κασιγνήτουσ, τούσ μοι μία 'γείνατο μήτηρ,* 293 cf. *Γ* 238
*κηδείουσ, οἳ πάντεσ ὀλέθριον ἦμαρ ἐπέσπον.*

---

272. *ὥρινε*] *ὦτρυνε* C. || 276. *αἰψηρήν*] sic Ar. vs. par., *λαιψ.* D (ut *K* 358 al.). Certum est *αἰψ. ὁ* 103. || 280. *κάθεσαν* L] *κάθισαν Ω*. Cf. § 220[2]. — 282—302. Del. Heyne; quibus recisis *αὐτόν* vs. 303 ad Achillem facilius referri potest. || 282. *ἰκέλη*] neglecto *ϝ*. || 287. *Πάτροκλ'*] **δύσμορ'*? Platt *Πάτροκλε ὀϝειλῆι*. De correpto -*o*- cf. § 25 et Dionys. Thrax § 10, Hephaest. de Metr. I 3. || 288. *σε ἔλειπον*] *σ'(ε) ἔλιπον* D H, *σέ γ' ἔλειπον* Bentley, an **τὸν ζωιὸν μὲν ἔλειπον* vel *τ. ζ. κατέλειπον* (coll. *λ* 86)? || 292. *εἶδον*] neglecto *ϝ*.

---

273. ἐμεῖ'(ο)] § 92.

275. ξυνάγωμεν Ἄρηα] cf. B 381.

276. αἰψηρήν] *adverbii* loco usurpatur adiectivum, = *celeriter*. Item β 257.

280 sq. *Opes* in tabernaculis collocarunt, etiam *mulieribus* ibi locum dederunt, *equos* autem ad ceteros Achillis et Myrmidonum equos abegerunt pastum.

282. χρυσέῃ] § 18 et 61.

289. τεθνηῶτα] § 160.

290. δέχεται] intransitivum, ut Hes. Theog. 800. — Cf. Π 111: κακὸν κακῷι ἐστήρικτο, item saepius apud Herodotum δέχεσθαι, ἐκ- ὑποδέχεσθαι.

291—294. Cf. Andromachae querelae Z 421—423 et de Lyrnesso ab Achille expugnata B 690 sq.

293. μοι μία] cf. Γ 238 et de toto versu X 203.

294. οἳ] *hi*.

οὐδὲ μὲν οὐδέ μ' ἔασκεσ, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺσ Ἀχιλλεὺσ 295ª cf. δ 805
ἔκτεινεν, πέρσεν δὲ πόλιν Θείοιο Μύνητοσ,
κλαιέμεν', ἀλλά μ' ἔφασκεσ Ἀχιλλῆοσ Θείοιο
κουριδίην ἄλοχον δήσειν, ἄξειν δ' ἐνὶ νηυσὶ
εἰσ Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.
τῶι σ' ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί."
[cf. T 338 al. 301 = X 515 Ω 746 301ª = X 437 cf. Ω 760]
ὣσ ἔφατο κλαίουσ', ἐπὶ δ' ἐστενάχοντο γυναῖκεσ,
Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.
αὐτὸν δ' ἀμφὶ γέροντεσ Ἀχαιῶν ἠγερέθοντο
λισσόμενοι δειπνῆσαι· ὃ δ' ἀρνέετο στοναχίζων·
„λίσσομαι, εἴ τισ ἐμοί γε φίλων ἐπιπείθεθ' ἑταίρων, 305 cf. P 154
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτοσ

295—300. In T Gen. obelos habent (cf. vs. 136-140): Ar. —? || 298. δ'(ἐ) D H] τ' Ω (propter subiectum mutatum non recte). || 302. αὐτῶν] novicium (cf. § 56). — ἑκάστη] neglecto ƒ. || 305. ἐμοί γε] ἐμεῖο H.

296. *Mynes* a posteris Briseidis maritus est vocatus, id quod etiam Homerus nunc velle videtur, regis igitur senis Eueni nurum fuisse Briseidem, ut Andromachen Priami, „Mynetis" autem „urbem" eam nunc dicere „urbem mariti sui", sive urbem quam Mynes regis filius natu maximus prae ceteris tuebatur, ut Hector Troiam. Si quis vero Mynetem ipsum Lyrnessi regem nunc intellegit, cum B 692 sq. igitur hunc versum non congruere ratus, de Briseidis autem marito nullum nunc fieri sermonem, subit rogare cur igitur *mariti sui* nomen nunc reticeat Briseis; neque sufficere videtur id quod ad hanc quaestionem responderi potest: poetam ne ipsi quidem *Briseidi* — sive *Brisei filia* sive *mulier Brise oriunda* hoc nomine significatur — proprium nomen tribuisse (cf. A 366—369). Nam aliquo tamen nomine hanc designavit, maritum vero prorsus nullo, nisi Mynetem eum nuncupavit.

297. κλαιέμεν'(αι)] § 125.

298 sq. Iustas nuptias cum muliere (regina?) captiva initas in aetatis heroicae mores parum convenire putabat Heyne. Helena tamen a Paride rapta πόσιν hunc habuit, socerum Priamum, levirum Hectorem (cf. Γ 163, 172 Z 344 al.): id unum interest quod in urbem et aedes Paris abduxit Helenam, Briseidem Achilles in castra et tabernaculum. Nam quod vastata est Lyrnessus et caesus est Mynes, vivit vero Menelaus et Sparta etiam stat, id nihil ad rem. Si vero ab Achille mulier ipsi cara ad Peleum esset deducta, quidni hunc αἰδοῖον ϝεκυρὸν deinde habuisset? — Verborum ἄξειν et δαίσειν subiectum est *Achilles*. Dicitur autem δαινύμεναι γάμον *epulas nuptiales struere*, ut δ 3 h. Ven. 141, item δαινύμεναι τάφον *epulas funebres struere* Ψ 29 γ 309.

300. τεθνηότα] § 160.

302. πρόφασιν] *causam* (cf. vs. 262) sive *occasionem* praebuit mors Patrocli; sed dum lamentantur, suorum malorum simul — et praesertim — sunt recordatae. Cf. vs. 339 sq.

304. ἀρνέετο] § 191.

ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχοσ αἰνὸν ἱκάνει·
δύντα δ' ἐσ ἠέλιον μενέω καὶ τλήσομαι ἔμπησ."
ὣσ ῥειπὼν ἄλλουσ μὲν ἀπεσκέδασεν βασιλῆασ,
δοιὼ δ' Ἀτρεΐδα 'μενέτην καὶ δῖοσ Ὀδυσσεὺσ
Νέστωρ τ' Ἰδομενεύσ τε γέρων θ' ἱππηλάτα Φοίνιξ,
τέρποντεσ πυκινῶσ ἀκαχημένον· οὐδέ τι θυμῶι
'τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντοσ.
μνησάμενοσ δ' ἀδινῶσ ἀνενείκατο 'φώνησέν τε·
„ἦ ῥά νύ μοί ποτε καὶ σύ, δυσάμμορε, φίλταθ' ἑταίρων,
αὐτὸσ ἐνὶ κλισίηι λαερὸν παρὰ δεῖπνον ἔθηκασ
αἶψα καὶ ὀτραλέωσ, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα. 318 = Θ 516
νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένοσ, αὐτὰρ ἐμὸν κῆρ
ἄκμηνον πόσιοσ καὶ ἐδητύοσ, ἔνδον ἐόντων,
σῆι ποθῆι. οὐ μὲν γάρ κε κακώτερον ἄλλο πάθοιμι,
οὐδέ κεν εἰ τοῦ πατρὸσ ἀποφθιμένοιο πυθοίμην,
ὅσ ποθι νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει 323b cf. Π 11
χήτεϊ τοιοῦδ' υἷοσ, — ὃ δ' ἀλλοδαπῶι ἐνὶ δήμωι 324a cf. Ζ 463
εἵνεκα ῥιγεδανῆσ Ἑλένησ Τρωσὶν πολεμίζω!"

311. τ'(ε) L] om. Ω. || 316. λαερὸν § 20] λαρὸν. || 319. ἐμὸν] ἐμοὶ T. || 321. κε Madvig] τι. || 322. *οὐδέ κεν εἰ] οὐδ' εἴ κεν Ω, οὐδ' εἰ καὶ Duentzer. Eadem ratione emendandus Ar. Eccl. 390: οὐδ' εἰ μὰ Δία leg. *οὐδ' ἂν μὰ Δί' εἰ.

308. ἔμπησ] καὶ ἄσιτοσ ἐών.

310. 'μενέτην] cf. A 255.

312. τέρποντεσ] *ut exhilararent* (frustra) *operam dantes.*

313. πολέμου στόμα] cf. K 8.

314. ἀνενείκατο] *spiritum alte duxit.* Cf. Herodot. I 86, 116 III 22 et ἀμβολάδην *subsultim* Φ 364 h. Merc. 426, ἀμβλήδην *singultim* X 476. Minus simile est ἀναβάλλεσθαι *proludere* (cf. α 155). Posteri ἀναφέρεσθαι interpretati sunt *vocem alte tollere* (Apoll. Rhod. III 635 al.).

315 sq. Patrocli mors Achilli καὶ ϝοῖνον ἀπεχθαίρει καὶ ἐδωδήν, quibus non nisi illo comite frui hactenus fuit solitus; quapropter ipsa cena adspecta magis etiam eum commonefacit amici desideratissimi. Olim λαερὰ illa erant, iam sunt πικρά. Versus magno poeta dignissimi.

320. ἄκμηνον] cf. vs. 163.

— ἔνδον ἐόντων] τῶν ἔνδον παρόντων (cf. η 166 al.).

322. οὐδέ κεν εἰ] eadem brachylogia est Ar. Nub. 108 al.

323. ποθι] § 322.

— Φθίηφι] § 46.

324 sq. ὃ δὲ ... πολεμίζω] ὅ i. q. ἐνθάδε nunc significat; cf. Γ 391. De prima persona demonstrativo adiuncta cf. H 160.

325. ῥιγεδανῆσ] *horrificam* dicit mulierem quae tanti luctus ei causa extitit quamvis insons. Cf. Ω 775 et κρυόεσσα Z 344.

ὣς ἔφατο κλαίων, ἐπὶ δ' ἐστενάχοντο γέροντεσ, 338 cf. 301 X 429
μνησάμενοι τὰ ἕκαστοσ ἐνὶ μεγάροισιν ἔλειπον.
μυρομένουσ δ' ἄρα τούσ γε ἰδὼν ἐλέησε Κρονίων, 340 cf. P 441
αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα· 341 = Θ 351
„τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸσ ἑῆοσ·
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ' Ἀχιλλεύσ;
κεῖνοσ ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων 344b = Σ 3
ἧσται ὀδυρόμενοσ ἕταρον φίλον· οἳ δὲ δὴ ἄλλοι

---

326 ἦ τὸν δσ Σκύρωι μοι ἐνὶ τρέφεται φίλοσ υἱόσ,
εἴ ποθ' ἔτι ζώει γε Νεοπτόλεμοσ θεοειδήσ. 327a cf. δ 833 λ 458
πρὶν μὲν γάρ μοι θυμὸσ ἐνὶ στήθεσσ' ἐρεφόλπει 328b = υ 328 φ 96
οἷον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεοσ ἱπποβότοιο 329 sq.a cf. I 246
αὐτόθ' ἐνὶ Τροίηι, σὲ δέ τε Φθίηνδε νέεσθαι·
ὥσ κέν μοι τὸν παῖδα θοῇι ἐνὶ νηῒ μελαίνηι 331b cf. γ 61 κ 332
Σκυρόθεν ἐξαγάγοισ καί μοι δείξειασ ἕκαστα,
κτῆσιν ἐμὴν δμῳάσ τε καὶ ὑψερεφὲσ μέγα δῶμα. 333 = η 225 τ 526
ἤδη γὰρ Πηλῆά γ' ὀΐομαι ἦ κατὰ πάμπαν
τεθνάμεν' ἢ ποθι τυτθὸν ἔτι ζώοντ' ἀκαχῆσθαι
γήραΐ τε στυγερῶι καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται.

---

326—337. Damnavit Knight. Achillis filius in Iliade praeterea non nisi Ω 467 commemoratur, a quo carmine alienus est; nam poetae ipse Thetidis filius iuvenis est. Recentem manum produnt etiam quae de Peleo annis confecto dicuntur. Cf. B 134 sq. In vs. 326 accusativus non habet quo referatur. || 327. *Νεοπτόλεμοσ θεοειδήσ*] *Πυρῆσ ἐμόσ, δν κατέλειπον* quidam olim. — Versum Aristoph. — || 331. *ἐνὶ* A C] *ἐν* B, *σὺν Ω* (ut *A* 179 *γ* 61, 302 al., qualibus locis *eundi*, non *ducendi* verbum est additum; solus *ω* 427 quadamtenus conferri potest). || 332. *ἕκαστα*] neglecto *f*. || 333. *δμῳάσ*] sic Ar., *δμωιάσ* quidam olim (cf. *η* 225 *τ* 121). || 339. *ἔλειπον* Harl.] *-πε Ω*; cf. *λ* 234. || 342. *ἑῆοσ*] *ἑοῖο* Zen. (cf. *A* 393).

---

326—337. Cf. nota crit.

326. τὸν] accusativus, quasi antecederet: τὸν πατέρα ἀποφθίσθαι.

— et 332. De *Scyri* mentione cf. I 668.

327. ποθ'(ι)] § 322.

328. στήθεσσ' ἐρεφόλπει] -σσιν ἐώλπει Ω.

329. ἀπ' Ἄργεοσ] *Pelasgicum Argos* (B 681) cogitat Achilles. Cf. Z 456.

330. αὐτόθ(ι)] § 322.

331. κεν] § 326.

334 sq. κατὰ ... τεθνάμεν'(αι)] de morte non violenta †. Cf. λ 135.

335. ποθι] § 322.

336 sq. ἐμὴν ... λυγρὴν ἀγγελίην] *tristem de me nuntium*, i. e. *nuntium de mea morte*. Cf. ἀγγελίη πατρὸσ (στρατοῦ) ἐρχομένοιο α 408 β 30, 42 (et lectio Zenodoti Γ 206). Nostro loco locutio ἐμὴ λυγρὴ ἀγγελίη illustratur verbis: ὅτ' ἀποφθιμένοιο πύθηται = λυγρὴ ἀγγελίη ἐμεῖο ἀποφθιμένοιο. — Etiam vox κλέοσ sic construitur; cf. Λ 227.

343. 'μέμβλετ'(ο)] § 270. Imperfecti ea nunc est vis quae Π 33 al.; cf. Γ 183.

344. κεῖνοσ ὅ γε] cf. Γ 391.

— νεῶν ὀρθοκραιράων] cf. Σ 3.

οἴχονται κατὰ δεῖπνον, ὃ δ' ἄκμηνοσ καὶ ἄπαστοσ. [353 sq.
ἀλλ' ἴθι ϝοι νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν 347 sq. cf. 38 sq., 347 cf. h. Ap. 124
στάξον ἐνὶ στήθεσσ', ἵνα μή μιν λιμὸσ ἵκηται."
ὣσ ϝειπὼν ὤτρυνε πάροσ μεμαυῖαν Ἀθήνην· 349 = Δ 73
ἣ δ' ἅρπηι ϝεϝικυῖα τανυπτέρυγι λιγυφώνωι
οὐρανοῦ ἓκ κατέπαλτο δι' αἰθέροσ, — αὐτὰρ Ἀχαιοὶ
αὐτίκ' ἐθωρήσσοντο κατὰ στρατόν, — ἣ δ' Ἀχιλῆϊ
νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν 353 sq. cf. 347 sq.
'στάξ', ἵνα μή μιν λιμὸσ ἀτερπὴσ γούναθ' ἵκοιτο,
αὐτὴ δὲ πρὸσ πατρὸσ ἐρισθενέοσ πυκινὸν δῶ
ὤιχετο.
τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
ὡσ δ' ὅτε ταρφεῖαι νιφάδεσ Διὸσ ἐκποτάονται,
ψυχραί, ὑπὸ ῥιπῆσ αἰθρηγενέοσ Βορέαο, 358 cf. O 171
ὣσ τότε ταρφεῖαι κόρυθεσ λαμπρὸν γανάουσαι
νηῶν ἓκ 'φορέοντο καὶ ἀσπίδεσ ὀμφαλόεσσαι
θώρηκέσ τε κραταιγύαλοι καὶ μείλινα δοῦρα.
αἴγλη δ' οὐρανὸν ἷκε, 'γέλασσε δὲ πᾶσα περὶ χθὼν 362ᵇ cf. h. Ap. 118 Cer. 14ᵃ

346. κατὰ Cobet] μετὰ. Cf. Λ 424. || 351. κατέπαλτο] κατέαλτο? Cf. Θ 85 Λ 298. || 354. ἵκοιτο] ἵκηται Ω (ut vs. 348). Cf. N 711. || 355. αὐτὴ] *αὖτισ? — δὲ] δ' αὖ l. a. in A. || 357. ἐκποτάονται § 191] -τέονται. || 361. Ante vs. 360 collocatum habet L. — In recc. nonnullis additur versus: ἐκ νηῶν ἐχέοντο, βοὴ δ' ἄσβεστοσ ὀρώρει (= Π 267).

346. ἄκμηνοσ καὶ ἄπαστοσ] cf. vs. 163 et X 203.

347 sq. et 353 sq. Ambrosia et nectar sunt cibus et potus immortalium; cf. T 38 sq. Ψ 170 κ 519 al.; sed Minerva quid quomodo facere nunc iubeatur, dein iussa faciat, non rogasse praestat. Melius certe supra (vs. 38 sq.) intellegebamus ambrosiam et nectar per nares corporis mortui infusa. Sed et μένοσ ἐνστάζεσθαι dicitur β 271, translata igitur verbi vi.

350. Cf. Γ 151 sq. Δ 75—79; ἅρπην(†) *alitis* alicuius nomen esse apparet. Ut avis rapax in praedam se deiciens, sic dea in terram ruit.

357—362. *Nivis floccis* (cf. N 754) poeta assimulat *cristas candidas* galearum militum e castris turba creberrima proruentium; dein galeis cetera arma per zeugma quoddam (cf. Δ 282) adiungens horum *splendorem* laudat.

358. ὑπὸ] § 315.

— αἰθρηγενέοσ] cf. O 171.

359. γανάουσαι] § 191.

360. 'φορέοντο] *afferebantur* a militibus armatis, e tabernaculis in pugnam prodeuntibus.

361. θώρηκέσ τε κραταιγύαλοι] cf. E 99. Adi. †, cf. § 12 et κραταίπεδοσ ψ 46.

362. 'γέλασσε] *ridebat* = *laeta refulgebat* (*renidescebat* Lucret. II 328); cf. Hor. Carm. IV 11, 6 et II 8, 2 et *splendendi* verbum γανάειν (N 265

χαλκοῦ ὑπ' ἀστεροπῆσ· ὑπὸ δὲ κτύποσ ὤρνυτο ποσσὶ 363ª cf. Δ 83
ἀνδρῶν. ἐν δὲ μέσοισι 'κορύσσετο δῖοσ Ἀχιλλεύσ. [164
τοῦ καὶ ὀδόντων μὲν καναχὴ 'πέλετ' ἠδὲ ϝοι ὄσσε 365ª cf. Hes. Scut.
'λαμπέσθην ὡσ εἴ τε πυρὸσ σέλασ, ἐν δέ ϝοι ἦτορ 365ᵇ sq. cf. 16 sq.
'δῦν' ἄχοσ ἄτλητον· ὃ δ' ἄρα Τρωσὶν μενεαίνων
'δύσετο δῶρα θεοῦ, τά ϝοι Ἥφαιστοσ 'κάμε τεύχων.
κνημῖδασ μὲν πρῶτα περὶ κνήμησιν ἔθηκε 369 sq. = Γ 330
καλάσ, ἀργυρέοισιν ἐπισφυρίοισ' ἀραρυίασ. sq.
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε. 371 = Γ 332
ἀμφὶ δ' ἄρ' ὤμοισιν 'βάλετο ξίφοσ ἀργυρόηλον 372 sq. = Γ 334
χάλκεον, αὐτὰρ ἔπειτα σάκοσ μέγα τε στιβαρόν τε sq.
εἵλετο, τοῦ δ' ἀπάνευθε σέλασ 'γένετ' ἠΰτε μήνησ.
ὡσ δ' ὅτε κ' ἐκ πόντοιο σέλασ ναύτῃσι φανήῃι
καιομένοιο πυρόσ, — τὸ δὲ καίεται ὑψόθ' ὄρεσφι
σταθμῶι ἐν οἰοπόλοι, — τοὺσ δ' οὐκ ἐθέλοντασ ἄελλαι
πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσι,
ὣσ ἀπ' Ἀχιλλῆοσ σάκεοσ σέλασ αἰθέρ' ἵκανε 379 cf. Σ 214
καλοῦ δαιδαλέου. περὶ δὲ τρυφάλειαν ἀείρασ
κράτ' ἔθετο βριαρήν· ἣ δ' ἀστὴρ ὣσ ἀπέλαμπε, 381ᵇ cf. Z 295ª

---

363. ὑπ' ἀστεροπῆσ D] ὑπὸ στερ. Ω. Cf. K 154. || 365—368. Ar. —; quem postea obelos delevisse perhibuit Dionysius Sidonius. Id referens Didymus addit in libro Ammonii „de Aristarchi editione altera" nihil legi de sententia Aristarchi ita mutata. Hinc Lehrs effecit Aristarchum emissa demum editione altera sensisse et in scholis professum esse hos versus immerito a se esse damnatos; Römer Dionysio fidem denegat. || 365. *'πέλετ' ἠδέ] πέλε τὼ δέ. Cf. § 275. || 371. Cf. Π 133 sq. || 379. σάκεοσ] κεφαλῆσ Syr. (ut Σ 214).

---

al.) stirpi *gaudendi* cognatum. Similia sunt: h. Ap. 118 'μείδησε δὲ γαῖα, Theogn. 9 ἐγέλασσε δὲ γαῖα, Aesch. Prom. 89 sq. γέλασμα κυμάτων de splendore *fluctuum* sub solis radiis micantium dictum, et apud Homerum congruit θάλασσα γηθοσύνη N 29. Cf. etiam προσγελᾶν de *arboribus* dictum Ar. Pac. 600. Et alia similia multa.

365 sq. Cf. O 607 sq.

374—380. Clipeus rotundus (cf. Σ 478) et late resplendens assimulatur *lunae plenae*, item Ψ 455 macula alba in fronte equi fulvi conspicua. Praeterea cf. X 26—32. Dein poeta effectum huius splendoris talem fuisse ait qualis est *ignis littoralis* a nautis cum tempestate colluctantibus adspecti. Ut his, sic iam Achivis redierunt spes et sui fiducia. — Cf. imago cognata Σ 207—214.

375. ὅτε κ'(ε)] § 326.

— ἐκ πόντοιο] *dum navigant.*

— φανήῃι] § 122.

377. σταθμῶι ἐν οἰοπόλωι] cf. N 473. Ignem a nautarum amicis vel a littoris custodibus — si qui ea aetate fuerunt — loco late conspicuo accensum poeta dicit.

381. κράτ' (κρατὶ)] § 13.

ἵππουρισ τρυφάλεια, περισσείοντο δ' ἔθειραι — 382b cf. X 315
χρύσεαι, ἃσ Ἥφαιστοσ ἵει λόφον ἀμφὶ θαμείασ. — 383 = X 316
'πειρήθη δ' ἑϝέ' αὐτοῦ ἐν ἔντεσι δῖοσ Ἀχιλλεύσ,
εἴ ϝοι ἐφαρμόσσειε καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
τῶι δ' ἠΰτε πτέρ' ἐγίγνετ', ἄειρε δὲ ποιμένα λαῶν.
ἐκ δ' ἄρα σύριγγοσ πατρώϊον ἐσπάσατ' ἔγχοσ,
βριθύ, μέγα, στιβαρόν· τὸ μὲν οὐ 'δύνατ' ἄλλοσ Ἀχαιῶν — 388-391 = Π 141 sqq.
παλλέμεν', ἀλλά μιν οἶοσ ἐπίστατο πῆλαι Ἀχιλλεύσ,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλωι 'πόρε Χίρων
Πηλίου ἐκ κορυφῆσ, φόνον ἔμμεναι ἡρώεσσι.
ἵππουσ δ' Αὐτομέδων τε καὶ Ἄλκιμοσ ἀμφιέποντεσ — 392a cf. Π 145
'ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν' ἕσαν, ἐν δὲ χαλινοὺσ
γαμφηλῆισ' ἔβαλον, κατὰ δ' ἡνία 'τεῖναν ὀπίσσω — 394b cf. Γ 261
κολλητὸν ποτὶ δίφρον. ὃ δὲ μάστιγα φαεινὴν
χειρὶ λαβὼν ἀραρυῖαν ἐφ' ἵπποιιν ἀνόρουσε,
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενοσ 'βῆ Ἀχιλλεύσ,
τεύχεσι παμφαίνων ὥσ τ' ἠλέκτωρ Ὑπερίων. — 398a = Z 513
σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸσ ἑϝοῖο· — 398b cf. h. Ap. 369; 399b = Ψ 402

---

382. ἔθειραι] neglecto ϝ, qui sonus suam vim servavit loco simili X 315 (item Π 795 h. Ven. 229 h. VI 4). Heyne del. vs. 382 sq. || 384. δ' ἑϝέ' (δὲ ϝέ') Heyne] δ' ἕο Ar. Ω, δ' ἑοῦ Zen. (cf. B 239), δὲ οἱ Ptolemaeus Ascal. T G. Cf. § 92 sq. || 385. γυῖα] δῶρα G H L. || 386. ἠΰτε G H] ηὖτε A, εὖτε Ar. C D (cf. Γ 10), αὖτε libri „αἱ ἀπὸ τῶν πόλεων" T, item postmodo Ar. teste schol. A (mente supplens ὡσ, ut Ξ 499), ὥσ τε Aristoph. || 387. ἐσπάσατ' ἔγχοσ] ἔγχοσ [ϝ]ἔρυσσε Apoll. lex. || 388—391. Quidam — || 390. (')πόρε Syr. L] τάμε Ω, Ar. utrumque; cf. Π 143. || 391. ἐκ κορυφῆο] cf. Π 144. || 392. ἀμφιέποντεσ] -ντε C. || 393. (')ζεύγνυον] sic Ar., -σαν G. Cf. Ω 783 et § 145. || 398. παμφαίνων] λαμπόμενοσ D T.

---

385. ἐφαρμόσσειε] cf. Γ 333.

386. Non *onerant* Achillem arma ἡφαιστότευκτα, sed vel *sublevant*, proprio nimirum aliquo motu divinitus praedita. Cf. Σ 376 sq. et 481 sq.; non enim mera hyperbola poeta nunc utitur.

— ἠΰτε] § 17.

387. σύριγγοσ] *fistula* dicitur *involucrum*, *cuspidem hastae*, quae per multos dies quievit, a robigine protegens. Quae vocis σύριγξ non nisi hoc loco est vis. Cf. *clipeorum* σάγμα (Ar. Ach. 574 al., cuius apud Homerum non fit mentio) et *arcuum* γωρυτόσ (φ 54 Δ 105). Alius fuit usus δουροδόκησ sive *hastarum receptaculi*, quod commemoratur α 128.

388—391. Cf. Π 143 sq.

389. παλλέμεν'(αι)] § 125.

392. Ἄλκιμοσ] nominis *Alcimedontis* (Π 197 P 467—501) haec forma brevior redit Ω 474, 574.

393. λέπαδν'(α)] cf. E 730.

398. ἠλέκτωρ] cf. Z 513.

399. πατρὸσ ἑϝοῖο] cf. Π 148—151.

„Ξάνθε τε καὶ Βαλίος, τηλεκλυτὰ τέκνα Ποδάργης,
ἄλλως δὴ φράζεσθε σαωσέμεν' ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί κ' ἄομεν πολέμοιο,
μηδ' ὡς Πάτροκλον 'λίπετ' αὐτόθι τεθνηῶτα."
τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν προσέφη πόδας αἰόλος ἵππος
Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι, — πᾶσα δὲ χαίτη — 405b sq. cf. P 439 sq.
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν οὖδας ἵκανε, —
αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
„καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ.
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον· οὐδέ τοι ἡμεῖς
αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ μοῖρα κραταιή.
οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε
Τρῶες ἀπ' ὤμοιιν Πατρόκλου τεύχε' ἔλοντο·
ἀλλὰ θεῶν ὅχ' ἄριστος, ὃν ἠΰκομος 'τέκε Λητώ, — 413b = λ 318 cf. A 36
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκε. — 414 = Σ 456
νῶϊ δὲ καί κεν ἅμα πνοιῇι Ζεφύροιο θέοιμεν,

400. Βαλίος § 51] Βαλίε. || 402. Δαναῶν] λαῶν l. a. in A. — κ' ἄομεν § 192[1]] χ' ἐῶμεν. Cf. N 315. || 407 et 416 sq. Quidam — || 413. ὅχ' ἄριστος] cf. Δ 288.

400. τέκνα Ποδάργης] cf. Π 150 sq.

401—403. ἄλλως δὴ . . . σαωσέμεν'(αι) . . . μηδ' ὡς] *aliter iam servare . . . neque ut . . .*; ἄλλως μηδ' ὡς id quod *melius quam* igitur nunc valet (cf. Λ 391). *Aoristi mixti* forma est σαωσέμεναι, ut περησέμεναι Μ 200, 218, ποιησέμεναι φ 399. De eliso -εμεν'(αι) cf. § 125, de voce ἡνιοχεύς ad Achillem nunc referenda Λ 521 sq.

402. ἄομεν] nos Achivi. Cf. Z 414.

403. αὐτόθι] § 322.

— τεθνηῶτα] § 160.

404—417. Miramur equum locutum, cui simile neque Ilias habet quicquam neque Odyssea; nam Penelopes *somnium* τ 545 hinc alienum. *Iuno* autem cur vocem equo nunc praebeat non apparet. Quod quoniam sine iusta causa et veluti de nihilo a poeta fingi vix potuit, videtur ex antiquiore aliqua fabula esse desumtum (cf. vs. 418). Etiam *Arion* Adrasti equus divinus (cf. Ψ 346 sq.) apud posteros certe vocalis fuit (cf. Propert. III 34, 37 Stat. Theb. VI 301 sqq.), Achillis autem hunc equum *deae prolem* immortalem poeta noster dixit. Clamat igitur ratio in carminibus Iliade antiquioribus partes aliquanto maiores divinis his equis tributas fuisse quam tribuuntur in ipsa Iliade, in qua vix ulla est eorum utilitas.

404. πόδας αἰόλος] cf. Θ 265.

405. Cf. P 437—440.

— καρήατι] § 82.

406. ζεύγλης] cf. P 440.

407. αὐδήεντα] cf. ε 334.

409. ἦμες] § 92.

410. θεὸς . . . καὶ μοῖρα] cf. Π 850.

411. νωχελίῃ] †; vocem, quae aliunde ignota est, id fere quod βραδυτῆτα (item †) vel νωθρότητα valere contextus docet.

415. ἅμα πνοιῇι Ζεφύροιο] *patris flabra aequantes*; cf. Π 149 sq.

ἥν περ ἐλαφροτάτην φασ' ἔμμεναι. ἀλλὰ σοὶ αὐτῷ
μόρσιμόν ἐστι θεῶι τε καὶ ἀνέρι ϝίφι δαμῆναι."
ὣς ἄρα φωνήσαντος Ἐρινύες ἔσχεθον αὐδήν.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 419 = Π 48
„Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
εὖ νυ τὸ ϝοῖδα καὶ αὐτός, ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι,
νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
οὐ λήξω πρὶν Τρῶας ἄδην ἐλάσαι πολέμοιο." 423 cf. N 315
ἦ ῥα, καὶ ἐν πρώτοισ' ἰάχων ἔχε μώνυχας ἵππους.

## θεομαχία.

Υ ὣς οἳ μὲν παρὰ νηυσὶ κορωνίσι Θωρήσσοντο
ἀμφὶ σέ, Πηλέος υἱέ, μάχης ἀκόρητον, Ἀχαιοί,
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωισμῶι πεδίοιο. 3 = Δ 56
Ζεὺς δὲ Θέμιστ' ἐκέλευσε θεοὺς ἀγορήνδε καλέσσαι
κρατὸς ἄπ' Οὐλύμποιο πολύπτυχος· ἣ δ' ἄρα πάντηι
φοιτήσας' ἐκέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
οὔτε τις οὖν ποταμῶν ἀπέην, νόσφ' Ὠκεανοῖο,

421. τὸ Brandreth] τοι, Hoffmann εὖ νυ καὶ αὐτὸς ϝοῖδα coll. Θ 32. || 423. ἐλάσαι] ἆσαι Cobet. Cf. N 315. || 424. ἰάχων] neglecto ϝ, Bentley ἐν πρώτοισιν ἐὼν (coll. Δ 341 M 315). || 2. ἀκόρητον] -τοι H, utrumque Nicanor (et Ar.?). || 3. In C manus recens addidit versum: Ἕκτορι Θωρήσσοντο μετὰ πρώτοισιν ἰόντι. || 5. πολύπτυχος § 83[10]] -πτύχου.

416. ἥν περ... φασ'(ι)...] *quam tamen omnes vocant...*; cf. vs. 95 sq.

417. θεῶι τε καὶ ἀνέρι] *Paridi* ab *Apolline* instigato et adiuto; cf. X 359 sq. — Solus Apollo commemoratur Φ 277 sq., qui locus cf.

418. Ἐρινύες] legum naturae vindices (ἐπίσκοποι τῶν παρὰ φύσιν); cf. I 454. Sed in prisca fabula, unde haec ducta sunt (cf. vs. 404—417), aliud fortasse Erinyis cum equo hoc vocali fuit vinculum; nam in sacro Thelpusiorum mytho *Arioni* equo pater Neptunus et mater *Erinys* sive *Ceres* (terrae dea) tribuebantur teste schol. Ψ 346. Cf. Pausan. VIII 25 et 42 (ubi Ceres ἱππολεχὴς Δηώ vocatur in oraculo Phigalensibus dato), Apollodor. III 6 § 8, nec non Υ 224.

420. σε χρή] cf. I 75 sq.

424. Cf. Λ 521 sq.

3. ἐπὶ θρωισμῶι πεδίοιο] cf. K 160.

4. Etiam β 69 Themis sive *Mos* dicitur *concilia* cum deorum tum mortalium cogere (καθίζειν).

5. κρατὸς ἀπ' Οὐλύμποιο] mente suppl.: *profectam*.

6. νέεσθαι] *redire* (in locum ubi et ante fuerunt)? Cf. Φ 48.

7—9. *Fluvios* et *Nymphas* in Iovis Olympii aedes convocatos est quod miretur quispiam. Originem autem huius episodii, quod neque cum argumento Iliadis neque cum Iovis

οὔτ' ἄρα Νυμφάων, αἵ τ' ἄλσεα καλὰ νέμονται 8 cf. ζ 123 h. Ven. 97
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα. 9 = ζ 124 h. Ven. 99
ἐλθόντες δ' εἰς δῶμα Διὸς νεφεληγερέταο
ξεστῇσι' αἰθούσῃσιν ἐνίζανον, ἃς Διὶ πατρὶ 11ª cf. Z 243
Ἥφαιστος ποίησε ϝιδυίῃσι πραπίδεσσι 12 = A 608
ὥς οἱ μὲν Διὸς ἔνδον ἀγηγέρατ', οὐδ' ἐνοσίχθων
ἐννεκούστησε θεᾶς, ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς,
ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν· 15ᵇ = ν 127
„τίπτ' αὖτ', ἀργικέραυνε, θεοὺς ἀγορήνδ' ἐκάλεσσας;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηε."
τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„ἔγνωσ, ἐνοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν,

11. ἐνίζανον Ar. A C] ἐφίζανον Zen. D T (quasi *sedilia* essent αἴθουσαι), alii olim ἐνίδρανον (quod ne Graecum quidem). || 12. ποίησε ϝιδυίησι] sic (-σεν ἰδ.) Ar., ποίησ' εἰδυίησι Syr. || 14. αὐτούς] ἄλλους Axt (cf. § 98).

consiliis satis congruit, indicare videtur id quod poeta mox narrat (vs. 23—30), deos iuberi sive Troianis sive Achivis opem ferre, prouti singulis lubitum fuerit; nam si Achilles dis absentibus Troianos invadat, fore ut statim superior factus urbem fato invito expugnet (cf. Π 709). Poeta sic mutavit fabulam vetustam, in qua deus non *Olympius* sed *Idaeus*... non *cuncta* numina in bellum mittebat, sed *suos fluvios* et *suas Nymphas* iubebat Troianis adversus Achillem et deos peregrinos opitulari (cf. Μ 19—26), quemadmodum mox *Scamander* revera iis auxilium tulit; cf. Φ 212 sqq., 385—520. Numen *Idaeum* Troianis favens et *Olympium* iis infestum poeta Iliadis nunc, ut semper, permiscuit. Prisci autem aevi vestigium fortasse servat versus 18, ubi quod legitur ἄγχιστα, id multo foret aptius si in *Ida* monte hoc colloquium haberetur, quam nunc est, cum in Olympi vertice deliberantibus pugna Troianorum cum Achivis proxima esse dicitur. Nam *proxime instat* verti illud ἄγχιστα δέδηε et ad *tempus* referri non sinit lingua.

7. ἄπεεν] § 302.

— νόσφ'(ι)] § 13.

— Ὠκεανοῖο] hic enim non in *monte* aliquo habet originem, sive — ut cum ipso poeta loquamur — non est διιπετής sive διοτρεφής (cf. Ξ 434 Φ 223), sed terrae orbem ambit ἀψόρροος (Σ 399).

13. Διὸς ἔνδον] i. q. ἐν Διός. Item Ψ 200 Ζεφύροιο ἔνδον = ἐν Ζεφύρου. Sic alibi εἴσω = εἰς, ἔξω vel ἔκτοσε = ἐκ (cf. A 71 sq.).

14. Neptunum maris incolam poeta cogitat, ut semper. — Absunt *Ceres* terrae dea et *Dis* rex inferorum (cf. vs. 61 sq.). *Dionysus* Homero inter caelites non fuit cognitus; *Dionae* vel *Thetidis* nunc non fit mentio.

15. ἐξείρετο] § 264.

18. ἄγχιστα] cf. vs. 7—9.

20. ἐνοσίγαιε] § 21.

ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.
ἀλλ' ἦ τοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ' ὁράων φρένα τέρψομαι· οἳ δὲ δὴ ἄλλοι
ἔρχεσθ', ὅφρα χ' ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς,
ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπηι νόος ἐστὶ ϝεκάστου.
εἰ γὰρ Ἀχιλλεὺς οἷος ἐπὶ Τρώεσσι μάχηται,
οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλεΐωνα.
καὶ δέ τέ μιν καὶ πρόσθεν ὑπετρομέεσκον ὀρῶντες·
νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνᾶς,
δέδϝια μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξηι."
ὣς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαστον ἔγειρε. 31b cf. B 797
βὰν δ' ἴμεναι πόλεμόνδε θεοί, δίχα θυμὸν ἔχοντες·
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη
ἠδὲ Ποσειδάων γαιήοχος ἠδ' ἐριούνης 34 cf. Θ 322

---

26. *οἷος ἐπὶ*] *οἵοισι* vHerwerden. — *μάχηται* C[1]] *μαχεῖται* Ω. Cf. § 147. An **εἰ γὰρ ἐπὶ Τρώεσσι μαχέσσεται οἷος Ἀχιλλεύς*? Aptissimum hic futurum, animi commoti indicium (ut *A* 61 al.). || 28. *τε*] *τι* Ar. || 30. *δέδϝια* § 168] *δείδω*. — *ὑπὲρ μόρον*] una voce Aristoph. Ar. alii proferebant propter *ὑπέρμορα B* 155, item *Φ* 517 *α* 34 *ε* 436. Disiunxit Heliodorus. Cf. *ὑπὲρ μοῖραν* (*Υ* 336) et *ὑπὲρ αἶσαν* (*Γ* 59 al.). — Teste scholio T olim quidam addebant: *οὐ μέν τοι μοῖρ' ἐστὶν ἔτι ζωοῦ Ἀχιλῆος | Ἰλίου ἐκπέρσαι ἐῢ ναιόμενον πτολίεθρον· | πέρσει* (*ἔπερσε* cod., corr. Spitzner) *δουράτεος ἵππος ἣ μῆτις Ἐπειοῦ*. Equi lignei in Iliade mentio alibi non fit (cf. comment. ad *Ψ* 665 et 670 sq.).

---

23—30. Ergone Troianis satis utile futurum est *Apollinis* vel *Martis* auxilium, si simul in eos immittantur *Iuno Minerva Neptunus* inimici potentissimi et inexorabiles? Infelicia haec, et aliam causam profert Iuno vs. 125—128; cf. etiam vs. 122—124 et 136—143. Itaque libenter non ipsi poetae Iliadis hoc episodium tribuerit quispiam. Non caret sane splendore poetico praelium caelitum de sorte urbis devotae inter se decertantium dum in terra dimicant mortales, et simile quid habet Verg. Aen. II 610—618; sed in hunc locum haec omnia non satis apte quadrant. Cf. vs. 7—9 et Φ 389 sq.

23. ὁράων] § 191.

— φρένα τέρψομαι] *laetabor, cum videam vos iis opem ferre*. Cf. Φ 389 sq.

24. ὄφρα χ'(κε)] § 326.

26. οἷος] solus sibi relictus, nullis numinibus sive opitulantibus sive adversantibus.

— ἐπὶ Τρώεσσι] cf. Ρ 98.

29 ὅτε δή] tempori praesenti ὅτε addito δή praemittitur etiam β 314 ρ 461 σ 217 τ 532, et non addito δή ε 357 μ 22 ν 129.

— καὶ ... ἑταίρου] *etiam propter sodalem* (*caesum*). Genitivus ita est usurpatus ut α 69.

— θυμὸν] acc. ut Π 616.

30. *Vereor* quod ait Iuppiter, id valet quod *cavendum esse sentio*. De locutione ὑπὲρ μόρον cf. Ρ 327 et Π 707—709.

*Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμνισι κέκασται,*
*Ἥφαιστος δ' ἅμα τοῖσι 'κίε σθένεϊ βλεμεαίνων* 36ᵇ = Ω 337
*χωλεύων, ὑπὸ δὲ κνῆμαι 'ρώοντο ϝαραιαί·* 37 = Σ 411
*εἰσὶ δὲ Τρῶας Ἄρηος κορυθαιόλος, αὐτὰρ ἅμ' αὐτῶι*
*Φοῖβος ἀκερσεκόμης ἠδ' Ἄρτεμις ἰοχέαιρα*
*Λητώ τε Ξάνθος τε φιλομμειδής τ' Ἀφροδίτη.*
*ἧος μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,*
*τῆος Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον, οὕνεκ' Ἀχιλλεὺς* 42ᵇ sq. = Σ 247 sq
*ἐξεφάνη, δϝηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς·*
*Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ϝέκαστον,* 44 = Η 215
*δεδϝιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλεΐωνα*
*τεύχεσι λαμπόμενον, βροτολοιγῶι ϝῖσον Ἄρηϊ.* 46ᵇ = Μ 130
*αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἦλυθον ἀνδρῶν,*
*ὦρτο δ' Ἔρις κρατερὴ λαοσσόος, αὖε δ' Ἀθήνη,*
*στᾶσ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός,* 49ᵇ = Ι 67
*ἄλλοτε μακρὸν ἀΰτε' ἐπ' ἀκτάων ἐριδούπων.*
*αὖε δ' Ἄρης ἑτέρωθεν ἐρεμνῆι λαίλαπι ϝῖσος,* 51ᵇ cf. Μ 375
*ὀξὺ κατ' ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,*
*ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνηι.*

---

35. ἐπὶ A Syr.] ἐνὶ Ω (cf. Α 55). — κέκασται Ar. H] -το Ω (cf. Ε 739). ‖ 40. φιλομμειδὴς] Διὸς Θυγάτηρ l. a. in T (cf. Φ 416). ‖ 42. τῆος] τόφρα δ' l. a. in A. ‖ 50. *ἄλλοτε μακρὸν ἀΰτε' ἐπ' ἀκτάων ἐριδούπων] ἄλλοτ', ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀΰτει. Verbis transpositis in suum locum cessit ἐριδούπων, quae adiectivi ἐριγό- forma brevior exitui hexametri est propria, vitata est pedis 4ⁱ conformatio durior (cf. § 3), feminina e masculina facta est caesura, verbi formam contrahi non est necesse (cf. § 191). ‖ 51. αὖε] ὦρτο Strab. 597. ‖ 53. Θέων] sic Herodicus, Θεῶν Ar., pro loci nomine habens Θεῶν Καλλικολώνην. Cf. vs. 151. Similis est controversia Ω 74.

---

35. ἐπὶ . . . κέκασται] haec iungenda; cf. proprium nomen Ἐπικάστη.

— πευκαλίμνισι] cf. Θ 366.

36 sq. Robustus quidem Vulcanus, sed claudus et cruribus vacillantibus; cf. Α 599 sq. Σ 411 et de locutione σθένεϊ βλεμεαίνων Θ 337.

38. κορυθαιόλος] ceteris locis *Hectoris* est epitheton (Β 816 al.; cf. Ζ 469 sq.). Sed cf. Belli deus κορυθάϊξ dictus Χ 132.

39. ἀκερσεκόμης] adi. non nisi h. Ap. 134 redit.

41 sq. ἧος . . . τῆος] § 323.

42. ἐκύδανον] non nisi h. l. intransitivum est verbum κυδα(ί)νειν. Cf Ε 448 al. et Ξ 73.

49 sq. Inter vallum et fossam consistit Minerva (cf. Ι 67 et 87). De participio et verbo finito sibi oppositis cf. Γ 80.

51. ἐρεμνῆι λαίλαπι ϝῖσος] cf. Λ 306 et Ε 865.

53. Σιμόεντι] cf. Ε 773 sq.

— Καλλικολώνηι] etiam vs. 151 hic collium tractus commemoratur, cui

ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύνοντες
σύμβαλον, ἐν δ' αὐτοῖσ' ἔριδ' ἐρρήγνυντο βαρεῖαν.
δεινὸν δ' ἐβρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξε
γαῖαν ἀπειρεσίην ὀρέων τ' αἰπειναὶ κάρηνα.
πάντες δ' ἐσσείοντο πόδες πολυπίδακος Ἴδης
καὶ κορυφαί, Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν.
ἔδδεισεν δ' ὑπένερθε ἄναξ ἐνέρων Ἀϊδωνεύς,
δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερθε
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
δοικία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη
σμερδαλέ' ἠερόεντα, τά τε στυγέουσι θεοί περ.
τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων. 66 cf. Hes. Theog. 705
ἦ τοι μὲν γὰρ ἔναντα Ποσειδάωνι ἄνακτι
ἵστατ' Ἀπόλλων Φοῖβος ἔχων ἰὰ πτερόεντα,
ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
Ἥρη δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ 70ᵇ cf. Π 183
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη ἑκάτοιο·
Λητοΐ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς,
ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης, 73ᵇ = Φ 329
ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.

54. ὀτρύνοντες] -αντες A¹. || 57. ἔνερθε] νέρθε Ar. Syr. (cf. O 225). || 59. πολυπίδακος] sic Ar., -δάκου D. Cf. Ξ 157. || 62. ἆλτο] ὦρτο Mass. — ἴαχε] neglecto ϝ. || 65. ἠερόεντα Doederlein] εὐρώεντα. Integrum extat adiectivum O 191 et in l. a. ψ 322, corrupta lectio redit κ 512 ψ 322 ω 10 h. Cer. 482 Hes. Oper. 153 Theog. 731, 739, 810, quam Sophocles secutus esse videtur Ai. 1167 (et 1190?). || 67. -ωνι ϝάνακτι Bentley] -ωνος ἄνακτος. Cf. M 41. || 68. ἰὰ πτερόεντα] aut ἰοὺς -ντας (Barnes) aut βέλεα -ντα (Bentley) poeta videtur dedisse.

proximum fuisse *Aesyetae* sive *Ili sepulcrum* (cf. K 415 et B 792—794) docet contextus; et *ipsum nomen* in fabulis priscis clarum fuisse (ut *quercus* et *caprifici* arborum sacrarum, cf. E 693 Z 433) noster locus testatur.

55. σύμβαλον] non intransitivum (ut Π 565), sed obiecto (τούς) ornatum, ut Γ 70.

— ἔριδ' ἐρρήγνυντο] insolita locutio: *effecerunt ut erumperet contentio.*

61—65. De sede mortuorum cf. O 188; cum vs. 65 cf. I 312.

68. ἰὰ] non nisi h. l. pro ἰούς. Cf. nota crit.

69. Ἐνυαλίοιο] cf. P 210. Belli deo Minerva adversatur, ut solet; cf. Δ 439.

70. χρυσηλάκατος] cf. Π 183.

72. Λητοΐ] § 77.

— σῶκος] †, *validus, potens*? Nomen proprium Σῶκος est Λ 427 sqq. Tragicis certe verbum σωκεῖν valet *vigere*.

— Ἑρμῆς] § 58.

73 sq. En argumentum τῆς παραποταμίου μάχης: *igni opposita aqua.* — De fluvii nomine duplici cf. A 403 sq.

## Αἰνείου καὶ Ἀχιλλέως μονομαχία.

ὣς οἳ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺς
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δύμεν᾽ ὁμίλου
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά ϝε θυμὸς ἄνωγε
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν. 78 = *E* 289
Αἰνείαν δ᾽ ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων
ἀντία Πηλεΐωνος, ἐνῆκε δέ οἱ μένος ἠΰ·
υἱεῖ δὲ Πριάμοιο Λυκάονι ϝείσατο φωνήν.
τῶι μιν ϝεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων· 82 = *Π* 720
„Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί, 83ᵃ = *E* 180
ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο ϝοινοποτάζων, 83ᵇ = *N* 219
Πηλεΐδα᾽ Ἀχιλῆος ἐναντίβιον πολεμίξειν;“ 85ᵇ = *Φ* 477 cf. *K* 451 *O* 179
τὸν δ᾽ αὖτ᾽ Αἰνείας ἀπαμειβόμενος προσέϝειπε·
„Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις
ἀντία Πηλεΐωνος ὑπερθύμοιο μάχεσθαι; 88 = 333
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ᾽ Ἀχιλῆος
στήσομαι, ἀλλ᾽ ἤδη με καὶ ἄλλοτε δούρ᾽ ἐφόβησε
ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἠμετέρηισι,
ἔπερσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς

---

77. (ϝ)ε Ar. BC] γε Ω. Insolito loco collocatum est pronomen (cf. § 329). — ἄνωγε § 225] ἀνώγει. || 82. ϝεισάμενος § 212³] ἐεισάμενος. || 84. ὑπίσχεο] sic Ar., ὑπίσχεο Syr. (cf. Ψ 195). || 85. πολεμίξειν A D] -ζειν Ω. Cf. *O* 179 et *B* 436. || 89. νῦν] δὴ D G.

---

75. Quae hic interrumpitur narratio, continuatur vs. 112—155 et Φ 385 sqq., postquam relata sunt Achillis cum Aenea pugna et facinora prope fluvium ab eo edita.

76. δύμεν᾽(αι)] § 125.

77. Πριαμίδεω] § 55.

— ἄνωγε] § 225.

78. Cf. Δ 35.

80. ἐνῆκε δέ ϝοι μένος ἠΰ] cf. Π 449.

83. ποῦ τοι ἀπειλαί] cf. N 219 sq. et de voce ἀπειλαί Θ 150.

84. ϝοινοποτάζων] Aeneas igitur nuper bello ineunte inter pocula gloriatus est se Achillem facile profligaturum, quemadmodum Achivorum principes cenantes gloriati sunt Troianos mox a se devictum iri (cf. Θ 229—234).

85. Πηλεΐδα᾽(ο)] § 55.

90—94. Aliis verbis eaedem res referuntur infra vs. 188—194. Cf. quae de Priami filiis similia narrantur Λ 104—106 et Φ 35—47.

90. δούρ᾽ (δουρὶ)] § 13.

91. ἡμετέρηισι] *nostris*, quae erant patris mei Anchisae et meae ipsius. Cf. Π 244 et Z 414.

92. Λυρνησσὸν καὶ Πήδασον] cf. B 690 sq.

'ρύσατο, ὅσ μοι ἐνῶρσε μένοσ λαιψηρά τε γοῦνα. 93 cf. X 204
ἦ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆοσ καὶ Ἀθήνησ,
ἥ ῥοι πρόσθεν ἰοῦσα 'τίθει φάοσ ἠδ' ἐκέλευε
ἔγχεϊ χαλκείωι Λέλεγασ καὶ Τρῶασ ἐναίρειν.
τῶι οὐκ ἔστ' Ἀχιλῆοσ ἐναντίον ἄνδρα μάχεσθαι·
αἰεὶ γὰρ πάρα τίσ γε θεῶν, ὅσ λοιγὸν ἀμύνει. 98 cf. E 603
καὶ δ' ἄλλωσ τοῦ γ' ἰθὺ βέλοσ πέτετ', οὐδ' ἀπολήγει
πρὶν χροὸσ ἀνδρομέοιο διελθέμεν'. εἰ δὲ θεόσ περ
ῥῖσον τείνειεν πολέμου τέλοσ, οὔ κέ με ῥεῖα
νικήσει', οὐδ' εἰ παγχάλκεοσ εὔχεται εἶναι."
τὸν δ' αὖτε προσέῤῥειπε ῥάναξ Διὸσ υἱὸσ Ἀπόλλων· 103 = H 37
„ἤρωσ, ἀλλ' ἄγε καὶ σὺ θεοῖσ' αἰειγενέτησι
εὔχεο· καὶ δὲ σέ φασι Διὸσ κούρησ Ἀφροδίτησ
ἐκγεγάμεν, κεῖνοσ δὲ χερείονοσ ἐκ θεοῦ ἐστί. 106 cf. Φ 190 sq.
ἣ μὲν γὰρ Διόσ ἐσθ', ἣ δ' ἐξ ἁλίοιο γέροντοσ.
ἀλλ' ἰθὺσ φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν 108b sq. cf. Φ 388 sq.
λευγαλέοισι ῥέπεσσιν ἀποτρεπέτω καὶ ἀρειῆι."
ὣσ ῥειπὼν ἔμπνευσε μένοσ μέγα ποιμένι λαῶν, 110 = O 262
'βῆ δὲ διὰ προμάχων κεκορυθμένοσ αἴθοπι χαλκῶι. 111 = Δ 495

οὐδ' ἔλαθ' Ἀγχίσαο πάϊσ λευκώλενον Ἥρην
ἀντία Πηλεΐωνοσ ἰὼν ἀνὰ ῥοῦλαμὸν ἀνδρῶν·

---

93. ( )ρύσατο Knight] εἰρύσατ'. Cf. vs. 194 et § 164. — ἐνῶρσε T] ἐπῶρσε Ω, item X 204. Cf. ἐν μένοσ ὦρσε Θ 335 et similia Ξ 522 Σ 218 Υ 110. || 98. Om. D. — τισ Bentley] εἶσ (item E 603). || 99. ἰθὺ] ἰθὺσ(!) Syr. A B C G Gen. || 101. με ῥεῖα Knight] μάλα ῥέα Ω (μάλα ῥεῖα G L). Cf. M 381 et § 8, 88[1]. || 102. νικήσει'(ε) Bentley] -σει vel -σηι. Cf. I 386. || 103. Διὸσ υἱὸσ] ἐκάεργοσ Syr.[2] (ut P 585; cf. O 253).

---

94. ἦ κ' ἐδάμην] mente add.: *nisi servasset me Iuppiter*, quod inest verbis proximis: αὐτὰρ ἐμὲ Ζεὺσ | 'ρύσατο. Deus Idaeus servavit heroëm Dardanium invita dea Achiva.

96. Λέλεγασ] (*Lyrnessi* et) *Pedasi incolas*; cf. Φ 86.

99. καὶ ... ἄλλωσ] *vel sic* (etiamsi non adiuvetur a superis). Cf. I 699. Alia adverbii vis est loco simili Λ 391.

100. διελθέμεν'(αι)] § 125.

101. ῥῖσον τείνειεν πολέμου τέλοσ] cf. Λ 72.

102. παγχάλκεοσ] *indefessus et invictus, qui superari vel vulnerari nequeat.* Similis est hyperbole in verbis χάλκεοσ ὕπνοσ Λ 241, ἦτορ χάλκειον Β 490 (Σ 222) vel σιδήρεον (cf. P 424). Cf. etiam Martis epitheton χάλκεοσ Ε 704 al., Apollinis verba ad Troianos de hostibus Δ 510: οὔ σφι λίθοσ χρὼσ οὐδὲ σίδηροσ, Eurylochi de Ulixe μ 280: ἦ ῥά νυ σοί γε σιδήρεα πάντα τέτυκται.

109. -οισι ῥέπεσσιν] § 60.

— ἀρειῆι] cf. P 431.

ἣ δ' ἄμυδις καλέσασα θεοὺς μετὰ μῦθον ἔειπε·
„φράζεσθον δὴ σφῶϊ, Ποσείδαον καὶ Ἀθήνη,
ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα· 116ᵇ = *B* 252
Αἰνείας δ' ἔβη κεκορυθμένος αἴθοπι χαλκῷ 117ᵇ = *Δ* 495
ἀντία Πηλεΐωνος, ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
ἀλλ' ἄγεθ', ἡμέσ πέρ μιν ἀποτροπάωμεν ὀπίσσω
αὐτόθεν, ἤ τισ ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ
παρσταίη, δοίη δὲ κράτοσ μέγα, μηδέ τι θυμοῦ
δευέσθω, ἵνα ᾖδηι ὅ μιν φιλέουσιν ἄριστοι
ἀθανάτων, οἳ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάροσ περ
Τρωσὶν ἀμύνουσιν πόλεμον καὶ δηΐοτῆτα.
πάντεσ δ' Οὐλύμποιο κατήλθομεν ἀντιάοντεσ
τῆσδε μάχησ, ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσι
σήμερον· ὕστερον αὖτε τὰ πείσεται ἄσσα ϝοι Αἶσα 127ᵇ = *η* 197ᵃ
γιγνομένωι ἐπέκλωσε λίνωι, ὅτε μιν 'τέκε μήτηρ. 128 cf. *Ω* 210 *η* 198
εἰ δ' Ἀχιλεὺσ οὐ ταῦτα θεῶν ἐκ πεύσεται ὀμφῆσ,
δϝείσει' ἔπειθ', ὅτε κέν τισ ἐναντίβιον θεὸσ ἔλθῃι

---

114. *ἣ ... μετὰ μῦθον ἔειπε*] sic (*ἔειπε*) Ar., *ἦ ... ῥεῖα ζώοντασ* Zen. (male *ἦ* pro *ἔφη*, cf. § 306⁵). — *καλέσασα*] sic Zen., *στήσασα* Ar. || 119. *ἀποτροπάωμεν* § 251] *-τρωπῶμεν*. || 121. *θυμοῦ* Koeppen] *θυμῶι*. Absolutum *δεύομαι* non est alibi (cf. *Γ* 294 *N* 786 *η* 73 al.; *A* 134 *X* 492 genitivus mente supplendus est). || 125-128. Quidam —, utpote a vs. 26 sq. discrepantes.

---

119. ἧμεσ] § 92.

— ἀποτροπάωμεν] § 191 et 251.

122—128. Cf. vs. 23—30.

125. ἀντιάοντεσ] § 191.

126. πάθῃσι] de subiunctivo cf. A 158.

127 sq. Αἶσα *dea filum vitae humanae nens* commemoratur etiam loco parallelo *η* 198, ubi operam in hoc officio ei praestare dicuntur Κλῶθεσ, quod nomen alibi non est obvium, ipsa vero notio quin sit perantiqua non est dubitandum. *Fili* huius mentio fit etiam Ω 210, ubi singulis mortalibus id nere dicitur Μοῖρα. *Plures* Μοῖραι vitam humanam regere dicuntur Ω 49; *tres* Κλωθὼ Λάχεσιν Ἄτροπον nominatim designat Hes. Theog. 218, 905. *Di* autem — communi nomine sic indicati — sortem hominibus dicuntur ἐπικλώσασθαι vel ἐπικλῶσαι Ω 525 *α* 17 *γ* 208 *θ* 579 *λ* 139 *υ* 196, δαίμων *π* 64, *Iuppiter* *δ* 208. Cf. Θ 69—72 et Ω 527—533. Et optime haec loquendi — i. e. cogitandi — ratio, quae inter gentes incultas vulgata est, congruit cum ea qua dea luna, quae cursu suo tempus veluti demetitur singulisque mortalibus tribuit, *telam* dicitur texere et retexere. Hinc originem habuit tela Penelopes (cf. *τ* 138—156).

129. οὐ] cf. Γ 289.

— ταῦτα] adesse non solum eos deos qui Troiam tueantur, sed etiam ceteros.

ἐν πολέμωι· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργέσ.“ 131 cf. π 161
131b cf. η 201
τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
„Ἥρη, μὴ χαλέπαινε παρ' ἐκ νόον· οὐδέ τί σε χρή.
οὔ κεν ἐγώ γ' ἐθέλοιμι θεοὺσ ἔριδι ξυνελάσσαι 134 cf. Θ 210
134b cf. Φ 394
ἡμασ τοὺσ ἄλλουσ, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν. 135 cf. Θ211 [169
135b = ι 276 cf. A
ἀλλ' ἤμεσ μὲν ἔπειτα καθεζώμεσθα κιόντεσ 136b = α 372
ἐκ πάτου εἰσ σκοπιήν, πόλεμοσ δ' ἄνδρεσσι μελήσει. 137b = Z 492
εἰ δέ κ' Ἄρησ ἄρχηισι μάχησ ἢ Φοῖβοσ Ἀπόλλων,
ἢ Ἀχιλῆ' ἴσχωσι καὶ οὐκ ἐάωσι μάχεσθαι,
αὐτίκ' ἔπειτα καὶ ἡμὶ παρ' αὐτόθι νεῖκοσ ὀρεῖται
φυλόπιδοσ· μάλα δ' ὦκα διακρινθέντασ οἴω
ἂψ ἴμεν' Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων, 142b = h. Ap. 187
Cer. 485 cf.
ἡμετέρησι' ὑπὸ χερσὶν ἀναγκαίηφι δαμέντασ.“ Merc. 332
143 cf. Φ208σ156
ὣσ ἄρα φωνήσασ ἡγήσατο κυανοχαίτησ
τεῖχοσ ἓσ ἀμφίχυτον Ἡρακλέεοσ θείοιο,
ὑψηλόν, τό ῥά ῥοι Τρῶεσ καὶ Παλλὰσ Ἀθήνη

131. ἐναργέσ Fick] -γεῖσ Ω, item η 201 π 161. Cf. § 73 et ἀστεμφές, νημερτές (-φέως, -τέως codd. omnes aut plerique) δ 419, 459 ε 98 τ 269 h. Cer. 71. Praeterea cf. O 114 et Π 792. || 135. Habent Syr. A, in margine habuit huius archetypum, om. Ω. || 138. ἄρχηισι Zen.] ἄρχωσι Ar. Ω (cf. E 774 κ 513). In schol. T affertur l. a. εἰ δέ κεν ὣσ ἄρχωσιν Ἄρησ καὶ Φ. Α. Mirum ni et Aristarchus καὶ pro ἦ legit; ἦ tamen ei tribuitur ab Aristonico. || 140. αὐτόθι C] -φι Ω. Cf. M 302. || 143. ἀναγκαίηφι H] ἀνάγκηι ἴφι Ω (cf. Φ 208 σ 156).

131. Cf. A 198.

133. σε χρή] cf. I 75 sq.

134 sq. Quod Neptunus dicit hoc est: ἡμεῖσ τοὺσ ἄλλουσ θεοὺσ μὴ ξυμβάλωμεν εἰσ μάχην, non enim est necesse et rei eventum expectare nobis licebit impune. — Acc. c. inf. post ἐθέλειν ut Θ 210 al.; de obiecti accusativo praemisso accusativo subiecti cf. I 315.

134. οὔ κεν] § 326.

135 sq. ἧμασ et ἧμεσ] § 92.

136—149. Neptunus et Iuno ceterique di qui ab Achivorum parte stant speculam circumspicientes aptum suo consilio inveniunt τεῖχοσ ἀμφίχυτον sive *aggerem Herculis*, haud ita procul a littore olim in usum herois a Troianis congestum iubente Minerva, non Herculis tantum sed et ipsius urbis patrona (cf. Z 86). Cuius aggeris alibi non fit mentio. *Parallelae* fortasse fuerunt olim fabulae de *aggere Herculis*, qui Troiam cepit, et de *aggere Agamemnonis*, qui item Troiam cepit. — Alia specula fuit *oppidanorum* (cf. B 792—794), qua mox et di his faventes utentur (cf. vs. 151—153).

139. οὐκ ἐάωσι] cf. Γ 289 et de verbi forma § 191.

140. ἡμὶ] § 92.

— ὀρεῖται] § 147.

145. τεῖχοσ . . . ἀμφίχυτον] *aggerem*. Cf. χυτὴ γαῖα Z 464 al. et de ipsa re H 337—343.

— Ἡρακλέεοσ] § 73.

146—148. Cf. E 640—651.

*'ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέαιτο,*
*ὁππότε μιν σεύαιτο ἀπ' ἠϊόνος πεδίονδε.*
*ἔνθα Ποσειδάων κατ' ἄρ' ἔζετο καὶ θεοὶ ἄλλοι,*
*ἀμφὶ δ' ἄρ' ἄρρηκτον νεφέλην ὤμοισ' ἐρέσαντο·*
*οἳ δ' ἑτέρωσε καθῖζον ἐπ' ὀφρύσι Καλλικολώνησ*
*ἀμφὶ σέ, ἦϊε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.*
*ὣσ οἳ μὲν ῥεκάτερθε καθήατο μητιάοντεσ*
*βουλάσ· ἀρχέμεναι δὲ δυσηλεγέοσ πολέμοιο*
*ὤκνεον ἀμφότεροι, Ζεὺσ δ' ἤμενοσ ὕψ' ἐκέλευε.*

*τῶν δ' ἅπαν ἐπλήσθη πεδίον καὶ ἐλάμπετο χαλκῶι,*
*ἀνδρῶν ἠδ' ἵππων, 'κάρκαιρε δὲ γαῖα πόδεσσι* [sqq.
*ὀρνυμένων ἅμυδισ· δύο δ' ἀνέρε ἔξοχ' ἀρίστω* 158ᵇ-160 cf. *N* 499
*εἰσ μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι,* 159 = *Z* 120
*Αἰνείασ τ' Ἀγχισιάδησ καὶ δῖοσ Ἀχιλλεύσ.*
*Αἰνείασ δὲ πρῶτοσ ἀπειλήσασ ἐβεβήκει,*
*νευστάζων κόρυθι βριαρῆι, ἀτὰρ ἀσπίδα θοῦριν*
*πρόσθεν ἔχε στέρνοιο, 'τίνασσε δὲ χάλκεον ἔγχοσ.*
*Πηλεΐδησ δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὣσ* 164 cf. *Ω* 572
164ᵇ = *Λ* 129

147. *ἀλέαιτο*] *-οιτο* D T. ‖ 153. *μὶν* Bentley] *μίν ῥ'*. ‖ 158. *δύο δ'(ὲ)*] *δὲ δύ'* l. a. in Marc. 458. — *ἀνέρε ... ἀρίστω* Ahrens] *-ρεσ ... -τοι*. ‖ 159. *ἀμφοτέρων*] *-ρω* G (cf. *Z* 120). ‖ 163. *'τίνασσε δὲ*] *τινάσσων* l. a. in Marc. 458 (ut *M* 298 *X* 311).

147. 'ποίεον] de imperfecti hoc usu cf. ψ 178.

— τὸ κῆτοσ] *notam illam beluam marinam*. Fabulam auditoribus bene cognitam poeta in transitu commemorat; cf. A 307.

148. μιν] *Herculem*.

— σεύαιτο] cf. Γ 26.

149. ἔζετο] singularis ut A 255.

— ἄλλοι] qui quidem favebant Achivis.

150. ἄρρηκτον] nubis epitheton notabile, non *densam* tantum sed et *firmam* atque *compactam* significans. Cf. E 749—751.

151. ἐπ' ὀφρύσι Καλλικολώνησ] cf. vs. 53 et 136—149. A collium hoc tractu Ilium urbs cognomen ὀφρυόεσσαν accepit X 411.

152. ἦϊε] cf. O 365.

155. Expectabant etiam di, licet Iuppiter eos adhortaretur ut homines pugnantes adiuvarent, ipse in Olympo remanens (cf. vs. 25).

157. 'κάρκαιρε] verbum † et aliunde non cognitum; *resonabat*?

162 sq. Aeneas adversarium adit hasta stricta, capite demisso, quo melius clipeo se possit tegere; item *Achilles* X 313 sq., *Hector* ibidem vs. 308, et solitum hunc militum in hostem irruentium gestum fuisse per se intellegitur.

164—173. Vivida admodum comparatione pingitur Achilles in pugnam primum irruens. Quam comparationem qui fecit, leones bene norat et saepius viderat.

σίντησ, ὅν τε καὶ ἄνδρεσ ἀποκτάμεναι μεμάωσι
ἀγρόμενοι, πᾶσ δᾶμοσ· ὃ δὲ πρῶτον μὲν ἀτίζων
ἔρχεται, ἀλλ᾽ ὅτε κέν τισ Ἄρηϊ θοῶν αἰζηῶν
δουρὶ βάλῃι, ἐξάλη τε χανών, περί τ᾽ ἀφρὸσ ὀδόντασ
γίγνεται, ἐν δέ τέ ϝοι κραδίκι στένει ἄλκιμον ἦτορ,
οὐρᾶι δὲ πλευράσ τε καὶ ἰσχία ἀμφοτέρωθε
μαστίεται, ἑξὲ δ᾽ αὐτὸν ἐποτρύνει μαχέσασθαι, 171ᵇ cf. Π 690
γλαυκιάων δ᾽ ἰθὺσ φέρεται μένε᾽, εἴ τινα πέφνῃι
ἀνδρῶν ἢ αὐτὸσ φθίεται πρώτοι ἐν δμίλωι.
ὥσ Ἀχιλῆ᾽ ὄτρυνε μένοσ καὶ θυμὸσ ἀγήνωρ
ἀντίον ἐλθέμεναι μεγαλήτοροσ Αἰνείαο. 175ᵃ = P 67
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντεσ, 176 sq. = Φ 148
τὸν πρότεροσ προσέϝειπε ποδάρκησ δῖοσ Ἀχιλλεύσ· 176 = Γ 15 [sq.
„Αἰνεία, τί σὺ τόσσον δμίλου πρόσθεν ἐπελθὼν
ἕστησ; ἦ σέ γε θυμὸσ ἐμοὶ μαχέσασθαι ἄνωγε
ϝελπόμενον Τρώεσσι ϝαναξέμεν᾽ ἱπποδάμοισι

---

165. *μεμάωσι] -ασι. || 166. πρῶτον μὲν ἀτίζων] κρειῶν ἐρατίζων L (ut A 551 P 660). || 169. ἄλκιμον] ὄβριμον Syr. || 170. ἀμφοτέρωθε] -σε l. a. ant. || 171. μαχέσασθαι Syr. D] μαχέσεσθαι B, μαχέεσθαι A C, μάχεσθαι T (cf. Π 690 et A 272). || 172. εἴ § 326] ἤν. || 178. πρόσθεν vChrist] πολλὸν Ω, quod post τόσσον molestum, genitivus autem participio ἐπελθών sociari non potuit. Cf. Γ 22 Ψ 804. — ἐπελθὼν] ἀπ. A² (quod alienum hinc est verbum). || 179. ἄνωγε § 225] ἀνώγει. || 180—186. Quidam —

---

165. καὶ] *itaque* (nos: *dan ook*). Rapax est fera, itaque mortem pastores ei struunt. Cf. A 249.

166. ἀτίζων] *nihil curans*, item ἀτέων vs. 332; cf. etiam Herodot. VII 223. Aliunde verbum non est cognitum; nam stirpem vocis ἀάτησ-ἄτησ hinc alienam esse testatur sonus ᾰ.

169. στένει ἄλκιμον ἦτορ] *crebro motu aestuant latera*. Cf. K 16.

170—172. Cf. Hes. Scut. 430 sq., ubi Mars assimulatur leoni qui γλαυκιάων ὄσσοισ δρεινὸν (ὄσσοισι θαμὰ?) πλευράσ τε καὶ ὦμουσ | οὐρᾶι μαστιάων ποσσὶ γλάφει.

170. πλευράσ] cf. Δ 468.

172. γλαυκιάων] § 191. Verbum †, *oculos luridum fulgentes* denotat.

— φέρεται] cf. O 743.

— μένε᾽(ϊ)] § 71.

179. ἕστησ] de temporis praeteriti usu cf. Δ 243.

— ἄνωγε] *impellebat*.

180—183. Ex hoc loco nata esse videntur quae N 460 sq. dicuntur de Aenea Priamo succensenti. Spurios illos versus qui fecit, finxit Aeneam simile quid, atque hoc loco ab Achille dicitur, secum reputasse, ideoque in tuto manere maluisse quam strenue pugnare. Nihil tamen est in verbis quibus Achilles nunc utitur, unde efficiatur Aeneam Priamo eiusve liberis minus bene voluisse. „Cur vitae periculum subis? Me si viceris, quid tibi proderit?" Achilles rogat, nihil amplius.

180. ϝαναξέμεν᾽(αι)] § 125.

τιμῆσ τῆσ Πριάμοι'; ἀτὰρ εἴ κεν ἔμ' ἐξεναρίξηισ,
οὔ τοι τούνεκά γε Πρίαμοσ γέρασ ἐν χερὶ θήσει!
εἰσὶν γάρ ϝοι παῖδεσ, ὃ δ' ἔμπεδοσ οὐδ' ἀεσίφρων. 183[b] cf. Ψ 603
ἦ νύ τί τοι Τρῶεσ τέμενοσ 'τάμον ἔξοχον ἄλλων, 184[b] sq.[a] = Z 195 sq.
καλὸν φυταλιῆσ καὶ ἀρούρησ, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνηισ; χαλεπῶσ ῥέξειν σὲ ϝέολπα!
ἤδη μὴν σέ γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆσαι.
οὐ μέμνησ' ὅτε πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα 188[a] = O 18
'σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι
καρπαλίμωσ; τότε δ' οὔ τι μετετροπαλίζεο φεύγων.
ἔνθεν δ' εἰσ Λυρνησσὸν ὑπέκφυγεσ· αὐτὰρ ἐγὼ τὴν
'πέρσα μεθορμηθεὶσ σὺν Ἀθήνηι καὶ Διὶ πατρί,
ληϊάδασ δὲ γυναῖκασ ἐλεύθερον ἦμαρ ἀποϝρὰσ 193 cf. Π 831
ἦγον· ἀτὰρ σὲ Ζεὺσ ἐρρύσατο καὶ θεοὶ ἄλλοι.
ἀλλ' οὐ νῦν ῥύσεσθαι ὀΐομαι, ὡσ ἐνὶ θυμῶι
βάλλεαι. ἀλλά σ' ἐγώ γ' ἀναχωρήσαντα κελεύω 196[b]-198 = P 80 sqq.
εἰσ πληθὺν ἴμεναι, μηδ' ἀντίοσ ἵστασ' ἐμεῖο,
πρίν τι κακὸν παθέμεν· ϝεχθὲν δέ τε νήπιοσ ἔγνω."

---

185. *καλὸν*] *ἐσθλὸν* A C. || 186. **ῥέξειν σε ϝέολπα*] *δέ σ' ἔολπα τὸ ῥέξειν*, neglecto ϝ stirpis *ϝελπ* et pede 4[o] vitiose conformato (cf. § 3). || 187. *μὴν* § 18] *μὲν*. — *φοβῆσαι*] *φόβησα* A C T. || 188. *οὐ* § 8] *ἦ οὐ*. — *μέμνησ'*(*αι*) Bodl. Barocc. 203] *μέμνηι* Ω. Cf. O 18. — *ἄπο*] sic Ar., *ἔπι* Chia Rhianus Aristoph. (sic *βόεσσ' ἔπι* esse deberet; cf. Z 25 al.). || 191. *ἔνθεν*] *κεῖθεν* Strab. 607. || 195—198. Quidam — || 195. *ῥύσεσθαι*] *ἐρύεσθαι* Ar., *σε ῥύεσθαι* vel *σ' ἐρ.* Ω. Per se quidem spectatum aptum est *ϝερύεσθαι erepturum esse* (ut Ξ 422; cf. § 293), sed propter versum 194 requiri videtur *servandi* verbum *ῥύεσθαι* (§ 164), nisi illic *ἐϝερύσσατο* est legendum.

---

181. τιμῆσ] genitivus (partitivus?) admodum neglegenter adhibitus, ut et Ψ 649 ω 30.

— Πριάμοι'(ο)] § 59.

182. τοι... γέρασ ἐν χερὶ θήσει] *munus suum* sive regiam dignitatem — cuius insigne fuit sceptrum (cf. A 279 B 105—108) — moriens *tibi traditurus est*. Vox γέρασ idem valet λ 175, 184 ο 522.

183. ἔμπεδοσ] cf. Γ 108.

— ἀεσίφρων] *mente captus*. Adi. redit Ψ 603 φ 302 Hes. Op. 335; cf. subst. inde ductum ἀεσιφροσύνη ο 470 Hes. Theog. 502. In Apoll. lex. est ἀασίφρων, et proba haec videtur adiectivi forma; quod quin a verbo ἀάσσαι sit ductum vix videtur dubium.

184. ἔξοχον ἄλλων] cf. Z 194.

185. Cf. Σ 588.

188—194. Cf. supra vs. 90—94. — Iuppiter *Olympius* incitavit Achillem, Iuppiter *Idaeus* (cf. vs. 215—241) Aeneam servavit.

191. Λυρνησσὸν] cf. B 690 sq.

194. ἐρρύσατο] singularis ut A 255.

197. ἴμεναι] § 125.

198. παθέμεν] § 126.

— ϝεχθὲν δέ τε νήπιοσ ἔγνω] cf. Λ 764.

τὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο φώνησέν τε·
„Πηλεΐδη, μὴ δή με ϝέπεσσί γε νηπύτιον ὣς 200-202 = 431 sqq.
ϝέλπεο δεδϝίξεσθαι, ἐπεὶ σάφα ϝοῖδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ' αἴσιμα μυθήσασθαι.
ϝίδμεν δ' ἀλλήλων γενεήν, ϝίδμεν δὲ τοκῆας,
πρόκλυτ' ἀκούοντες ϝέπεα θνητῶν ἀνθρώπων·
ὄψιι δ' οὔτ' ἄρ πω σὺ ἐμοὺς ϝίδες οὔτ' ἄρ' ἐγὼ σούς.
φασὶ σὲ μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
μητρὸς δ' ἐκ Θέτιδος καλλιπλοκάμοι' ἁλοσύδνης·
αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο 208 sq. cf. E 247 sq.
εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοι ἐστ' Ἀφροδίτη.
τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
σήμερον· οὐ γάρ φημι ϝέπεσσί γε νηπυτίοισι
ὧδε διακρινθέντε μάχης ἔξ ἀπονέεσθαι. 212ᵇ = Π 252
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐῢ ϝείδηις, — 213 = Z 150
Δάρδανον ἄρ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς,

214 ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασι 214 = Z 151

202. αἴσιμα Duentzer] αἴσυλα Ω, item vs. 433 (quod quid sit apparet E 403 Φ 214 β 232 ε 10). Idem vitium correxerat Ruhnkenius h. Merc. 164. Cf. Z 62 H 121 χ 46. || 205—209. Quidam — || 207. δ'(ὲ)] τ' AC. || 210. ἕτεροι] ἕταροι C D. || 211. νηπυτίοισι] -ω ὥς Bentley (cf. comment.). || 214. Cf. Z 151. || 215. ἄρ A² L] αὖ Ω (cf. vs. 219).

200—258. Aptiora sunt quae Hector profert H 234—243 quam quae nunc Aeneas, licet ab iisdem fere verbis uterque faciat initium. Admodum verbosus nunc est Aeneas, etiamsi omittantur vs. 213—241, quos aliunde desumtos esse suspicabatur Friedlaender, placido alicui colloquio — quale Glauci illud fuit cum Diomede in Z, ubi cf. praesertim vs. 150 sqq. — multo sane aptiores quam huic temporis articulo. Sed et Lycaon atque Asteropaeus mox permulta ad Achillem verba fecerunt (in Φ init.), nec pauca iis respondit Achilles, quamvis ira rabidus. Dandum igitur hoc nostri carminis poetae.

200—202. Cf. vs. 108 sq.; *et ego* Aeneas ait *possum cavillari et minari, sed armis, non verbis nunc certandum.*

200. με ϝέπεσσι] μ' ἐπέεσσι Ω.

204. πρόκλυτ'(α)] *primum audita, quae olim clara fuerunt.* — Ab aliis narrata se referre poeta ait; cf. A 307.

205. ὄψιι] § 74.

207. καλλιπλοκάμοι'(ο)] § 59.

— ἁλοσύδνης] dubiae originis vox redit δ 404. *Deam maris* utrobique valet.

211. φημι ϝέπεσσι] φημ' ἐπέεσσι Ω.

— νηπυτίοισι] ceteris locis ipsi *homines* dicuntur νηπύτιοι, non *verba* (cf. vs. 200, 244, 431, al.).

212. ὧδε] *sic temere*, πρὶν ἕτερόσ τι πάθησι.

— ἀπονέεσθαι] § 21.

213. ϝείδηις] § 160.

215—241. En igitur stemma regum Troiae. Ab *Iove* (*Idaeo*) principium. Sed et plura insunt deorum nomina.

*'κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω Ϝίλιοσ ἱρὴ*

Nam *Erichthonius* equorum divinorum dominus olim fuit *Neptunus* ille, qui Troiae moenia struxit; *Tithonus* autem Aurorae maritus (cf. Λ 1 ε 1) et *Ganymedes* Iovis pincerna (cf. Ε 266) quin numina primitus fuerint caelestia ne potest quidem dubitari; quibus et *Lampus* sive *splendens* (*Lucifer*) propter nomen est annumerandus, et aliunde addi potest *Venus* dea Aeneae mater. Apparet confluxisse fabulas duas antiquas, quarum altera *Troianos*, altera *Dardanos* spectaret, altera autem *deum Idae* stirpis regiae genitorem faceret, altera *Neptunum Erichthonium* (cf. vs. 291—294), ab Iove Idaeo vix diversum, et sic natum esse stemma quod poeta nobis praebet:




Primitus autem hae potius rationes duae sunt initae:




Vel, ut in unum coniungamus quae nominibus tantum discrepant et ab aliis ad aliam gentem sunt relata:

| | |
|---|---|
| *deus* | (Idaeus, Erichthonius). |
| *heros eponymus* | (Tros, Ilus, Dardanus). |
| *rex populi* | (Laomedon, Priamus, Assaracus, Capys, Anchises). |
| *regis filius* | (Hector, Aeneas). |

*Priamus* quod modo *Dardanides* audit, modo *Laomedontiades*, hinc explicatur. *Laomedon* autem non nisi *bubus* (Φ 448 sq.) vel *equis* inclaruit, qui et *Trois* fuisse dicuntur (cf. vs. 220—230); neque verum nomen proprium ei fuit, sed merum appellativum (= *rex populi*), qualia sunt *Medon*, *Automedon*, *Creon*, *Coeranus*, *Aesyetes* (cf. Β 792—794), *Astyanax*, *Hector* (cf. Α 366—369), *Prytanis*, *Dius*, *Polites*. — *Assaracus* et *Capys*, quorum nomina Graecum non sonant, aliunde non sunt cogniti.

216ª. De *Dardania* urbe Idae acclini cf. Χ 147—166. Nihil praeter nominis stirpem, priscae gentis memoriam servantem, huic quam poeta noster dicit urbi vetustae cum *Dardano* urbe in Hellesponti ora condita commune fuisse contextus luculenter docet. Non enim de urbe *maritima* sed de urbe more prisco in *interiore regionis parte* caute abdita nunc fit sermo, et respicitur illud aevum quo αἱ πόλεισ διὰ τὴν ληιστείαν ἐπὶ πολὺ ἀντισχοῦσαν ἀπὸ θαλάσσησ μᾶλλον ὠικίσθησαν, ut cum Thucydide (I 7) loquamur. Huiuscemodi igitur proportio potest componi: Dardania (*Bunárbashi*?): Ilium (*Hissarlik*) = Mycenae: Argos = arx Cecropia: Piraeus.

216ᵇ—218. Imitatur Verg. Aen. III 109 sq.

ἐν πεδίωι 'πεπόλιστο, πόλισ μερόπων ἀνθρώπων,
ἀλλ' ἔθ' ὑπωρεῖασ 'ϝοίκεον πολυπίδακοσ Ἴδησ.
Δάρδανοσ αὖ 'τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,
ὅσ δ' ἀφνειότατοσ 'γένετο θνητῶν ἀνθρώπων·
τοῦ τρισχίλιαι ἵπποι ἕλοσ κάτα 'βουκολέοντο
θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῆισι.
τάων καὶ Βορέησ ἠράσσατο βοσκομενάων,
ἵπποι δ' εἰσάμενοσ παρελέξατο κυανοχαίτησ·
αἳ δ' ὑποκυσάμεναι ἔτεκον δύο καὶ δέκα πώλουσ.
αἳ δ' ὅτε μὲν σκιρτῶιεν ἐπὶ ζείδωρον ἄρουραν, 226ᵇ = Θ 486
ἄκρον ἐπ' ἀνθερίκων καρπὸν 'θέον οὐδὲ κατέκλων· 227 cf. Hes. fr. 143
ἀλλ' ὅτε δὴ σκιρτῶιεν ἐπ' εὐρέα νῶτα θαλάσσησ, 228ᵇ = Β 159
ἄκρον ἐπὶ ῥηγμῖνα ἁλὸσ πολιοῖ' ἐθέεσκον.
Τρῶα δ' Ἐριχθόνιοσ 'τέκετο Τρώεσσι ϝάνακτα,
Τρωὸσ δ' αὖ τρεῖσ παῖδεσ ἀμύμονεσ ἐξεγένοντο, 231 cf. Ξ 115
Ἶλόσ τ' Ἀσσάρακόσ τε καὶ ἀντίθεοσ Γανυμήδησ,

218. 'ϝοίκεον] ναῖον Nauck (cf. Δ 18). — πολυπίδακοσ A C[1]] -δάκου Ω. Cf. Ξ 157. ‖ 220. δ' Platt] δὴ Ω; an *ῥ'? Cf. § 8. ‖ 223. Post hunc aut post vs. 224 in rec. nonnullis additur: ἐν μαλακῶι λειμῶνι καὶ ἄνθεσιν ἐαρινοῖσιν (= Hes. Theog. 279). ‖ 224. Spurius videtur; damn. Heyne. — δ' εἰσάμενοσ] neglecto ϝ, ϝεισάμενοσ (del. δ')? — παρελέξατο κυανοχαίτηι] ἐμίγη φιλότητι καὶ εὐνῆι l. a. in A. ‖ 228. δὴ] δὲ Ar. ‖ 229. ῥηγμῖνα Ahrens] -νοσ.

220—230. De equis regis Troiani cf. Δ 500 et Ε 222. Quos Troi ab *Iove* datos, Ganymedis pretium, Anchisen autem clam iis potitum, poeta ait Ε 265—269, aliter igitur, atque nostro loco fit, fabulas parallelas illic inter se connectens. Nam nominibus tantum a nostro loco, ubi *Aquilonem* patrem Trois equi habuisse dicuntur, discrepare quae illic narrantur, etiam clarius apparet coll. Π 150 sq., ubi equis, quos *Peleus* a dis (a *Neptuno* Ψ 278 sq.) accepit, mater tribuitur *Procella*.

221. 'βουκολέοντο] cf. Α 598.

224. παρελέξατο] audacter neque feliciter a rebus humanis ad equos nunc hoc verbum transfertur.

227. Summas segetis aristas equae Trois stringere solebant, ut ipse ventus earum pater, motantes tantum, non frangentes aut sternentes. Cf. Ψ 504—506 et Ε 770—772. De Iphiclo cursore celerrimo (quem Nestor superavit iuvenis, cf. Ψ 636) idem cecinit Hesiodus fr. 117. — Vox ἀνθέριξ sive *culmus* non redit; *asphodeli caulem* posteri dixerunt ἀνθέρικον. Sic ὀπός sive *sucus* postea Athenis *laser* potissimum significabat (cf. Ar. Eccl. 404 al.), ὄρνισ sive *avis gallum* vel *gallinam*.

228 sq. Imitatur Verg. Georg. III 194 sq.; cf. etiam Aen. VII 808—811. Est ῥηγμίσ id quod κῦμα χέρσωι ῥηγνύμενον Δ 425; cf. μ 214.

229. πολιοῖ'(ο)] § 53 et 59.

232—235. De *Ganymede* cf. Ε 266. In Parva Iliade non *Trois* sed *Laomedontis* filius audiebat, neque *equi* a Iove eius patri dati esse ferebantur,

ὅσ δὴ κάλλιστος ᾽γένετο θνητῶν ἀνθρώπων·
τὸν καὶ ἀνηρέψαντο θεοὶ Διὶ ϝοινοχοεύειν 234 sq. cf. h. Ven. 204 sq.
κάλλεσσ εἵνεκα ϝοῖο, ἵν᾽ ἀθανάτοισι μετείη. 235 = *o* 251
Ἴλιοσ δ᾽ αὖ ᾽τέκεθ᾽ υἱὸν ἀμύμονα Λαομέδοντα,
Λαομέδων δ᾽ ἄρα Τιθωνὸν ᾽τέκετο Πρίαμόν τε
Λάμπον τε Κλυτίον θ᾽ Ἱκετάονά τ᾽ ὄζον Ἄρηοσ. 238 = *Γ* 147
Ἀσσάρακοσ δὲ Κάπυν, ὃ δ᾽ ἄρ᾽ Ἀγχίσην ᾽τέκε παῖδα·
αὐτὰρ ἔμ᾽ Ἀγχίσησ, Πρίαμοσ δ᾽ ἔτεχ᾽ Ἕκτορα δῖον.
ταύτησ τοι γενεῆσ τε καὶ αἵματοσ εὔχομαι εἶναι. 241 = *Z* 211
Ζεὺσ δ᾽ ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,
ὅππωσ κεν ἐθέλησιν· ὃ γὰρ κάρτιστοσ ἁπάντων.
ἀλλ᾽ ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥσ, 244 = *N* 292
ἑσταότ᾽ ἐν μέσσηι ὑσμίνηι δηϊοτῆτοσ.
ἔστι γὰρ ἀωφοτέροισιν ὀνείδεα μυθήσασθαι
πολλὰ μάλ᾽· οὐδέ κε νηῦσ ἑκατόνζυγοσ ἄχθοσ ἄροιτο.
στρεπτὴ δὲ γλῶσσ᾽ ἐστὶ βροτῶν, πολέεσ δ᾽ ἔνι μῦθοι

---

234. καί] μὲν l. a. ant. — ἀνηρέψαντο Doederlein] ἀνηρειψαντο Ar. *Ω*, item *α* 241 *δ* 727 *ξ* 371 *υ* 77 (cf. etiam l. a. *μ* 357), quasi a verbo *-ερείπω* ductum. Ad *-ερέπτειν* refertur Etym. M 107, 58; cf. *Φ* 271 et Hesych. *ἀνερεψάμενοι· ἀναρπάσαντεσ* (ut *ϑ* 409 *ἀναρπάξασαι ἄελλαι*). A stirpe *ἀρεπ* (*ἀρέπυια, ἁρπάζω*) ducit Fick coll. Hes. Theog 990, ubi *ἀναρειψαμένη* habent G K L, *ἀναρειψαμένη* D, *ἀνερειψαμένη* E F H. ‖ 243. *ὅππωσ κεν*] **πᾶσιν ὅπωσ κ᾽*? Ceteris locis est *ὅππωσ κ᾽ ἐθέλῃι*, insolita autem est voculae *κεν* productio. — *κάρτιστοσ*] *κ᾽ ὄχ᾽ ἄριστοσ* A C (sic deleto *κ᾽* Heyne). ‖ 247. *ἑκατόνζυγοσ* L l. a. in A] *-τόζυγοσ Ω*.

---

sed *vitis aurea*, donum vere Asiaticum (cf. Herodot. VII 27).

234. ϝοινοχοεύειν] subest metaphora, de qua cf. A 598.

243. κεν] cf. H 77.

244—255. Duplicis recensionis (vs. 244—250 et 251—255) luculentum hoc est exemplum. Cf. B 144—148.

245. ὑσμίνηι δηϊοτῆτοσ] genitivum vox ὑσμίνη non nisi h. l. adsciscit, idem autem fere valet ὑσμίνη quod δηϊοτήσ. Cf. X 203.

247. οὐδέ κε] § 326.

— ἑκατόνζυγοσ] ingentis igitur mensurae et illis temporibus fortasse inauditae. Nam Boeotorum naves, quorum singulis centenos vigenos milites transvectos poeta dixit, ζυγά ut plurimum *sexaginta* habuerunt, sed multo pauciora habuisse videntur; nulla enim est causa cur singulis militibus suum remum fuisse arbitremur. Cf. B 510, et cum ipsa hyperbola cf. comicorum locutiones ἀμαξιαῖα ῥήματα (Phrynich. apud Phot. s. v.), ῥῆμα μυριάμφορον (Ar. Pac. 521).

— ἄροιτο] *conficiat, ferre possit.* Cf. δ 107, ubi verbum ἄρνυσθαι valet *assequi*.

248. στρεπτὴ] *versatilis*. Aliter I 497 O 203.

248 sq. πολέεσ..., μῦθοι et ϝεπέων... νομὸσ] de vocum μῦθοσ et ϝέποσ iunctura cf. δ 597. *Verborum pascuum*

παντοῖοι, ϝεπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα·
οἷόν κεν ϝείπῃσθα ϝέπος, τοῖόν κ' ἐπακούσῃσ.
ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη
νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥς τε γυναῖκας,
αἵ τε χολωσάμεναι ἔριδοσ πέρι θυμοβόροιο 253ᵇ = *H* 301
νεικεῦσ' ἀλλήλῃσι μέσην ἐσ ἀγυιὰν ἰοῦσαι
πόλλ', ἐτεόν τε καὶ οὐκί· χόλοσ δέ τε καὶ τὰ κελεύει.
ἀλκῆσ δ' οὔ με ϝέπεσσιν ἀποτρέψεισ μεμαῶτα
πρὶν χαλκῶι μαχέσασθαι ἐναντίον· ἀλλ' ἄγε θᾶσσον
γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσι."
ἦ ῥα, καὶ ἐν δρεινῶι σάκε' ἤλασεν ὄβριμον ἔγχοσ
σμερδαλέωι· μέγα δ' ἀμφὶ σάκοσ 'μύκε δουρὸσ ἀκωκῆι.
Πηλεΐδησ δὲ σάκοσ μὲν ἀπὸ ϝέο χειρὶ παχείηι
ἔσχετο ταρβήσασ· 'φάτο γὰρ δολιχόσκιον ἔγχοσ
ῥέα διελεύσεσθαι μεγαλήτοροσ Αἰνείαο,
νήπιοσ, οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμὸν 264ᵃ cf. *X* 445
ὣσ οὐ ῥηϊδίη ἐστὶ θεῶν ἐρικυδέα δῶρα 265 cf. *Γ* 65
ἀνδράσι γε θνητοῖσι δαμήμεναι οὐδ' ὑποϝείκει. 266ᵃ = *K* 403*P*77
οὐδὲ τότ' Αἰνείαο δαΐφρονοσ ὄβριμον ἔγχοσ

---

250. οἷόν κεν Brandreth] ὁπποῖόν κ' *Ω*, ὁπποῖόν (del. κ') Bentley. — ἐπακούσῃσ Plut. vit. Hom. 173] -σαισ. || 251—255. Ar. — (coll. vs. 244). || 251. νείκεα] ὀνείδεα l. a. in A. || 252. γυναῖκασ] -κεσσ Vrat. (cf. *Z* 477). || 255. *πόλλ', ἐτεόν τε] πολλά τ' ἐόντα Ar. (?), πόλλ' ἐτεά τε *Ω* (numeris suspectissimis, cf. § 19), πολλὰ τά τε A B C vitiose (quae Aristarcho bis tribuitur lectio in schol. A). Cf. Ξ 125. — καὶ οὐκί] τὰ δ' οὐκί l. a. in A. — τε καὶ τὰ] τὰ καὶ τὰ Naber coll. Pind. Pyth. VII 22. || 256. ἀποτρέψεισ] ἀποστρέψεισ T, μεταστρέψεισ A C. Cf. *M* 249. || 259. σάκε' ἤλασεν] σάκεϊ ἴλασ' Ar. — ὄβριμον] χάλκεον D T L. || 260. σμερδαλέωι] -ον G H², σμερδαλέον δὲ μέγ' Heyne (coll. ι 395). — ἀκωκῆι A C D] -κῇ T. || 261. ϝέο] οὗ Zen. (cf. *B* 239). || 263. ῥέα διελεύσεσθαι Ar.] ῥεῖα δ' ἔλ. A C D. Cf. *N* 144. || 265. δῶρα] ἔργα l. a. ant. || 266. ὑποϝείκει Duentzer] -κειν.

---

*late patere* nunc dicitur: quoquo lingua se convertit, plurima ei praesto sunt verba. Redit locutio Hes. Op. 403; praeterea cf. h. Ap. 20. Ut passim *motus* proprius, sic nunc verbis „volucribus" sive πτερόεσσι *locus* suus, per quem moveri et libere grassari possint, tribuitur. Haud aliter comicus ὀρνίθων νομούς quosdam iocose commemoravit Av. 1287, 1346.

250. Simile quid legitur Hes. Op. 721: εἰ δὲ κακὸν ϝείποισ, τάχα κ' αὐτὸσ μεῖζον ἀκούσαισ.

253. ἔριδοσ πέρι] cf. Η 111.

254. νεικεῦσ'(ι)] § 7 et 191. Proponi posset 'νείκεσαν nisi et versus 252 formam haberet contractam νεικεῖν pro νεικείειν.

256. με ϝέπεσσιν] μ' ἐπέεσσιν Ω.

259. σάκε'(ϊ)] § 71.

260. μέγα] verbi 'μύκε est obiectum internum.

'ρῆξε σάκος, χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο. 268 = Φ 165 cf. Φ 594 Hes. Scut. 415
δεύτερος αὖτ' Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος, 274 cf. Γ 347
καὶ 'βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσ' ἐρίσην,
ἄντυγ' ὕπο πρώτην, ἦι λεπτότατος 'θέε χαλκός,
λεπτοτάτη δ' ὕπεεν ῥινὸς βοός· ἦ δὲ διὰ πρὸ
Πηλιὰς ἤϊξεν μελίη, 'λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς.
Αἰνείας δ' ἐράλη καὶ ἀπὸ ϝέθεν ἀσπίδ' ἀνέσχε
δρείσας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτοι' ἐνὶ γαίηι 279b sq.a = Φ 69 sq.
ἔστη ϝιεμένη, διὰ δ' ἀμφοτέρους ἔλε κύκλους
ἀσπίδος ἀμφιβρότης, ὃ δ' ἀλευάμενος δόρυ μακρὸν 281a = B 389
ἔστη, κὰδ δέ ϝ' ἄχος 'χύτο μυρίον ὀφθαλμοῖιν,

---

269 ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, αἱ δ' ἄρ' ἔτι τρεῖσ
270* ἦσαν, ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων, 270 cf. Σ 481
τὰσ δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
τὴν δὲ μίαν χρυσέην· τῆι ῥ' ἔσχετο μείλινον ἔγχος.

---

269—272. Ar. — (eum qui addidisset „*πρόβλημα ποιεῖν*" voluisse ratus, ut *K* 372), ante quem expunxerant „*ἔνιοι τῶν σοφιστῶν*" (schol. T). Olim in quibusdam libris defuerunt, sed legit Aristoteles (Poet. 26). Cf. comment. || 269. *ἔλασσε*] *θλάσσε* Autochthon. || 272. *μείλινον* A C] *χάλκεον* D T Aristot. Poet. 26. || 273b sq. *μελίηι ἰθυπτίωνι | ἀσπίδα νύξ' εὔχαλκον ἀμύμονος Αἰνείαο* Zen. (*μελίην -ωνα* cod., corr. Heyne; an *ἰθυκτίωνι*?). Cf. Φ 169. || 276. *ὕπεεν* (*ὑπέην*) Heyne] *ἐπέην* Ω; quod quid significet, apparet coll. *H* 246. || 282. **δέ ϝ'*(*οι*) *ἄχοσ* § 13 et 329] *δ' ἄχοσ οἱ* Ω, Bentley *δ' ἀχλὺσ χύτο μυρίον* (*μυρίη* Cobet, quoniam neutrum non satis defenditur versu Φ 320) coll. *E* 696 *Π* 344 *Υ* 421. — *ὀφθαλμοῖιν* Bentley] *-μοῖσι*. Requiritur genitivus (cf. *E* 696 *Ψ* 765 al.).

---

268. χρυσὸς ... δῶρα θεοῖο] *aurea superficies clipei quem cuderat deus*; item Φ 165 et 594. Cf. Σ 481 sq.

269—272. Versus hi spurii (cf. nota crit.) pugnant cum vs. 268, fluxerunt autem e versu Σ 481 male intellecto. Vulcanum auro argento stanno ad superficiem clipei aerei exornandam usum esse cum sana ratio docet, tum patet Φ 165; cf. etiam Ψ 561. Qui vero hos versus fecit, inepte sumsit quinque laminarum *mediam* fuisse auream. Clipei a Vulcano cusi ne superficiem quidem perfractam esse poeta probabiliter finxit.

270. κυλλοποδίων] cf. A 607.

272. χρυσέην] § 18 et 61.

275. πρώτην] *extremam* (extremam orae partem), quae inversa computandi ratione πυμάτη vocatur Z 118. De ipsa re cf. Λ 32 sq.

276. ὕπεεν] § 302.

277. Πηλιὰς ... μελίη] cf. Π 143 sq.

278. Cf. N 163 sq. et 281.

279. νώτοι'(οι)] § 59.

280 sq. *Impetum cohibuit postquam per utrumque clipei orbem penetravit.* Terrae igitur affixus est clipeus, heros vero incolumis evasit. Κύκλοι, quae vox docet *clipeum rotundum* cogitari, dicuntur lamina aerea et quod hui subditum est corium. Cf. Λ 32 sq. — Verbum διελεῖν *perforare* nunc valet, cf. συνελεῖν Π 740.

282. κὰδ ... ἄχοσ 'χύτο] cf. P 591. Aeneas ἄχθεται propter hostem non vulneratum et ταρβέει ob periculum ipsi sibi instans.

ταρβήσασ ὅ ϝοι ἄγχι ’πάγη βέλοσ. αὐτὰρ Ἀχιλλεὺσ — 283b sq.a = 441 sq.
ἐμμεμαὼσ ἐπόρουσε, ϝερυσσάμενοσ ξίφοσ ὀξύ, — 284b = M 190
σμερδαλέα ϝιϝάχων. ὃ δὲ χερμάδιον ’λάβε χειρὶ — 285 = E 302
Αἰνείασ, μέγα ϝέργον, ὅ γ’ οὔ κε δύ’ ἄνδρε φέροιεν, — 286 cf. E 303
οἷοι νῦν βροτοί εἰσ’· ὃ δέ μιν ῥέα ’πάλλε καὶ οἷοσ. — 287 = E 304
ἔνθα κεν Αἰνείασ μὲν ἐπεσσυμένον ’βάλε πέτρωι — 288b = Π 411
ἢ κόρυθ’ ἠὲ θάκοσ, τό ϝοι ἤρκεσε λυγρὸν ὄλεθρον, — 289b = Z 16
τὸν δέ κε Πηλεΐδησ σχεδὸν ἄορι θυμὸν ἀπέρρα, — 290b = Φ 179 cf. Π 828
εἰ μὴ ἄρ’ ὀξὺ ’νόησε Ποσειδάων ἐνοσίχθων. — 291a = Γ 374
αὐτίκα μῦθον ἔϝειπε μετ’ ἀθανάτοισι θεοῖσι·
„ὤ πόποι, ἦ μοι ἄχοσ μεγαλήτοροσ Αἰνείαο,
ὅσ τάχα Πηλεΐωνι δαμεὶσ Ἄϊδόσδε κάτεισι,
πειθόμενοσ μύθοισιν Ἀπόλλωνοσ ϝεκάτοιο, — 295
νήπιοσ, οὐδέ τί ϝοι χραισμήσει λυγρὸν ὄλεθρον. — 296 cf. B 873
ἀλλὰ τίη νῦν οὗτοσ ἀναίτιοσ ἄλγεα πάσχει,
μάψ ἕνεκ’ ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ’ αἰεὶ — 298b sq. cf. α 66sq.
δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι;
ἀλλ’ ἄγεθ’ ἧμέσ πέρ μιν ὑπ’ ἐκ θανάτοιο ἀγάγωμεν,
μή πωσ καὶ Κρονίδησ κεχολώσεται, αἴ κεν Ἀχιλλεὺσ — 301 cf. ω 544

---

284. ἐμμεμαὼσ] *ἐμμαπέωσ? Cf. E 836 (ubi ἐμμεμαώσ est l. a. in Vrat.). Item infra vs. 442. Participium hic inutile, il ic etiam molestum (ἐμμεμαὼσ ... μενεαίνων). || 286. ὅ γ’ οὔ κε δύ’(ο)] cf. E 303. || 288. ἐπεσσυμένον] -νοσ T. || 290. ἀπέρρα § 150[5]] ἀπηύρα. || 292. μῦθον ἔϝειπε μετ’ ἀθανάτοισι θεοῖσι Grat] δ’ ἀθανάτοισι θεοῖσ μετὰ μῦθον ἔειπε Cf. § 60.

---

286. μέγα ϝέργον] cf. E 303.

288 sq. *Tum Aeneas saxo eum percussurus erat armis divinis tutatum* = in eo erat ut iactu irrito eum peteret.

291—294. Pellucet fabula antiquior, cui Neptunus, velut alter Iuppiter Idaeus, — non montis tamen sed terrae deus, — urbis *patronus* erat, non, ut in Iliade, *hostis*; cf. vs. 215—241. Mox Neptunus Aeneam periculo erepturus est (cf. vs. 301 sq.).

298. ἀλλοτρίων ἀχέων] sic poeta nunc vocat aerumnas Troianorum, quarum non ipse Aeneas causa extitit.

300. ἧμεσ] § 92.

— θανάτοι’(ο)] § 59.

301 sq. *Nam et ipsum Iovem iratum habebimus, ut opinor, si nunc occidatur Aeneas*, — non sane *Olympium* illum Iovem, qui modo et ipsum Neptunum et deos ceteros in bellum misit (cf. vs. 20 sqq.), sed deum *Idaeum*, a quo Aeneam oriundum fuisse poeta ait (cf. vs. 215, 304). *Neptunus* autem, qui Aeneam servasse mox dicitur, ut *Venus* mater et *Apollo* in primo praelio E 312—345, strenuus passim per Iliadem est Troianorum adversarius. Cf. Z 433—439 Φ 446 sq.

*τόνδε κατακτείνῃ· μόριμον δέ ϝοί ἐστ' ἀλέασθαι,*
*ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται*
*Δαρδάνου, ὃν Κρονίδησ περὶ πάντων ᾽φίλατο παίδων,*
*οἳ ϝέθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.* 305ª cf. *E* 637
*ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·*
*νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσι ϝανάξει* 307 sq. cf. h. Ven. 197 sq.
*καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται.“*
*τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·* 309 = *A* 551
„*ἐνοσίγαι*, *αὐτὸσ σὺ μετὰ φρεσὶ σῇσι νόησον*
*Αἰνείαν*, *ἦ κέν ϝε ϝερύσσεαι ἦ κεν ἐάσησ.*
*ἦ τοι μὲν γὰρ νῶϊ πολῦσ ὠμόσσαμεν ὅρκουσ*
*πᾶσι μετ' ἀθανάτοισιν*, *ἐγὼ καὶ Παλλὰσ Ἀθήνη*, [sqq.
*μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ*, 315-318ª = Φ374
*μηδ' ὁπότε Τροίη μαλερῷι πυρὶ πᾶσ' ἀπόληται* 315ᵇ cf. *I* 251

312 *Πηλείδηι Ἀχιλῆϊ δαμήμεναι ἰσόθεον ἐόντα.* 312 cf. *X* 176

302. *μόριμον δέ* (*ϝ*)*οί* Harl.] *μόρσιμον δέ οἱ Ω* (metro invito), *τῶι μόρσιμον* vHerwerden. Cf. comment. || 303. *ὄφρα*] *ὥσ κε* Max. Tyr. XXVI 9. — *ἄσπερμοσ . . . καὶ ἄφαντοσ*] *ἄφαντοσ* (?) *. . . δμηθεντοσ* Ar. secundum schol. Par., *ἄσπερμοσ . . . μετόπισθεν* Max. Tyr. l. l. || 306. *ἤχθηρε*] *-αιρε* Aristoph. (cf. *P* 270). || 307 sq. Cf. comment. || 307. *Αἰνείαο βίη*] *-αο γένοσ* l. a. Strab. 608, *-ω γενεὴ* l. a. in A. — *Τρώεσσι(ν)*] *πάντεσσιν* l. a. Strab. 608 et l. a. in Δ; quae lectio debetur posteris ad Romanorum imperium haec referentibus: *cunctis dominabitur oris* Verg. Aen. III 97. || 308. *παίδων παῖδεσ*] *παῖδεσ παίδων* D¹ T. — *γένωνται*] sic legit Verg. (*nascentur* l. l. vs. 98), *λίπωνται* Syr. et olim „ *αἱ ἀπὸ τῶν πόλεων*“. || 311. *ϝε* Bekker] *μιν*. || 312. Habent C² G, om. Syr. A C D T L. In versu 311 *ἐάσησ* non *permittas* significat sed *relinquas* (cf. *E* 148 *Λ* 148 *Π* 731 *Υ* 456 *Ω* 71, 569, 684 *δ* 744). Similes quaestiones sunt *E* 848 *O* 473 *Ω* 558 *σ* 420. || 313. *πολῦσ* § 83] *πολεῖσ*. || 316 sq. Om. Syr., in marg. habuit archetypum codicis A. || 316. *ὁπότε* § 326] *ὁπότ' ἄν*. — *πᾶσ' ἀπόληται* Nauck] *πᾶσα δάηται Ω*, item *Φ* 375. Quod verbum et per se suspectum est (cf. § 176) et propter versum sequentem; *πᾶσα θέρηται* Axt (cf. *Z* 331 *Λ* 667 *ρ* 23).

302. μόριμον] haec adiectivi forma, qua Pindarus et Aeschylus sunt usi, apud H. non nisi hoc uno loco invenitur; ceteris est μόρσιμοσ. Cf. nota crit.

307 sq. Hi versus postmodo videntur esse inserti, nati autem esse quo tempore Aeneadae *Scepside* vel *Dardani* alibive ad oram Hellesponti regnabant (cf. Demetrius Scepsius, Aristarchi discipulus, apud Strab. 607 sq.). Vergilius, alteram lectionem πάντεσσιν pro Τρώεσσιν secutus, vertit: *hic domus Aeneae cunctis dominabitur oris* | *et nati natorum et qui nascentur ab illis* (Aen. III 97 sq.). — Cf. o 534 et de singulari ϝανάξει A 255. Aliam famam secutus recentior poeta Simmias — quem cum Parvae Iliadis poeta Lescha confudit Tzetzes ad Lycophr. 1232 et 1263 — Aeneam a Neoptolemo captivum in *Thessalia* abductum perhibuit (cf. schol. vet. ad Eur. Andr. 14 a Cobeto repertum, Eur. Phoen. ed. Geel p. 281).

310. ἐνοσίγαι'(ε)] § 21.

316. μαλερῶι] cf. I 242.

δαιομένη, δαίωσι δ' ἀρήϊοι υἷεσ Ἀχαιῶν."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων, 318 = ν 159
'βῆ ῥ' ἴμεν' ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχεϊάων, 319 cf. E 167
ἷξε δ' ὅθ' Αἰνείασ ἠδὲ κλυτὸσ ἦεν Ἀχιλλεύσ.
αὐτίκα τῶι μὲν ἔπειτα κατ' ὀφθαλμῶν ἔχε' ἀχλύν, 321b cf. E 696
Πηλεΐδηι Ἀχιλῆϊ, ὃ δὲ μελίην ἐΰχαλκον
ἀσπίδοσ ἐκϝέρυσεν μεγαλήτοροσ Αἰνείαο·
καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆοσ ἔθηκε,
Αἰνείαν δ' ἔσσευεν ἀπὸ χθονὸσ ὑψόσ' ἀείρασ. 325b cf. K 465 ϑ 375
πολλὰσ δὲ στίχασ ἡρώων, πολλὰσ δὲ καὶ ἵππων
Αἰνείασ ὑπερᾶλτο θεοῖ' ἀπὸ χειρὸσ ὀρούσασ,
ἷξε δ' ἐπ' ἐσχατιὴν πολυάϊκοσ πολέμοιο,
ἔνθα τε Καύκωνεσ πόλεμον μέτα 'θωρήσσοντο.
τῶι δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα·
„Αἰνεία, τίσ σ' ὧδε θεῶν ἀτέοντα κελεύει
ἀντία Πηλεΐωνοσ ὑπερθύμοιο μάχεσθαι, 333 = 88
ὅσ σέ' ἅμα κρείσσων καὶ φίλτεροσ ἀθανάτοισι;
ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήεαι αὐτῶι,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϝιδοσ εἰσαφίκηαι.
αὐτὰρ ἐπεί κ' Ἀχιλεὺσ θάνατον καὶ πότμον ἐπίσπηι, 337b = B 359
θαρσήσασ δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίσ σ' ἄλλοσ Ἀχαιῶν ἐξεναρίξει."
ὧσ ϝειπών ϝ' ἔλιπ' αὖθι, ἐπεὶ διεπέφραδε πάντα. 340b = ρ 590
αἶψα δ' ἔπειτ' Ἀχιλῆοσ ἀπ' ὀφθαλμῶν 'σκέδασ' ἀχλὺν

317. δαιομένη, δαίωσι] καιομένη, καίωσι A²; cf. Φ 376. ‖ 320. ἠδὲ Lips. L Gen.] ἠδ' ὁ Ω. ‖ 322—324. Ar. ——, cum vs. 279 pugnare ratus. ‖ 329. τε] δὲ Syr. C D (cf. Θ 48). ‖ 331. καί μιν φωνήσασ] τὸν καὶ νεικείων Rhianus, καί μιν νεικείων Zen. ‖ 332. ἀτέοντα] sic Ar., χατέοντα, ἀπεόντα, ἀέκοντα, ἀέκητι codd. nonnulli. ‖ 333. ἀντία Π. ὑπερθύμοιο A C] ἀντί' Ἀχιλλῆοσ πολεμίζειν ἠδὲ D T. ‖ 335. κεν] δὴ C D. — συμβλήεαι Dindorf] -βλήσεαι. Cf. ρ 472 Z 260 η 204 φ 15 et § 122, 258. ‖ 338. πρώτοισι] Τρώεσσι Syr. T. ‖ 340. ϝ'(ε)] add. Brandreth (λίπε ϝ').

320. ἷζε] *constitit*; cf. Γ 134 sq.
— ἦεν] de singulari numero cf. A 255.
321 sq. τῶι μὲν ... ὃ δὲ] cf. A 191.
323. Cf. vs. 280 sq.
327. θεοῖ'(ο)] § 59.
328 sq. Cf. K 429. Ea pars planitiei, quam ἐσχατιὴν πολέμοιο poeta nunc vocat, etiam μάχησ δεξιά dici poterat, Aeneae ceterorumque Troianorum habita ratione; cf. E 355.
332. ἀτέοντα] cf. vs. 166.
334. σε'(ο)] § 92.
336. ὑπὲρ μοῖραν] cf. P 327.
338. δὴ ἔπειτα] § 9.
340. αὖθι] § 322.

*θεσπεσίην· ὃ δ' ἔπειτα μέγ' ἐξέριδ' ὀφθαλμοῖσι,* [sq.
*ὀχθήσας δ' ἄρ' ἔειπε ποτὶ μεγαλήτορα θυμόν·* 343 sq. = *Φ* 53
„*ὤ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·* 343 = *Λ* 403; 344 = *N* 99
*ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονός, οὐδέ τι φῶτα*
*λεύσσω, τῶι ῥ' ἐφέηκα κατακτάμεναι μενεαίνων.*
*ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσι*
*ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάεσθαι.*
*ἐρρέτω! οὔ μοι θυμὸς ἐμεῖ' ἔτι πειρηθῆναι*
*ἔσσεται, ὅς καὶ νῦν 'φύγε χάσμενος ἐκ θανάτοιο.* 350b cf. *Δ* 63a
*ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας*
*τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών.*“ 352 cf. *Υ* 70
*ἦ, καὶ ἐπὶ στίχας ἅλτο, 'κέλευε δὲ φωτὶ ἑκάστωι·*
„*μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε, δῖοι Ἀχαιοί,*
*ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι.*
*ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμωι περ ἐόντι* 356 = *M* 410
*τοσσούσδ' ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι·*
*οὐδέ κ' Ἄρης, ὅς περ θεὸς ἄμβροτος, οὐδέ κ' Ἀθήνη*
*τοσσῆσδ' ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο!*
*ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε*
*καὶ σθένε', οὐκέτι φημὶ μεθησέμεν', οὐδ' ἢ βαιόν,*
*ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές· οὐδέ τιν' οἴω*
*Τρώων χαιρήσειν, ὅς τις σχεδὸν ἔγχεος ἔλθηι.“*
*ὣς 'φάτ' ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ* 364a = *M* 442
*'κέκλεθ' ὁμοκλήσας, φάτο δ' ἄντ' ἴμεναι Ἀχιλῆος·*

---

343. *ποτὶ*] *πρὸς ὃν Ω*. Cf. *Λ* 403. || 346. *ῥ'*(*ε*)] add. Brandreth. Deest obiectum *E* 206, adest *Λ* 51 *Φ* 170 al. || 350. *ὅς*] *ὡς* Harl. || 357. *τοσσούσδ'*] *τόσσους* A1H. || 359. *τοσσῆσδ* (*ε*)] *τόσσης* Syr. || 361. *οὐκέτι* Par.] *οὔ μ' ἔτι* vel *μέ τι Ω*; *οὐκέτι* coniecerat Naber, ad vulgatam enim defendendam parum valere *Ω* 134 *N* 269 *Ψ* 221. || 362. *μάλα στιχὸς*] *μάλ' ἂν στίχας* Barnes. — *οὐδέ τιν' οἴω*] **οὔ τιν' δίω* (cf. § 295)? || 363. *ἔγχεος*] *ἀντίος* L. || 365. **ἄντ' ἴμεναι*] *ἴμεναι ἄντ' Ω*, *ἂψ ἴμεν' ἄντ'* Nauck.

---

342. μέγ' ἔκριδεν ὀφθαλμοῖσι] comp. †, sed et Soph. Phil. 851 ἐξιδοῦ. Cf. Ψ 477 ὀξύτατον κεφαλῆσ ἔκ δέρκεται ὄσσε, Herod. Mim. IV 44 ὀρεῦσα καρκίνου μέζον, ibid. 64 ἐκβάλλειν τὰσ κούρασ, Straton. com. fr. $1^5$ προσβλέψασ μέγα. Late diductis oculis Achilles miraculum intuetur (nos: *groote oogen opzetten*).

348. ἦεν] cf. Γ 183.
— εὐχετάεσθαι] § 191.
349. ἐμεῖ'(ο)] § 92.
359. ὑσμίνησ ... στόμα] cf. K 8.
— ἐφέποι ... καὶ πονέοιτο] per parataxin dicta pro ἐφέποι ... πονεομένη, *quantovis labore superare possit.*
361. σθένε'(ϊ)] § 71.
— ἢ βαιόν] § 2.

„Τρῶες ὑπέρθυμοι, μὴ δέδϝιτε Πηλεΐωνα!
καί κεν ἐγὼ ϝεπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
ἔγχεῖ δ' ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι. 368ᵇ = *K* 557
οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοισ' ἐπιθήσει, 369ᵇ cf. *T* 107
ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούσει.
τῶι δ' ἐγὼ ἀντίοσ εἶμι, καὶ εἰ πυρὶ χεῖρε ϝέϝοικε·
εἰ πυρὶ χεῖρε ϝέϝοικε, μένοσ δ' αἴθωνι σιδήρωι."
ὣσ 'φατ' ἐποτρύνων, οἳ δ' ἀντίοι ἔγχε' ἄειραν 373ᵃ = *M* 442
Τρῶεσ· τῶν δ' ἅμυδισ 'μίχθη μένοσ, ὦρτο δ' ἀϋτή.
καὶ τότ' ἄρ' Ἕκτορ' ἔϝειπε παραστὰσ Φοῖβοσ Ἀπόλλων·
„Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε,
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώσ σ' ἠὲ βάλῃι ἠὲ σχεδὸν ἄορι τύψῃι." 378ᵇ cf. 462
ὣσ ἔφαθ', Ἕκτωρ δ' αὖτισ ἐδύσετο ϝουλαμὸν ἀνδρῶν
ταρβήσασ, ὅτ' ἄκουσε θεοῦ ϝόπα φωνήσαντοσ. 380ᵇ cf. *B* 182

## μάχη παραποτάμιοσ.

ἐν δ' Ἀχιλεὺς Τρώεσσ' ἔθορε, φρεσὶ ϝειμένοσ ἀλκήν,
σμερδαλέα ϝιϝάχων. πρῶτον δ' ἕλε Ϝιφιτίωνα,
ἐσθλὸν Ὀτρυντεΐδην, πολέων ἡγήτορα λαῶν,
ὃν Νύμφη 'τέκε Νηΐσ Ὀτρυντῆϊ πτολιπόρθωι
Τμώλωι ὕπο νιφόεντι, Ἴδησ ἐν πίονι δήμωι·
τὸν δ' ἰθὺσ μεμαῶτα 'βάλ' ἔγχεῖ δῖοσ Ἀχιλλεὺσ 386ᵃ = *Λ* 95
μέσσην κὰκ κεφαλήν, ἣ δ' ἄνδιχα πᾶσ' ἐκεάσθη. 387 = *Π* 412
'δούπησεν δὲ πεσών, ὃ δ' ἐπηύξατο δῖοσ Ἀχιλλεύσ· 388 cf. *Λ* 449
388ᵇ = *X* 330
„κεῖσ', Ὀτρυντεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν. 389ᵇ = *Λ* 146

---

370. κολούσει T Gen.] κολούει *Ω* (cf. *B* 436). || 371. τῶι A C[1]] τοῦ *Ω*. Cf. *H* 20 *O* 584 *Y* 422 *Φ* 150. || 371 sq. χεῖρε Bentley] -ρασ. || 373. ἔγχε' ἄειραν] ἔσταν Ἀχαιῶν l. a. in A. || 383 sq. Noviciae artis est Ὀτρ- syllaba correpta (cf. § 25); metro apta forent e. g.: Ὀτρυντῆοσ υἱόν et: ἀμύμονι Ὀτρυντῆϊ. || 385. Ἴδησ] sic Ar., Ἴλησ olim alii (cf. *E* 708 *H* 221). || 389. κεῖσ'(αι) Syr.] κεῖσαι *Ω* (cf. vs. 383 sq.).

---

370. κολούσει] *imperfectum relinquet.* Cf. Θ 408.

371 sq. εἰ πυρὶ χεῖρε ϝέϝοικε] cf. Λ 596 et de epanalepsi B 671—673.

372 (ϝέϝοικε) μένοσ... αἴθωνι σιδήρωι] cf. P 424.

375. Ἕκτορ' ἔϝειπε] cf. E 170.

389. πάντων ἐκπαγλότατ' ἀνδρῶν] irridentis haec sunt verba. *En iaces* — Achilles ait — *qui fortissimus mortalium tibi tuisque modo videbaris, deae videlicet filius!*

ἐνθάδε τοι θάνατος, γενεὴ δέ τοί ἐστ' ἐπὶ λίμνηι
Γυγαίηι, ὄθι τοι τέμενος πατρώϊόν ἐστι,
Ὕλλωι ἔπ' ἰχθυόεντι καὶ Ἕρμωι δινήεντι."
ὣς ἔφατ' εὐχόμενος, τὸν δὲ σκότος ὄσσε κάλυψε. 393ᵇ = Δ 461
τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροισ' ἐδατεῦντο
πρώτηι ἐν ὑσμίνηι· ὃ δ' ἐπ' αὐτῶι Δημολέοντα
ἐσθλὸν ἀλεξητῆρα μάχης, Ἀντήνορος υἱόν,
'νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρήϊου. 397ᵇ = M 183
οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι' αὐτῆς 398 cf. M 184
αἰχμὴ ῥιεμένη 'ρῆξ' ὀστέον, ἐγκέφαλος δὲ 399 sq. = M 185 sq.
ἔνδον ἅπας 'πεπάλακτο· 'δάμασσε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀΐξαντα, 401 cf. Δ 423
πρόσθε ϝέθεν φεύγοντα, μετάφρενον οὔτασε δουρί. 402 = E 56
αὐτὰρ ὃ θυμὸν ἄϊσθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
ἤρυγεν ἑλκόμενος Ϝελικώνιον ἀμφὶ ϝάνακτα
κούρων ἑλκόντων, — γάνυται δέ τε τοῖς' ἐνοσίχθων· —
ὣς ἄρα τόν γ' ἐρυγόντα 'λίπ' ὀστέα θυμὸς ἀγήνωρ. 406ᵇ cf. μ 414
αὐτὰρ ὃ 'βῆ σὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην. τὸν δ' οὔ τι πατὴρ εἴασκε μάχεσθαι,
οὕνεκά ϝοι μετὰ παισὶ νεώτατος ἦσκε γόνοιο,

---

393. ἔφατ' εὐχόμενος] φατ' ἐπευχ. Syr. G. || 394. ἐπισσώτροισ' ἐδατεῦντο] ἐπισσώτροισ (ὀπ. Syr. A cf. E 725) δατέοντο Ω. Cf. § 60 (7, 191) et Ψ 121 α 112. || 395. Δημολέοντα] sic Ar., Δηϊλέοντα olim alii. || 401. ἀΐξαντα A C] ἀΐσσοντα D T (ut Δ 423). || 409. παισί] πᾶσι D G H.

---

394. ἐπισσώτροισ'(ι)] cf. E 725.

— ἐδατεῦντο] *dividebant*, i. e. *lacerabant, conterebant*. Cf. Ψ 121 et α 48 (?).

398. ἔσχεθεν] cf. Π 340.

403—406. Dicitur nunc ἐρυγεῖν homo vel animal spiritum difficulter ducens; cf. ἐρύγμηλος tauri epitheton Σ 580. Praesens ἐρεύγεσθαι valet *eructari* (O 621 al.); de locutione θυμὸν ἄϊσθειν cf. O 252. Verbum ἕλκειν non *trahere* tantum nunc valet, sed *vellicare, vexare* (cf. X 65 Ψ 715); cultus igitur dei Heliconii id ferebat ut taurus non sic simpliciter mactaretur, sed *circum eius aram* prius tractus plurimis iniuriis acceptis interficeretur. *Neptunus Heliconius* ἐνοσίχθων — quem primitus terrestrem, non marinum deum fuisse testatur nomen, nam salva lingua nisi ab *Heliconis* montis nomine duci id non potuit — aliquot hominum aetatibus post colebatur *Mycalae* (Herodot. I 148 Strab. 384). Cf. Neptunus *Onchesti* (haud procul ab Helicone) cultus B 506.

407. *Polydorus* Priami ex Laothoë filius fuit, frater Lycaonis (cf. Φ 85—91). Aliam famam secuti posteri Hecubae filium fecerunt, post Troiae excidium a Polymestore rege Thracio interemtum (cf. Eur. Hecuba).

καί ϝοι φίλτατος ἦσκε, πόδεσσι δὲ πάντας ἐνίκα·
δὴ τότε νηπιέηφι, ποδῶν ἀρετὴν ἀναφαίνων,
Θῦνε διὰ προμάχων, ἧος φίλον ὤλεσε θυμόν. 412 = Λ 342
τὸν βάλε μέσσον ἄκοντι ποδάρκησ δῖος Ἀχιλλεὺς 413ª cf. 486
νῶτα παραΐσσοντα, ὅθι ζωστῆροσ ὀχῆεσ 414ᵇ sq. = Λ 132 sq.
χρύσειοι σύνεχον καὶ διπλόοσ ἵντετο θώρηξ·
ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεοσ αἰχμή, 416ª = Ε 100
γνὺξ δ' ἔριπ' οἰμώξασ, νεφέλη δέ μιν ἀμφεκάλυψε 417 cf. Ε 68
κυανέη, προτὶ ϝοὶ δὲ λάβ' ἔντερα χερσὶ λιασθείσ.

Ἕκτωρ δ' ὡσ ἐνόησε κασίγνητον Πολύδωρον
ἔντερα χερσὶν ἔχοντα λιαζόμενον προτὶ γαίηι,
κάρ ῥά ϝοι ὀφθαλμῶν κέχυτ' ἀχλύσ· οὐδ' ἄρ' ἔτ' ἔτλη 421ª cf. Ε 696ᵇ
δϝηθὰ μεκὰσ στροφάεσθ', ἀλλ' ἀντίοσ ἦλθ' Ἀχιλῆϊ
ὀξὺ δόρυ κραδάων, φλογὶ ϝείκελοσ. αὐτὰρ Ἀχιλλεὺς 423ª = Ν 583
ὡσ ἔϝιδ', ὥσ ἀνέπαλτο καὶ εὐχόμενοσ ϝέποσ ηὔδα· 424ª cf. Ξ 294
„ἐγγὺσ ἀνὴρ ὃσ ἐμόν γε μάλιστ' ἐπεμάσσατο θυμόν, 425ᵇ cf. Ρ 564
ὅσ μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδέ κ' ἔτι δϝὴν
ἀλλήλουσ πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρασ." 427ᵇ = Θ 378
ἦ, καὶ ὑπόδρα ϝιδὼν προσεφώνεεν Ἕκτορα δῖον·
„ἆσσον ἴθ', ὥσ κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι!" 429 = Ζ 143

411. νηπιέηφι § 46] νηπιήησι Ω. || 414. παραΐσσοντα T H] -ντοσ Ar. Ω (υῖ ζ 157 al.). Cf. Α 430 et Ι 635 sq. || 415. θώρηξ] *χαλκόσ? Cf. comment. ad Δ 133. || 421. 'κέχυτ' ἀχλύσ] κέχυτο χλόοσ (*pallor*) Syr. L, item Apoll. Rhod. (cf. Arg. IV 1279), etiamne Callimachus (cf. Oxyrh. 1011 vs. 12)? Quae vox neque in carminibus Hom. extat neque huic versui apta est. Nauck ἀχλὺσ χύτο (cf. § 3). || 422. ὀϝηθὰ Bentley] ὀηρὸν. Cf. Ξ 110. — Ἀχιλῆϊ Syr. A C] -οσ D T. || 424. ἀνέπαλτο] ἀνέαλτο? Cf Θ 85. || 425. ἐπεμάσσατο Vat.] ἰσεμ. Ω. Cf. Ρ 564. || 426. οὐδέ κ' § 326] οὐδ' ἄν Ar. L, οὐδ' ἄρ' Ω.

411. δὴ τότε] cf. Ν 441.

412. ἧος] § 326.

414 sq. Cf. Δ 133.

416. Cf. Ε 100.

418. κυανέη] § 21.

— λιασθείσ] *in vulnus incurvatus.*

419. κασίγνητον] ab eodem quidem patre sed ex alia matre genitum (cf. Φ 91 et Γ 238).

420. ἔντερα χερσὶν ἔχοντα] item Xenophon militem, qui intestina per ventris vulnus prolabentia manibus comprimere conatur, τὰ ἔντερα ἐν ταῖσ χερσὶν ἔχειν dixit Anab. II 5 § 33. Cf. etiam Tyrtaei locus, qui ad X 69—76 est laudatus.

421. οὐδ'... ἔτ' ἔτλη] quod iusserat Apollo (vs. 376—378).

422. στροφάεσθ'(αι)] § 191 et 248.

423. φλογὶ ϝείκελοσ] cf. quae ad Λ 596 sunt annotata.

425. ἐπεμάσσατο] cf. Ρ 564.

427. πτολέμοιο γεφύρασ] cf. Δ 371.

429. ὀλέθρου πείραθ'(-τα)] cf. Ν 359.

τὸν δ' οὐ ταρβήσασ προσέφη κορυθαίολος Ἕκτωρ· 430 cf. *E* 286
„Πηλεΐδη, μὴ δή με ϝέπεσσι γε νηπύτιον ὣς 431-433 = 200 sqq.
ϝέλπεο δεδϝίξεσθαι, ἐπεὶ σάφα ϝοῖδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ' αἴσιμα μυθήσασθαι.
ϝοῖδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων. 435 = *P* 514
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
αἴ κέ σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθε."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ· καὶ τό γ' Ἀθήνη 438 cf. *Γ* 355
πνοιῇι Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο,
ἦκα μάλα ψύξασα· τὸ δ' ἆψ ἵκεθ' Ἕκτορα δῖον,
αὐτόθι δὲ προπάροιθε ποδῶν ᾽πέσεν. αὐτὰρ Ἀχιλλεὺς 441ᵃ = *π* 344
441ᵇ sq.ᵃ = 283 sq.
ἐμμεμαὼς ἐπόρουσε, κατακτάμεναι μενεαίνων, 442 cf *Γ* 379 *E* 436
σμερδαλέα ϝιϝάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων 443ᵇ cf. *Γ* 380
ῥεῖα μάλ', ὥς τε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῆι. 444 = *Γ* 381
τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκησ διΐος Ἀχιλλεὺς 445ᵃ = *E* 436
ἔγχεϊ χαλκείωι, τρὶς δ' ἠέρα τ'ύψε βαθεῖαν.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ϝῖσος, [sq. 447 sq.ᵃ = *E* 438
δϝεινά ϝ' ὁμοκλήσασ ϝέπεα πτερόεντα προσηύδα· 448 = *Π* 706
„ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι 449-453 = *Λ* 362 sqq.
ἦλθε κακόν! νῦν αὖτέ σ' ἐρύσατο Φοῖβος Ἀπόλλων,
ὧι μέλλεισ εὔχεσθαι ἰὼν εἰσ δοῦπον ἀκόντων.
ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσασ,

---

433. αἴσιμα] cf. vs. 202. || 442. ἐμμεμαὼς] cf. vs. 284. || 447. Habent A C G, in marg. D, om. Ω; et melius fortasse abest, nam alia est versuum par. ratio. Si omittitur, in vs. 448 δ' est servandum. || 448. ϝ'(ε) Brandreth] δ'.

---

431. με ϝέπεσσι] μ' ἐπέεσσι Ω.

435. θεῶν ἐν γούνασι κεῖται] cf. Z 92.

437. πάροιθε] *in fronte, a parte antica* (cuspide).

438—444. Neptunus cum Aeneam Achilli ceteris dis haud invitis eripuit, non violavit id quod pacto convenerat (cf. vs. 136—140 et 291—327); iam vero Minerva sua sponte opem fert Achilli, Apollo Hectori, mox Iuno Troianis fugientibus obiciet nubem impenetrabilem (Φ 6 sq.), Achilli autem se opponet Scamander fluvius, hunc Iunonis iussu aggressurus est Vulcanus, et sic inter cuncta numina efflagrabit pugna, quae ne fieret cavere voluerat Neptunus (cf. Φ 385).

439 sq. Oris flatu dea hastam ab Achille facile reppulit; cf. Δ 130—134 et E 853 sq. — Genitivus Ἀχιλλῆος adverbio πάλιν nunc subiungitur; cf. Σ 138.

441. αὐτόθι] § 322.

446. ἠέρα ... βαθεῖαν] cf. vs. 150 et E 749—751.

452. ἐξανύω] § 147.

εἴ ποθί τισ καὶ ἐμοί γε θεῶν ἐπιτάρροθόσ ἐστι.
νῦν δ' ἄλλουσ Τρώων ἐπιϝίσομαι, ὅν κε κιχήω." 454 cf. Λ 367
ὣσ ϝειπὼν Δρύοπ' οὗτα κατ' αὐχένα μέσσον ἄκοντι·
ἤριπε δὲ προπάροιθε ποδῶν. ὃ δὲ τὸν μὲν ἔασε,
Δημόοχον δὲ Φιλητορίδην ἠῢν τε μέγαν τε
κὰγ γόνυ δουρὶ βαλὼν ἠρύκακε· τὸν μὲν ἔπειτα
οὐτάζων ξίφεϊ μεγάλωι ἐξέκινυτο θυμόν.
αὐτὰρ ὃ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντοσ,
ἄμφω ἐφορμηθεὶσ ἐξ ἵππων ὦσε χαμᾶζε, 461b cf. Ε 835
τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψασ. 462b cf. 378
Τρῶα δ' Ἀλαστορίδην, — ὃ μὲν ἀντίοσ ἦλυθε γούνων,
εἴ πώσ ϝεν πεφίδοιτο λαβὼν καὶ ζωιὸν ἀφείη
μηδὲ κατακτείνειεν ὀμηλικίην ἐλεήσασ,
νήπιοσ, οὐδὲ τὸ 'ϝείδε' ὅ ϝ' οὐ πείσεσθαι ἔμελλε· 466 = γ 146
οὐ γάρ τι γλυκύθυμοσ ἀνὴρ ἦεν οὐδ' ἀγανόφρων, 466a cf. Β 38
ἀλλὰ μάλ' ἐμμεμαώσ. ὃ μὲν ἅπτετο χείρεσι γούνων
ϝιέμενοσ λίσσεσθ', ὃ δὲ φασγάνωι οὗτα καθ' ἧπαρ·
ἐκ δέ ϝοι ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
κόλπον ἐνέπλησεν, τὸν δὲ σκότοσ ὄσσ' ἐκάλυψε 471b = Λ 461
θυμοῦ δευόμενον. ὃ δὲ Μούλιον οὗτα παραστὰσ

454. δ' ἄλλουσ Τρώων] δ' ἄλλουσ Τρῶασ L, αὖ τοὺσ ἄλλουσ l. a. in A (ut Λ 367). — ἐπιϝίσομαι § 201] ἐπιείσομαι. || 464. ϝεν] οἱ L (cf. Ι 377); novicium est ϝεν (cf. § 92), dativo autem non est locus, neque ϝεό πωσ scribi sinit ordo quo collocari solent enclíticae (cf. § 329). || 466. *ϝ'(οι)] addidimus. || 467. τι] τισ et ἔτι l. a. in A. || 468. χείρεσι γούνων] *χεροὶ γενείου? Cf. § 64. || 471. ἐνέπλησεν] -πρησεν Ar. Philoxenus T H (cf. Β 415 Ι 242). || 472. Μούλιον] cf. Λ 739.

453. ποθι] § 322.

454. κιχήω] § 122.

457. Δημόοχον] -οῦχον Ω.

460—463. In fabulis Iliade antiquioribus *Dardanum* et *Troëm dei Ultoris filium* sive ipsos gentis eponymos adversus Achillem aliumve heroëm Troiam invadentem pugnasse facile credimus: nunc Troianorum quibusdam principibus ea nomina tribui miramur. In proxima vicinia etiam *Deucalion* (vs. 478) et *Areithous* (vs. 487), quae nomina in *Achivorum* priscis fabulis clara fuerunt, Troianis quibusdam tributa miros nos habent.

462. *Hunc venientem cuspide longa, | hunc mucrone ferit* Verg. Aen. XII 510 sq.

464. λαβὼν] cf. Λ 106.

467. γλυκύθυμοσ] †. Irrisionem habet hoc compositum, ut nostrum *zoetsappig*; nam γλυκέα poeta dicit quae *dulcis* sunt *saporis*, hinc i. u. quae *grata*. Achillis θυμόν sive χόλον Tros experturus erat μάλα πικρόν.

— ἦεν] § 302.

470 sq. *Implevitque sinum sanguis* Verg. Aen. X 819. Prolabitur iecur, et sanguine inde effuso turget tunicae pars inferior, quam cohibet cingulum.

δούρ' οὖας· εἶθαρ δὲ δι' οὔατος ἦλθ' ἑτέροιο
αἰχμὴ χαλκείη. ὃ δ' Ἀγήνορος υἱὸν Ἔχεκλον
μέσσην κὰκ κεφαλὴν ξίφε' ἥλασε κωπήεντι, 475ᵇ cf. Π 332
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε 476 sq. = Π 333 sq.
ἕλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχουσι τένοντε
ἀγκῶνος, τῇι τόν γε φίλησ διὰ χειρὸς ἔπειρε
αἰχμῆι χαλκείηι. ὃ δέ μιν 'μένε χεῖρα βαρυνθείς,
πρόσθ' ὁράων θάνατον· ὃ δὲ φασγάνωι αὐχένα θείνας
τῆι' αὐτῆι πήληκι κάρη 'βάλε, μυελὸς αὖτε
σφονδυλίων ἔκπαλθ', ὃ δ' ἐπὶ χθονὶ 'κεῖτο τανυσθείς.
αὐτὰρ ὃ 'βῆ ῥ' ἴμεναι μετ' ἀμύμονα Πειρόου υἱόν, 484 cf. K 78
Ῥίγμον, ὃς ἐκ Θρηΐκης ἐριβώλακος εἰληλούθει· 485 cf. E 44
τὸν 'βάλε μέσσον ἄκοντι, 'πάγη δ' ἐν νηδύϊ χαλκός, 486ᵃ cf. 413
ἤριπε δ' ἐξ ὀχέων. ὃ δ' Ἀρηΐθοον θεράποντα, 486ᵇ cf. Δ 528
ἄψ ἵππους στρέψαντα, μετάφρενον ὀξέϊ δουρὶ
'νύξ', ἀπὸ δ' ἅρματος ὦσε· 'κυκήθησαν δέ ϝοι ἵπποι.
ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντηι τε κλονέων ἄνεμος φλόγα ϝειλυφάζει,
ὣς ὅ γε πάντηι ἔθυνε σὺν ἔγχεϊ, δαίμονι ϝῖσος,
κτεινομένους ἐφέπων· 'ῥέε δ' αἵματι γαῖα μέλαινα. 494ᵇ = O 715
ὡς δ' ὅτε τισ ζεύξηι βόασ ἄρσενασ εὐρυμετώπους

473. *δούρ' (δουρὶ) οὖασ] δουρὶ παρ' (vel κατ') οὖσ Ω, δουρὶ κατ' οὖασ· ἄφαρ Knight. Cf. § 72 et Δ 109. || 478. ἔπειθ', ἵνα τε] ἔπειτα, ἵνα Nauck. — τένοντε D¹] -ντοσ Ω. Cf. Π 587. || 479. φίλησ ... ἔπειρε] μέσησ ... ἔλασσεν Syr. || 480. αἰχμῆι χαλκείηι] -μὴ -η Syr. D. || 481. πρόσθ'(ε)] Zen. „χωρὶσ τοῦ θ'" (προσορόων, cf. § 21). || 484. Πειρόου Brandreth] Πείρεω Ar. Ω, Πείρεωσ Zen. (invitis numeris; cf. § 2). Cf. B 844 Δ 520, 525. || 485. Ῥίγμον] Ῥίγμον'(α) quidam olim. |, 486. νηδύϊ] πνεύμονι Syr. A C (ut Δ 528); cf. vs. 413-416 et N 397 sq. || 494. κτεινομένους] στεινομένους Bothe (cf. Ξ 34), κτείνων τοὺσ Axt (cf. Δ 177 sq.).

475. ξίφε'(ϊ)] § 71.
478. ξυνέχουσι] cf. Δ 133.
481. ὁράων] § 191.
483. ἔκπαλθ'(-το)] cf. O 645.
484. ἴμεναι] § 125.
485. Θρηΐκησ] § 17.
490—503. Duae deinceps iunguntur comparationes; neutra tamen libenter careamus, neque locis de quibus B 144—154 sermo fuit hic videtur esse accensendus. Cum priore comparatione cf. Λ 155—157 et 596.
490. ἀναμαιμάει] § 190.
492. Imitatur Verg. Georg. II 310 sq.
494. κτεινομένους ἐφέπων] cf. Λ 177 sq.
495—503. *Pedes* modo pugnabat

τριβέμεναι κρῖ λευκὸν ἐΰ κτιμένηι ἐν ἀλωιῆι, 496b = Φ 77ω226 cf. ω 336
ῥίμφα τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσσ' ἐριμύκων,
ὥς ὑπ' Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
'στείβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων 499b-502a = Λ 534 sqq.
νέρθεν ἅπας 'πεπάλακτο καὶ ἄντυγες, αἳ περὶ δίφρον,
ἂς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον
αἵ τ' ἀπ' ἐπισσώτρων. ὃ δ' ἐρίετο κῦδος ἀρέσθαι
Πηλεΐδης, λύθρωι δὲ 'παλάσσετο χεῖρας ἀάπτους. 503 cf. Λ 169

Φ ἀλλ' ὅτε δὴ πόρον ἵξον ἐϋρρεέος ποταμοῖο, 1 sq. = Ξ 433 sq.
Ξάνθου δινήεντος, ὃν ἀθάνατος 'τέκετο Ζεύς,
ἔνθα διατμήξας τοὺς μὲν πεδίονδ' ἐδίωκε 3 cf. γ 291
πρὸς πόλιν, ἦι περ Ἀχαιοὶ ἀτυζόμενοι 'φοβέοντο 4 cf. Ζ 41
ἤματι τῶι προτέρωι, ὅτ' ἐμαίνετο φαίδιμος Ἕκτωρ· —
τῆι ῥ' οἵ γε προχέοντο πεφυζότες, ἠέρα δ' Ἥρη

---

496. ἐΰ κτιμένηι] ἐϋτροχάλωι Syr. G (ut Hes. Op. 599). || 501. ἱππείων ὁπλέων] cf. Λ 536. || 502. ἐπισσώτρων] ὀπ. Syr. (cf. Ε 725). || 1. πόρον] ῥόον Aristoph. || 2. ἀθάνατος] -τον Zen. (item Β 741). || 4. Ἀχαιοὶ Syr. A] οἱ ἄλλοι Ω (ut Ζ 41 Φ 554).

---

Achilles (cf. vs. 472, 484), sed fugientes ut assequeretur, currum iam conscendit. Quae res quoniam mente suppleri facile potuit, sic enim solebant heroës Homerici, a poeta verbis non est indicata (cf. Ο 352).

497. λέπτ' (λεπτὰ)] priscam vim (= λελεπισμένα) adi. verbale hic servavit.

500. Cf. Λ 535.

502. ἐπισσώτρων] cf Ε 725.

1. De Scamandri vado cf. Ξ 433. — ἐϋρρεέος] § 73.

2. Cf. Ξ 434.

3. διατμήξας... ἐδίωκε] Achilles Troianos per planitiem urbem versus fugientes longius nunc persecutus esse non dicitur, sed quod poeta vult hoc est: altera pars Troianorum recta urbem petivit, altera urgente Achille dextrorsum deflexit, dein cum ad ripam Scamandri pervenisset, hunc per vadum traicere conata est, ut in montium saltus posset se conicere; idem igitur quod Antenor mox facere voluit, non tamen fecit (cf. vs. 558—561). Cuius vadi spatium quoniam multo erat angustius quam quod omnes qui simul illuc ruebant recipere posset, multi fugientium de ripae praeruptae saxis (cf. vs. 26) in ipsum fluminis alveum inciderunt. Cf. similis clades Troianorum a Patroclo ex Achivorum castris fugatorum Π 367—369.

6 sq. Iis qui urbem versus fugiebant non multo melius fuit, his enim Iuno adversaria inexorabilis obiecit nubium molem densissimam, solidam, ἄρρηκτον (cf. Ε 749—751 Υ 150), ita ut ad urbem pervenire nequirent. Achillis igitur nunc ad eos nondum attendentis impetum manere hi quoque sunt coacti. Sic poeta cavit ne incredibilia mox narrare videretur.

6. πεφυζότες] § 237.

'πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν'· — ἡμίσεες δὲ
εἰς ποταμὸν 'ϝέλλοντο βαθύρροον ἀργυροδίνην,
ἐν δ' ἔπεσον μεγάλωι πατάγωι, 'βράχε δ' αἰπὰ ῥέεθρα,
ὄχθαι δ' ἀμφὶ περὶ μέγ' ἐξίαχον, οἳ δ' ἀλαλητῶι
ἔννεον ἔνθα καὶ ἔνθα, ϝελισσόμενοι κατὰ δίνας.
ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
φευγέμεναι ποταμόνδε, — τὸ δὲ φλέγει ἀκάματον πῦρ
ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ' ὕδωρ, — 14ª = *P* 738
ὣς ὑπ' Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
'πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵπποιν τε καὶ ἀνδρῶν. 16ᵇ cf. *Λ* 525 *Ψ* 242
αὐτὰρ ὁ διογενὴς δόρυ μὲν 'λίπεν αὐτόθ' ἐπ' ὄχθηι
κεκλιμένον μυρίκηισιν, ὃ δ' εἴσθορε δαίμονι ϝίσος,
φάσγανον οἶον ἔχων, — κακὰ δὲ φρεσὶ 'μήδετο ϝέργα, — 19ᵇ = *Ψ* 176
'τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὦρνυτ' ἀϝεικὴς 20 sq. cf. *K* 483 sq.
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.
ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
φεύγοντες πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου,
δεδϝιότες, — μάλα γάρ τε κατεσθίει ὅν κε λάβηισι, — 24 cf. *Γ* 25
ὣς Τρῶες ποταμοῖο κατὰ δϝεινοῖο ῥέεθρα
'πτῶσσον ὑπὸ κρημνούς. ὃ δ' ἐπεὶ 'κάμε χεῖρας ἐναίρων, 26ᵇ cf. *φ* 150

---

8. 'ϝέλλοντο § 265] εἰλεῦντο. || 10. μέγ' ἐξίαχον] μεγάλ' ἴαχον *Ω*. Cf. *A* 482. || 11. ἔννεον] νήχοντ' olim „ἔνιαι τῶν κατὰ πόλειο". — κατὰ] περὶ A C (ex Σ 372 desumtum?). Cf. Φ 353. || 18. εἴσθορε] ἔνθορε D; cf. *M* 462. || 22. ἄλλοι] *ἴλλοι? Hes. Scut. 212 delphini persequuntur ἔλλοπας ἰχθῦς; praeterea cf. Soph. Ai. 1297 et fr. Titanomachiae Athen. 277 *d*. Non tamen improbanda est vulgata; cf. comment.

---

7. 'πίτνα] § 195.

9. μεγάλωι πατάγωι] cf. B 149.

— αἰπὰ ῥέεθρα] *fluctus* ipsis *imminentes, quibus mergebantur*; cf. Θ 369.

10. ἀλαλητῶι] cf. B 149.

11. ἔννεον] verbi ἐννέειν imperfectum; cf. § 27. Quod ἔν 'νέον non male scripserit quispiam; adverbii enim vim servavit ἔν.

12—16. Achilles φλογὶ ϝείκελος (cf. Υ 490—493 et Λ 596) irruens Troianos in fluminis undas trudit veluti agmen locustarum fumo fugatarum.

12. ὑπὸ] § 315.

15. βαθυδινήεντος] cf. A 607.

17. αὐτόθ'(ι)] § 322.

21. αἵματι ὕδωρ] § 15.

22. *Delphines* ab hominibus solam speciem secutis piscibus accensentur, *anguillae* autem anguibus vel vermibus (cf. vs. 203). De adi. quod est μεγακήτης cf. Θ 222, cum verbis ἰχθύες ἄλλοι cf. ὄρνεον ἄλλο N 64.

26. Verbi ἐναίρειν obiectum (φῶτας vel ἄνδρας) mente nunc supplendum est. Qua re in errorem inductus Hermodorus rhapsodus olim iunxit verba χεῖρας ἐναίρων, pessime interpretatus videlicet χειροκοπῶν sive *manus hostium truncans*.

ζωιοὺσ ἐκ ποταμοῖο δυώδεκα ᾽λέξατο κούρουσ,
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντοσ.
τοὺσ ἐξῆγε θύραζε τεθνηπότασ ἠΰτε νεβρούσ, 29ᵇ cf. Δ 243
᾽δῆσε δ᾽ ὀπίσσω χεῖρασ ἐΰ τμητοῖσιν ἱμᾶσι, 30ᵇ = Κ 567
τοὺσ αὐτοὶ ᾽φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσι,
᾽δῶκε δ᾽ ἑταίροισιν κατάγειν κοίλασ ἐπὶ νῆασ. 32 cf. Ε 26
αὐτὰρ ὃσ ἄψ ἐπόρουσε δαΐξέμεναι μενεαίνων. 33ᵃ = Γ 379

ἔνθ᾽ υἱὶ Πριάμοιο συνήντετο Δαρδανίδαο
ἐκ ποταμοῦ φεύγοντι Λυκάονι, τόν ῥά ποτ᾽ αὐτὸσ
ἦγε λαβὼν ἐκ πατρὸσ ἀλωιῆσ οὐκ ἐθέλοντα,
ἐννύχιοσ προμολών. ὃ δ᾽ ἑρινεὸν ὀξέϊ χαλκῶι

33. ὃσ § 15] ὃ Ω, αὐτὸσ δ᾽ αἶψ᾽ olim quidam (cf. H 272). — δαΐξέμεναι] sic Ar., κατακτάμεναι (ut Υ 442) G et l. a. in A. ‖ 34. υἱὶ Cant. Z] υἱεῖ Ω. Cf. § 78 et Π 177. ‖ 37. ἑρινεὸν] -νεοῦ Bentley.

27—32. Imitatur Verg. Aen. X 517—519. De re cf. Σ 337.

30 sq. *Lora* poeta nunc dicit *balteos* clipeorum et gladiorum (cf. Sophocles in nota ad X 397). Tunicae epitheton στρεπτόσ redit E 113.

— παρθένοσ ἠΐθεόσ τ'! — ὀαρίζετον ἀλλήλοιιν.
βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν', ὅττι τάχιστα
εἰδομεν ὁπποτέρωι κεν Ὀλύμπιοσ εὖχοσ ὀρέξηι."
ὣσ ὥρμαινε μένων· ὃ δέ οι σχεδὸν ἦλθεν Ἀχιλλεὺσ 131 cf. Φ 64

---

121 κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸσ ἐέργει, 121 cf. Σ 512

---

120. δάσεσθαι schol. T] -σασθαι Ω Cf. vs. 118 (et Σ 511). ‖ 121. Ex Σ insertum, post vs. 118 molestum, om. pap. Hib. 22 A D. ‖ 122. τίη] sic Ar., quidam olim τί δή. ‖ 124. κτενέει] κτανέει Apoll. lex. (cf. § 269). ‖ 126. In pap. Heid. additur: [ὥσ ἄμοτον πολέ]μοιο μεμαότα ὀακρυόεντοσ (suppl. Gerhard). ‖ 129. ὅττι] ὄφρα l. a. in A (nt N 326). Lectionem vulgatam tuentur X 450 Ψ 71 (γ 18). — Post τάχιστα non esse interpungendum docent numeri Ψ 71; praeterea cf. Δ 193. ‖ 130ᵇ. Pap. Heid.: Κρονίδησ Ζεὺσ κῦδοσ ὀρέξηι. ‖ 131. δέ ϝοι] δ' ἄρα pap. Heid.

---

*a senioribus iuratum*, quoniam iuniorum mentes non satis sunt firmae. Cf. Menelai verba Γ 108 et de adiectivo γερούσιοσ Δ 259.

123. *Ne supplex* (cf. Ξ 260) *ad eum accedam equidem, ille autem aurem praebere nolit*: hoc dicturus erat Hector (cf. Φ 563 sq.), sed verborum structura mutata id quod minime etiam dubium ei videtur sic enuntiat: *at aurem ille non est praebiturus!*

124 sq. γυμνὸν . . . ἐπεί κ' ἀπὸ τεύχεα δύω] cf. vs. 111 sq. et Φ 50.

126—128. *Nunc non ex tuto et verbis innocuis colloquium est habendum!* Verbis οὐκ ἀπὸ δρυὸσ οὐδ' ἀπὸ πέτρησ indicatur sedes puellae, ubi tuta sit a iuvenis temeritate; ἀπό igitur praepositio id quod Δ 514 al. valet. Non enim videtur agnoscenda h. l. locutio proverbialis *fabellas aniles* significans, cum nostro *over koetjes en kalfjes* (μῦσ καὶ γαλᾶσ Ar. Vesp. 1185) conferenda, in qua ἀπό valeat *exorsum ab* (cf. ἔνθεν θ 500), licet sic interpretentur scholia: „οὐκ ἔστιν ἀρχαῖα μυθολογεῖν τῶι Ἀχιλλεῖ νηπίων δίκην" et necessario sic interpretanda sint verba Hesiodi Theog. 35: ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην; = *sed quid nugor?* Aliena igitur a nostro loco videtur prisca fabula, quae fuit de gentis humanae origine (cf. τ 163).

128. Cum risu amaro verba „*puella et iuvenis*" Hector iterat, laeti temporis pridem acti subito nunc memor. De epanalepsi cf. B 671—673.

129. ἔριδι ξυνελαυνέμεν'(αι)] *manus conserere*. Verbum intransitivum † (trans. Υ 134 al.); cf. ξυνάγειν Ἄρηα et similia B 381 et de eliso -έμεν'(αι) § 125.

— ὅττι τάχιστα] superlativi vis voce ὅττι non nisi h. l. apud H. augetur.

130. ϝείδομεν] cf. Ζ 340.

ϝἶσοσ Ἐνυαλίωι κορυθάϊκι πτολεμιστῆι,
σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
δϝεινήν· ἀμφὶ δὲ χαλκὸσ ἐλάμπετο ϝείκελοσ αὐγῆι
ἢ πυρὸσ αἰθομένοιο ἢ ἠελίοιο ἀνιόντοσ. 135b = Θ 538a
Ἕκτορα δ', ὡσ ἐνόησεν, ἕλε τρόμοσ· οὐδ' ἄρ' ἔτ' ἔτλη 136b cf. T 14
αὖθι μένειν, ὀπίσω δὲ πύλασ ἐλίπε, βῆ δὲ φοβηθείσ.
Πηλεΐδησ δ' ἐπόρουσε ποδὶ κραιπνοῖσι πεποιθώσ· 138b = Z 505
ἠΰτε κίρκοσ ὄρεσφιν, ἐλαφρότατοσ πετεηνῶν, 139 cf. ν 87
ῥηϊδίωσ ὤιμησε μετὰ τρήρωνα πέλειαν, —
ἣ δέ θ' ὕπαιθα φοβεῖται, ὃ δ' ἐγγύθεν ὀξὺ λελιηκὼσ
ταρφέ' ἐπαΐσσει, ἑλέμεν τέ ϝε θυμὸσ ἀνώγει, —
ὣσ ἄρ' ὅ γ' ἐμμεμαὼσ ἰθὺσ πέτετ', ἔτρεσε δ' Ἕκτωρ
τεἰχοσ ὕπο Τρώων, λαιψηρὰ δὲ γούνατ' ἐνώμα. 144a cf. P 404
οἳ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα 144b = K 358
τείχεοσ αἰὲν ὑπ' ἐκ καθ' ἁμαξιτὸν ἐσσεύοντο,
κρουνὼ δ' ἵκανον καλλιρρόω, ἔνθα τε πηγαὶ

133—135. Om. pap. Heid, eosdem post vs. 316 add. || 134. *χαλκὸσ*] cf. comment. || 138. *ποσὶ κραιπνοῖσι*] *-σιν ταχέεσσι* pap. Heid. || 140. *ῥηϊδίωσ ὤιμησε*] *καρπαλίμ[ωσ] ὥρμησε* pap. Hib. 22. || 143. *γ' ἐμμεμαὼσ*] cf. N 785. || 144. *τεῖχοσ*] *τείχει* A² C. || 145. *ἠνεμόεντα*] *-εσσαν* A². || 147. *τε* Hermann] *δὲ*. Cf. Θ 48.

132. Ἐνυαλίωι] cf. P 210.

— κορυθάϊκι] †, = κορυθαιόλωι Υ 38.

133. Πηλιάδα μελίην] cf. Π 143 sq.

134 sq. Cf. vs. 26—32 et E 4—8. Vox χαλκόσ solamne *hastam* Achillis spectat? An χρυσόσ fuit olim? Cf. vs. 32.

135. αἰθομένοι'(ο) et ἠελίοι'(ο)] § 59.

— ἀνιόντοσ] significatur *color ruber* solis surgentis *et velut minax caput supra horizontem attollentis.*

139—144. Cf. P 755—759 et Φ 493—496. Imitatur Verg. Aen. XI 721 sqq.

141. ὕπαιθα] cf. Φ 493.

145. De *specula* cf. B 792—794, de *caprifico* Z 433.

146. Viam ἁμαξιτὸν (†) sequuntur haud procul a moenibus urbem circumeuntem.

147—166. Fluvius *Scamander* (hodie *Mendere*) haud procul ab origine augetur undis duorum fontium lateri Idae montis acclinium, quorum alter altero est multo tepidior. Cuius rei notitiam ad poetam pervenisse videmus. Sed *prope urbem* hos fontes fuisse cum ait, locorum situm aut sciens neglexit — id quod veri parum simile, quoniam nullum splendorem carmini addit horum fontium mentio, — aut satis cognitum non habuit. Nempe in mente poetae confluxerunt duae fabulae sive duae notiones duaeque locorum imagines, ad eandem rem pertinentes, sed inter se discrepantes. Quarum altera Hectorem *circum urbem* in aperto sitam ab Achille agitatum habebat, altera ferebat eum *relicta urbe* montibus vicina confugisse *ad fontes* — ipsas dei sedes, Ψ 148, — *Scamandri fratris* (cf. Ξ 434) et *ad*

δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
ἣ μὲν γάρ θ' ὕδατι λιαρῷι ῥέει, ἀμφὶ δὲ καπνὸς
γίγνεται ἐξ αὐτῆς ὡς εἰ πυρὸς αἰθομένοιο· 150b = τ 39
ἣ δ' ἑτέρη θέρεϊ προρέει ϝεϝικυῖα χαλάζηι
ἢ χιόνι ψυχρῆι ἢ ἐξ ὕδατος κρυστάλλωι.
ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασι
καλοὶ λαΐνεοι, ὅθι ϝείματα σιγαλόεντα
'πλύνεσκον Τρώων ἄλοχοι καλαί τε θύγατρες
τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθέμεν' υἷας Ἀχαιῶν. 156 = I 403
τῆι ῥα παρεδραμέτην, φεύγων, ὃ δ' ὄπισθε διώκων·
πρόσθε μὲν ἐσθλὸς ἔφευγε, 'δίωκε δέ μιν μέγ' ἀμείνων
καρπαλίμως, ἐπεὶ οὐχ ἱερήϊον οὐδὲ βοείην

154. ὅθι] τόθι pap. Bodl. b 3. || 158. Olim quidam addebant versum: φεῦγ' υἱὸς Πριάμοιο, δίωκε δὲ δῖος Ἀχιλλεύς.

*sedes Iovis Idaei*, abavi sui vel etiam patris (cf. K 50), dein ab adversario veluti περὶ τέρματα circa illos fontes et *versus urbem* esse actum. Illa igitur fabula Hectorem *in orbem* actum ostendebat, haec *recta* fere via fugientem et refugientem. Huic fabulae, quae maiore etiam splendore poetico nitet quam illa, melius conveniunt quae vs. 189—193 dicuntur; nam *latitare* Hector in saltibus poterat, in aperto circa urbem vix poterat: illic aptissima est comparatio cum cane venatico damam inter virgulta identidem indaganti, quae hic quo referatur vix habet. Nec non comparatio cum cursu curuli vs. 162 eodem tendit; eiusmodi enim cursus „περὶ τέρματα" quaedam, ut ipse ait poeta, fieri solent, a carcere versus carcerem, non per orbem aliquem. Praeterea cf. *Agenoris* consilium Φ 559 Ἴδησ κνημοὺσ petendi ad Achillem effugiendum. Poetam (Υ 216—218) secuti si urbem in planitie sitam *Ilium* vocamus, urbem Idae lateri acclinem *Dardaniam*, *nominibus* quoque locorum distinguere possumus quae licet in unam imaginem a poeta nostro sint recepta, ipsa *specie* primitus fuerunt discreta.

149—152. Alter fons *vaporem* emittit, — tum certe cum *aër friget*. Alterius autem fontis aqua tam gelida videtur quam est nix, — *tempore aestivo*. Etiam aestate tepidus est ille, hic hieme quoque friget, sed nihil miri tum res habet. Cf. quae in miraculum conversa narrat Herodotus IV 181 de Solis quodam fonte Aegyptio, cuius aqua mane tepida, medio die frigida, circa vesperam tepida denuo — non *videatur*, sed revera *sit*.

153—156. Dum pax fuit, mulieres Troianae fontes „prope urbem sitos" petere solebant ad vestes lavandas, ut Nausicaa regis Phaeacum filia (cf. ζ 40, 85—87).

154. σιγαλόεντα] *lintea* dicit poeta. Item ζ 26.

157. Confluxerunt duae verborum structurae: φεύγων τε διώκων τε et: ὃ μὲν φεύγων ὃ δὲ διώκων. Cf. N 486.

158. Cf. Φ 280.

159—166. Duaene recensiones sunt coniunctae (vs. 159—161 et 162—166)? Cf. B 144—148. Versus 159—

ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίγνεται ἀνδρῶν,
ἀλλὰ περὶ ψυχῆσ Θέον Ἕκτοροσ ἱπποδάμοιο.
ὡσ δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχεσ ἵπποι
ῥίμφα μάλα τροχάωσι, τὸ δὲ μέγα κεῖται ἄεθλον,
ἢ τρίποσ ἠὲ γυνή, ἀνδρὸσ κατατεθνηῶτοσ,
ὣσ τὼ τρὶσ Πριάμοιο πόλιν πέρι δινηθήτην
καρπαλίμοισι πόδεσσι.

Θεοὶ δ' εἰσ πάντεσ ὁρῶντο,
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
„ὤ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχοσ
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
Ἕκτοροσ, ὅσ μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηε
Ἴδησ ἐν κορυφῆισι πολύπτυχοσ, ἄλλοτε δ' αὖτε
ἐν πόλι' ἀκροτάτηι· νῦν αὖτέ ϝε δῖοσ Ἀχιλλεὺσ
ϝάστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
ἀλλ' ἄγετε φράζεσθε, θεοί, καὶ μητιάεσθε,
ἦέ μιν ἐκ θανάτοιο σαώσομεν, ἦέ μιν ἤδη
Πηλεΐδηι Ἀχιλῆϊ δαμάσσομεν ἐσθλὸν ἐόντα."
τὸν δ' αὖτε προσέϝειπε θεὰ γλαυκῶπισ Ἀθήνη·
„ὤ πάτερ ἀργικέραυνε κελαινεφέσ, οἷον ἔϝειπεσ!
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἶσηι,
ἆψ ἐθέλεισ θανάτοιο δυσηχέοσ ἐξαναλῦσαι;
ϝέρδ'· ἀτὰρ οὔ τοι πάντεσ ἐπαινέομεν θεοὶ ἄλλοι."
τὴν δ' ἀπαμειβόμενοσ προσέφη νεφεληγερέτα Ζεύσ·

---

162. τέρματα] -οι C. ‖ 163. τροχάωσι § 191 et 310] τρωχῶσι. ‖ 166. δ' ἠ(ι)σ A] δὲ D, δέ τε Ω. ‖ 168. τεῖχοσ] ἄστυ Plat. Rep. 388 c. ‖ 171. κορυφῆισι] κνημοῖσι D (ut Φ 449 al.). — πολύπτυχοσ § 83[10]] -πτύχου. ‖ 180. θανάτοιο δυσηχέοσ] cf. B 686.

161 Vergilius sic vertit Aen. XII 764 sq.: *neque enim levia aut ludicra petuntur | praemia, sed Turni de vita et sanguine certant.*

159. ἱερήϊον] vox, non *hostiam* significans sed *pecus ad cultrum destinatum* (cf. ἱερεύειν Z 174 al. et att. θύειν), redit λ 23 ξ 94, 250 ρ 600.

164. ἀνδρὸσ] genitivus ut Ψ 631.

167—176. Iovem deorum patrem de Hectoris sorte cum ceteris caelitibus disceptantem poeta e priscis fabulis desumere non potuit, sed tamen aetatis Iliade vetustioris vestigium hic quoque locus servat: φίλον ἄνδρα Hectorem Iuppiter vocat. Primitus deus Idaeus constanter favit heroi, suae proli, operamque dedit ut morti eum eriperet, si fieri id posset. Cf. Δ 44—49 K 50 O 12.

172. πόλι'(ι)] § 74.

174. μητιάεσθε] § 191.

„Θάρσεε, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷι
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι.
ϝέρξον ὅπκι δή τοι νόος ἔπλετο, μηδέ τ' ἐρώει."
ὣς ϝειπὼν ὤρτυνε πάρος μεμαυῖαν Ἀθήνην· 186 sq. = Δ 73 sq.
'βῆ δὲ κατ' Οὐλύμποιο καρήνων αἶξασα.

Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς.
ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,
ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα καὶ διὰ βήσσας·
τὸν δ' εἴ πέρ τε λάθησι καταπτήξας ὑπὸ θάμνοι,
ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃι·
ὣς Ἕκτωρ οὐ 'λῆθε ποδώκεα Πηλεΐωνα.
ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων 194ª = Φ 265
ἀντίον αἶξασθαι, ἐὺ δμητοὺς ὑπὸ πύργους, 195ᵇ cf. M 154
εἴ πώς ϝοι καθύπερθεν ἀλάλκοιεν βελέεσσι,
τοσσάκι μιν προπάροιθεν ἀπετρέψασκε παραφθὰς
πρὸς πεδίον· αὐτὸς δὲ ποτὶ πτόλιος 'πέτετ' αἰεί.
ὡς δ' ἐν ὀνείρωι οὐ δύναται φεύγοντα διώκειν,
οὔτ' ἄρ' ὃ τὸν δύναται ὑποφευγέμεν' οὔθ' ὃ διώκειν,
ὣς ὃ τὸν οὐ 'δύνατο μάρψαι ποσὶν οὐδ' ὃς ἀλύξαι.
πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
εἰ μή ϝοι πύματόν τε καὶ ὕστατον ἦντετ' Ἀπόλλων

195. ἀΐξασθαι] -ξεσθαι D Gen. (cf. B 544). — ὑπὸ Syr. A D] ἐπὶ C T (cf. Π 700). || 197. ἀπετρέψασκε (ἀποτρ.) Syr. H] ἀποστρ. Ω (cf. λ 597), sic et παρατρ. Ar. sec. schol. T (ἀποστρ. et παραστρ. Bekker, nouis ἀποτρ. et παρατρ. Ar. dedisse videtur). — παραφθὰς] sic Ar, παραστὰς L, Ἀχιλλεὺς pap. Heid.; cf. K 346 Ψ 515. || 199—201. Ar. (?) — || 199. Desideratur τις (cf. N 287 υ 88 ω 108), in verbis ὀνείρωι οὐ est vitium metricum (cf. § 14), insolitus est verbi διώκειν usus (etiam in vs. 200); vChrist audacius ὡσ δ' ὄναρ οὐ δύναται μάρψαι φεύγοντα διώκων, deleto vs. 200. || 201. ὃ] ῥα Syr. A C. || 202. ὑπεξέφυγεν] -φερεν Ar. (?) Syr. (cf. O 628 Ψ 376 sq. γ 496).

183. θάρσεε] § 191.
— Τριτογένεια] cf. Δ 515.
— θυμῶι | πρόφρονι] cf. Θ 23.

194. πυλάων Δαρδανιάων] cf. E 789.

197. προπάροιθεν] *antevertens* (non: *prius*; cf. K 476).

198. ποτὶ πτόλιος] *a parte urbis* sive *interior*. De re cf. K 347.

199—201. Cf. O 80—83.

199 sq. διώκειν]· nisi corruptus est textus (cf. nota crit.), *assequi* valet hoc loco; ceteris *persequi* significat.

200. ὑποφευγέμεν'(αι)] § 125.

202—204. *Neque <tamdiu> mortem instantem Hector potuisset effugere, nisi ultimum tunc ei adfuisset Apollo.* — Servare eum Apollo non potuit, sed dum licuit, vires ei dedit, ut hostem irruentem et ipsum fatum aliquantisper certe posset effugere.

203. πύματόν τε καὶ ὕστατον] i. q. πανύστατον. Bis idem dicitur; qua

ἐγγύθεν, ὅσ ϝοι ἐνῶρσε μένοσ λαιψηρά τε γοῦνα; 204 cf. Υ 93
λαοῖσιν δ' ἀνένευε καρήατι δῖοσ Ἀχιλλεύσ,
οὐδ' ἔα' ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
μή τισ κῦδοσ ἄροιτο βαλών, ὃ δὲ δεύτεροσ ἔλθοι. 207ᵇ = Κ 368

ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺσ ἀφίκοντο,
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα, 209 sq. = Θ 69sq.
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέοσ θανάτοιο,
τὴν μὲν Ἀχιλλῆοσ, τὴν δ' Ἕκτοροσ ἱπποδάμοιο,
εἶλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτοροσ αἴσιμον ἦμαρ, 212 cf. Θ 72

---

204. ἐνῶρσε] ἐπῶρσε Ω. Cf. Υ 93. ‖ 205. λαοῖσιν] ἄλλοισιν Syr. A D. ‖ 206. ἐπὶ Ἕκτορι] vitium metricum. ‖ 212. μέσσα] ῥῦμα Chrysippus (τὴν ῥοπὴν τοῦ ζυγοῦ intellegens).

---

*reduplicatione* magis urgetur ipsa notio, ut in nostro *eindelijk en ten laatste*. Sic in composito vicino — si compositum id vocandum est — προπροκυλίνδεσθαι iterata est praepositio (vs. 221 et ρ 525). Redit locutio υ 116 h. Merc. 289, item ὕστατα καὶ πύματα δ 685 υ 13. Similia sunt δϝηθά τε καὶ δόλιχον Κ 52, ἄκμηνοσ καὶ ἄπαστοσ Τ 346, ἡλικίη καὶ γῆρασ Χ 419, ὑσμῖναί τε μόχαι τε φόνοι τ' ἀνδροκτασίαι τε λ 612 (similia Λ 163 sq.), πόλισ καὶ ϝάστυ Ρ 144, λέχοσ καὶ εὐνή γ 403 η 347, μᾶλλον θαλπωρὴ καὶ θαρσαλεώτερον Κ 223, ζώει τε καὶ ἔστι ω 263, ἐξείνισσα καὶ ἐφίλησα Γ 207, ὤλεσε νόστον, ὤλετο δ' αὐτόσ ψ 68, ἤγερθεν ὁμηγερέεσ τ' ἐγένοντο Α 57 al., ἀγορήσατο καὶ μετέϝειπε Α 73 al., οὔτε λιϊστὴ οὔθ' ἑλετή Ι 408. Praeterea cf. quae particula non sunt coniuncta aut disiuncta: μάλιστα .... ἄγχιστα Β 57 sq., αἰδοῖοσ νεμεσητόσ Λ 649, θωαί ... ὠκεῖαι η 34, θνητοὶ βροτοί γ 3 al. (cf. etiam Σ 362 sq.), μέροπεσ βροτοί Β 285, νέκυεσ vel νεκροὶ κατατεθνηῶτεσ Η 409 al., ν. καταφθίμενοι λ 491, ν. κτάμενοι χ 401 ψ 45, ταῦροσ βοῦσ Β 480 sq. Ρ 309, θηλύτεραι γυναῖκεσ λ 386 al., γαμψώνυχεσ ἀγκυλοχῆλαι Π 428 χ 302, νήστιεσ ἄκμηνοι Τ 207, ἄσιτοσ ἄπαστοσ δ 788, ἀπριάτη ἀνάποινοσ Α 99, πρωτοπαγεῖσ νεοτευχέεσ Ε 194, ἐϋώδησ κηώεισ Γ 382 al.? αὐτοκασίγνητοι τούσ μοι μία ϝείνατο μήτηρ Γ 238 Τ 293, βίηι ἀϝέκοντα Α 430, ἀντία ἀϝέκητι α 78 sq., πάλιν ἄψ et similia Α 59 sq. al. (πάλιν αὖτισ Β 276), νωλεμὲσ αἰεί Ι 317 sq., ὑσμίνη δηϊοτῆτοσ Υ 245, βάσκ' ἴθι Β 8 al., ἀμφὶ περί Β 305 al. vel περὶ ἀμφί Ρ 760 (?) Φ 10. Cf. etiam Ν 279 Ξ 196 δ 788 φ 93. Similis est abundantia cum res affirmatur negatione contrarii: μίνυνθά περ οὔ τι μάλα δϝήν, κατ' αἶσαν οὐδ' ὑπὲρ αἶσαν, πρωτότοκοσ οὐ πρὶν εἰδυῖα τόκοιο, μὰψ ἀτὰρ οὐ κατὰ κόσμον, οἷοσ ἄνευθ' ἄλλων, 'βάλεν οὐδ' ἀφάμαρτε, al. Cf. etiam Ar. Thesm. 830 sq. et de reduplicandi studio linguae Graecae penitus insito Ar. Ach. 177. Similia in nostra lingua sunt: *geheel en al, eeuwig en altijd, nooit ofte nimmer*, alia multa. — Non huc facit δ 597.

205. καρήατι] § 82.

206. ἔα'(ϵ)] § 191.

209. Cf. Θ 69.

212. 'ῥέπε δ' Ἕκτοροσ αἴσιμον ἦμαρ] cf. Θ 72.

ὥιχετο δ' εἰσ Ἀΐδαο, 'λίπεν δέ ϝε Φοῖβοσ Ἀπόλλων.
Πηλεΐωνα δ' ἵκανε θεὰ γλαυκῶπισ Ἀθήνη,
ἀγχόθι δ' ἱσταμένη ϝέπεα πτερόεντα προσηύδα· 215 = Λ 92
„νῦν δὴ νῶϊ ϝέϝολπα, Διὶ φίλε φαίδιμ' Ἀχιλλεῦ,
οἴσεσθαι μέγα κῦδοσ Ἀχαιοῖσι προτὶ νῆασ,
Ἕκτορα δηιώσαντε, μάχησ ἄατόν περ ἐόντα.
οὔ ϝοι νῦν ἔτι γ' ἔστι πεφυγμένον ἦμε γενέσθαι,
οὐδ' εἴ κεν μάλα πολλὰ πάθῃι ϝεκάεργοσ Ἀπόλλων
προπροκυλινδόμενοσ πατρὸσ Διὸσ αἰγιόχοιο.
ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε, τόνδε δ' ἐγώ τοι
οἰχομένῃ πεπιθήσω ἐναντίβιον μαχέσασθαι."
ὣσ 'φάτ' Ἀθηναίη, ὃ δ' ἐπείθετο, 'χαῖρε δὲ θυμῶι, 224 = ω 545
'στῆ δ' ἄρ' ἐπὶ μελίησ χαλκογλώχινοσ ἐρεισθείσ.
ἣ δ' ἄρα τὸν μὲν ἔλειπε, 'κιχήσατο δ' Ἕκτορα δῖον,
Δηϊφόβωι ϝεϊκυῖα δέμασ καὶ ἀτειρέα φωνήν, 227 cf. N 45
ἀγχόθι δ' ἱσταμένη ϝέπεα πτερόεντα προσηύδα· 228 = Λ 92
„ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺσ Ἀχιλλεύσ, 229ᵃ = Z 518
ϝάστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων. 230 cf. 173
ἀλλ' ἄγε δὴ στάομεν καὶ ἀλεξώμεσθα μένοντεσ." 230ᵇ cf. Θ 339 231 = Λ 348
τὴν δ' αὖτε προσέϝειπε μέγασ κορυθαίολοσ Ἕκτωρ· 232 = Z 440
„Δηΐφοβ', ἦ μέν μοι τὸ πάροσ πολὺ φίλτατοσ ἦσθα
γνωτῶν, οὓσ Ϝεκάβη ἠδὲ Πρίαμοσ 'τέκε παῖδασ·
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
ὅσ 'τλῆσ εἵνεκ' ἐμεῖο, ἐπεὶ 'ϝίδεσ ὀφθαλμοῖσι,
τείχεοσ ἐξελθεῖν, ἄλλοι δ' ἔντοσθε μένουσι."
τὸν δ' αὖτε προσέϝειπε θεὰ γλαυκῶπισ Ἀθήνη·
„ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ

215 et 228. ἀγχόθι δ'] cf. B 172. ‖ 216. νῶϊ Bentley] νῶϊν Zen., νῶϊ γ' Ar. Ω. ‖ 220. πάθῃι D] πάθοι Ω, κάμοι l. a. apud Eust. (cf. Θ 22). ‖ 222. ἄμπνυο Cobet] ἄμπνυε. Cf. § 186. — δ'(ὲ)] τ' Syr. D. ‖ 231. στάομεν vel στέομεν. ‖ 236. ὅσ] ὡσ C T (cf. Ξ 45). — 'τλῆσ εἵνεκ' ἐμεῖο Grashof] ἔτλησ ἐμεῦ εἵνεκ'. Cf. ἀντία σεῖο vs. 253 et § 22.

213. ὤιχετο δ' εἰσ Ἀΐδαο] *et versus Orci sedes* (*deorsum*, cf. O 188) *vergebat*. — δέ] *itaque*; iam enim morti debetur Hector; cui etiam opem ferre, id foret ipsi fato et Iovi refragari.

219. ἦμε] § 92.

221. προπροκυλινδόμενοσ] *provolutus ad Iovis pedes*. De comp. cf. vs. 203.

226—231. Patre digna filia; mentitur Minerva, ut Iuppiter vel Iuno, cum fert res. Cf. B 12 vel K 446—456.

234. 'τέκε] de singulari cf. A 255.

235. *Nunc autem fert animus etiam pluris te facere*: τιμήσασθαι = τιμῆσαι, ut τ 280 υ 129 ψ 339; νοέω ut Ω 561 et φρονέω Γ 98.

'λίσσονθ' ἑξείησ γουνώμενοι, ἀμφὶ δ' ἑταῖροι,
αὖθι μένειν, τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντεσ·
ἀλλ' ἐμὸσ ἔνδοθι θυμὸσ ἐτείρετο πένθεϊ λυγρῷι.
νῦν δ' ἰθὺσ μεμαῶτε μαχώμεθα, μηδέ τι δούρων
ἔστω φειδωλή, ἵνα ϝείδομεν ἦ κεν Ἀχιλλεὺσ
νῶϊ κατακτείνασ ἔναρα βροτόεντα φέρηται 245ª cf. P 505
νῆασ ἔπι γλαφυράσ, ἦ κεν σῶι δουρὶ δαμήηι." 245ᵇ cf. Θ 534
ὣσ φαμένη καὶ κερδοσύνηι ἡγήσατ' Ἀθήνη.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντεσ, 248 = Γ 15
τὸν πρότεροσ προσέϝειπε μέγασ κορυθαίολοσ Ἕκτωρ·
„οὔ σ' ἔτι, Πηλέοσ υἱέ, φοβήσομαι, ὡσ τὸ πάροσ περ.
τρὶσ περὶ ϝάστυ μέγα Πριάμου 'δίον, οὐδέ ποτ' ἔτλην 251ᵇ sq.ª cf. A 534 sq.
μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸσ ἀνῆκε
στήμεναι ἀντία σεῖο, ἕλοιμί κεν ἦ κε ϝαλοίην.
ἀλλ' ἄγε δεῦρο θεοὺσ ἐπιβωσόμεθ'· οἳ γὰρ ἄριστοι
μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων.
οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀϝεικίσω, αἴ κεν ἐμοὶ Ζεὺσ
δώηι καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι· 257ª = Ψ 661
ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν, ὣσ δὲ σὺ ῥέξειν."
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„Ἕκτορ, μή μοι, ἀλαστέ, συνημοσύνασ ἀγόρευε.
ὡσ οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά,
οὐδὲ λύκοι τε καὶ ἄρνεσ ὁμόφρονα θυμὸν ἔχουσι,

240. γουνώμενοι § 144] -οὐμενοι. || 244. ἦ § 327] εἴ. || 247. κερδοσύνηι] -νηισ l. a. ant. || 251. 'δίον] δίεσ olim „αἱ χαριέστεραι" (Did.), quacum lectione congruit Hib. 22: ο]ὐδέ ποτ' ἔτλησ; an *'δίε' (= ἐδίεο)? Cf. § 199. || 252. ἀνῆκε] ἀνώγει pap. Hib. 22. Cf. Φ 396. || 254. ἐπιβωσόμεθ'· οἳ H²] ἐπιδωσόμεθ'· οἳ H¹ Vrat., ἐπιδώμεθα· τοὶ Ω, quae lectio in schol. B repetitur a verbo ἰδεῖν collato prisco vocabulo Attico ἰδύουσ (nam sic legendum pro „Ἀττικοὶ δήουσ") = μάρτυρασ (Aristoph. fr. 222 Hesych. s. v. Eust. 1158, 20). Veri indicium servant ultima verba scholii B: „οἱ δέ, ἐπικαλεσώμεθα αὐτούσ" (item T). Cf. K 463 et § 192. || 255. μάρτυροι] sic Ar. (cf. B 302 et § 63). || 256. ἀϝεικίσω § 147 et 210] ἀεικιῶ. || 259. In pap. Bodl. b 3 accedunt duo versus: [οὔμα — λελάχ]ωσι θ[ανόντ]α (= H 79 sq. X 342 sq.; suppl. Gerhard). || 262. ἀνδράσιν] ἀνάσιν schol. Plat. Phaedr. 241 d. — In pap. Bodl. b 3 sequitur versus, cuius exitus fuit [ἕξ]οχο[σ ἄλλ]οσ. || 263. Om. pap. Bodl. b 3¹; spurius? Cf. comment. — ἄρνεσ] neglecto ϝ, ἄνδρεσ C¹ et schol. Aristoph. Pac. 1076, λύκοι καὶ ϝάρνεσ Heyne.

247. καί] cf. A 249.
261. ἀλαστέ] cf. M 163.
— συνημοσύνασ] †. Idem valet ἁρμονίαι vs. 255. Cf. N 381.
263. Aut postmodo est additus (si genuinum est ἄρνεσ neglecto ϝ) aut est versus 262 lectio altera (ἄνδρεσ). Cf. B 144—154.

ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισι,
ὥς οὐκ ἔστ' ἐμὲ καὶ σὲ φιλήμεναι, οὐδέ τι νῶϊν
ὅρκιά γ' ἔσσονται, πρὶν ἢ ἕτερόν γε πεσόντα 266b sq. = E 288 sq.
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.
παντοίης ἀρετῆς μιμνήισκεο· νῦν σε μάλα χρὴ 268c sq. = Π 492 sq.
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
ἔγχεϊ ἐμῷι δαμάει· νῦν δ' ἅθρόα πάντ' ἀποτίσεις 271b cf. α 43
κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θυίων."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος. 273 = Γ 355
καὶ τὸ μὲν ἄντα ϝιδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ· 274 cf. N 184
ἔζετο γὰρ προϝιδών, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος, 275b = N 408
ἐν γαίηι δ' ἐπάγη. ἀνὰ δ' ὧρπασε Παλλὰς Ἀθήνη,
ἂψ δ' Ἀχιλῆϊ ἐδίδου, λάθε δ' Ἕκτορα ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέϝειπεν ἀμύμονα Πηλεΐωνα·
„ἥμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖσ' ἐπιϝείκελ' Ἀχιλλεῦ,
ἐκ Διὸς ἠείδεις τὸν ἐμὸν μόρον, — ἦ τοι ἔφησ γε! —
ἀλλά τισ ἀρτιϝεπὴσ καὶ ἐπίκλοποσ ἔπλεο μύθων, 281b cf. φ 397
ὄφρα σ' ὑποδϝείσασ μένεοσ ἀλκῆσ τε λάθωμαι. 282b cf. Z 265
οὐ μέν μοι φεύγοντι μεταφρένωι ἐν δόρυ πήξεισ, 283 cf. Θ 95
ἀλλ' ἰθὺσ μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
εἴ τοι ἔδωκε θεόσ. νῦν αὖτ' ἐμὸν ἔγχοσ ἄλευαι
χάλκεον. ὡσ δή μιν τεῶι ἐν χροΐ πᾶν κομίσαιο!
καί κεν ἐλαφρότεροσ πόλεμοσ Τρώεσσι γένοιτο
σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχοσ, 289 = Γ 355

---

265. οὐδέ $A^2$ D] οὔτε Ω. Cf. ι 147 λ 483. || 266. γ'(ε)] om. Ω. — πρὶν pap. Aberdeen. (Winstedt Classic. Quart. 1907, 261) Syr.[1]] πρίν γ' Ω. Cf. § 18. || 270. ἔτ'(ι)] om. C L. || 272. θυίων A] θύων Ω. Cf. § 286[10]. || 275. χάλκεον] μείλινον l. a. in A. || 280. Διὸσ ἠείδεισ τὸν] *Ζηνὸσ ϝειδησθα? Augmenti syllaba ἠ- suspectissima et cf. A 185. || 282. λάθωμαι] λαθοίμην Syr. C. || 286. *τεῶι] σῶι Ω vitio metrico, item π 438. Cf. § 14 et A 185. || 287. κεν] σφιν l. a. in A.

---

265. φιλήμεναι] § 195.

267. ἆσαι] cf. E 289 et Δ 35.

268. παντοίησ ἀρετῆσ μιμνήισκεο] *nunc recordare istius tuae peritiae.* Quam ipse Hector laudavit H 237—241.

271. ἔγχε'(ϊ)] § 71.

— δαμάει] § 191.

275. ἔζετο γὰρ προϝιδών] quod alibi dicitur ϝαλήμεναι. Cf. N 163 sq.

— ὑπέρπτατο] § 216.

277. Ἀχιλῆ'(ϊ)] § 13.

281. *Sed verborum peritus eras et curiosus fabellarum*: μύθων, οὐ ϝέργων πρηκτῆρα te praestas (cf. I 443).

καὶ ’βάλε Πηλεΐδαο μέσον σάκοσ οὐδ’ ἀφάμαρτε·
τῆλε δ’ ἀπεπλάγχθη σάκεοσ δόρυ. ’χώσατο δ’ Ἕκτωρ, 291ᵇ sq. = Ξ 406 sq.
ὅττι ῥά ϝοι βέλοσ ὠκὺ ἐτώσιον ἔκφυγε χειρόσ,
’στῇ δὲ κατηφήσασ, οὐδ’ ἄλλ’ ἔχε μείλινον ἔγχοσ.
Δηΐφοβον δ’ ἐκάλει λευκάσπιδα, μακρὸν ἀΰσασ·
ἵιτεέ μιν δόρυ μακρόν. ὃ δ’ οὔ τί ϝοι ἐγγύθεν ἦεν.
Ἕκτωρ δ’ ἔγνω ϝῆισιν ἐνὶ φρεσὶ ’φώνησέν τε· 296 cf. *A* 333
„ὤ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόνδ’ ἐκάλεσσαν. 297 cf. *Π* 693
Δηΐφοβον γὰρ ἐγώ γ’ ἐφάμην ἥρωα παρεῖναι·
ἀλλ’ ὃ μὲν ἐν τείχει, ἐμὲ δ’ ἐξαπάτησεν Ἀθήνη.
νῦν δὲ δὴ ἐγγύθι μοι θάνατοσ κακὸσ οὐδ’ ἔτ’ ἄνευθε,
οὐδ’ ἀλέη. ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸσ υἷι ϝεκηβόλωι, οἵ μ πάροσ περ
πρόφρονεσ ἐρρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει. 303ᵇ cf. *P* 478
μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλεέωσ ἀπολοίμην, 304ᵃ = Θ 512
ἀλλὰ μέγα ῥέξασ τι καὶ ἐσσομένοισι πυθέσθαι.“ 305ᵇ = *B* 119
ὣσ ἄρα φωνήσασ ἐϝερύσσατο φάσγανον ὀξύ, 306 = χ 79
τό ϝοι ὑπὸ λαπάρην ’τέτατο μέγα τε στιβαρόν τε,
ὤϊμησεν δὲ ϝαλεῖσ ὥσ τ’ αἰετὸσ ὑψιπετήεισ, 308 = ω 538
ὅσ τ’ εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν
ἁρπάξων ἢ ϝάρν’ ἀμαλὴν ἢ πτῶκα λαγωόν·
ὣσ Ἕκτωρ ὤϊμησε τινάσσων φάσγανον ὀξύ.

---

294. *ἐκάλει*] *ἰρόα „αἱ ἀπὸ τῶν πόλεων.“* ‖ 299. *τείχει*] **πόλει* vel **πύργωι*? Roehl *τείχεσσ’*. Cf. § 71. ‖ 302. *υἷι* C T] *υἱεῖ* Ω (cf. § 78 et *Π* 177). — *περ* C] *γε* Ω (cf. *N* 465). ‖ 303. *ἐρρύατο* § 164] *εἰρύατο* vel *-ται*. ‖ 309. *διὰ*] *ἀπὸ* l. a. in T. ‖ 310. *ἁρπάξων* Syr. A] *-ζων* Ω (cf. *B* 436).

---

290 sq. Recta Hector hastam proicit, οὐδὲν ἀφαμαρτών, quae tamen repercussa procul a clipeo resiluit, χρυσὸσ γὰρ ἐρύκακε, δῶρα θεοῖο, ut dicitur Υ 268 Φ 165. Cf. Ν 160 sq.

293. κατηφήσασ] *pudore perfusus*. Verbum π 342 redit, cf. κατηφήσ ω 432, κατηφών Ω 253, κατηφεῖν Γ 51 Π 498 Ρ 556.

294. λευκάσπιδα] σκύτοσ κύκλωι τιτάνωι λευκῶι τ’ ἐλέφαντι | ἠλέκτρωι θ’ ὑπολαμπέσ commemorat Hes. Scut. 141. Sed Deiphobi clipeus *stanno* potius (cf. Λ 35) vel *argento* ornatus fuisse videtur.

295. *Poscebat hastam a fratre, qui ne aderat quidem*; οὔ τι = *minime*. Prorsus enim non adfuerat Deiphobus, etsi adesse eum modo crediderat Hector a dea deceptus.

304. ἀσπουδεί] cf. Θ 512.

— ἀκλεέωσ] § 73.

308—311. Incurvato tergo, clipeo protectus, in adversarium irruit Hector, ut aquila quae contractis alis in praedam se deicit.

ὡρμήθη δ' Ἀχιλεύσ, μένεοσ δ' ἐμπλήσατο θυμὸν
ἀγρίοο, πρόσθεν δὲ σάκοσ στέρνοι' ἐκάλυψε
καλὸν δαιδάλεον, κόρυθι δ' ἐπένευε φαεινῇι
τετραφάλωι· καλαὶ δὲ περισσείοντο ϝέθειραι. 315[b] cf. *T* 382
οἷοσ δ' ἀστὴρ εἶσι μετ' ἀστράσι νυκτὸσ ἀμολγῶι 317[b] = 28
ϝέσπεροσ, ὃσ κάλλιστοσ ἐν οὐρανῶι ἵσταται ἀστήρ,
ὣσ αἰχμῆσ ἀπέλαμπ' ἐϋήκεοσ, ἣν ἄρ' Ἀχιλλεὺσ
πάλλεν δεξιτερῇι φρονέων κακὸν Ἕκτορι δίωι,
εἰσοράων χρόα καλόν, ὅπηι ϝείξειε μάλιστα.
τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχη
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάς, 323 cf. *P* 187
φαίνετο δ', ἧι κληῖδεσ ἀπ' ὤμων αὐχέν' ἔχουσι,

316 χρύσειαι, ἃσ Ἥφαιστοσ ἶσι λόφον ἀμφὶ θαμείασ. 316 = *T* 383

315. καλαὶ] δειναὶ „αἱ πλείουσ" (schol. A); *ὀϝεινὸν (ut *Γ* 337 *Z* 470)? ‖ 316. Om. A D H, neque habuit codicis A archetypum; in marg. A D est additus. — In pap. Heid. accedebant vs. 133-135 (suppl. vLeeuwen). ‖ 322. χάλκεα τεύχη] cf. comment. ‖ 324. φαίνετο] φαῖνεν aut φαῖνον l. a. in Ar. commentariis (*arma apertum relinquebant*).

313 sq. Cf. Υ 162 sq.

313. ἀγρίοο et στέρνοι'(ο)] § 59.

— ἐκάλυψε] cf. Ε 315.

317—319. Cf. vs. 26—32 et Ε 4—8.

317. νυκτὸσ ἀμολγῶι] *ingruente nocte* ante cetera sidera conspicitur Vesper. Cf. Λ 173.

319. ἀπέλαμπ'(ε)] e verbo petendum est subiectum: *splendor* (σέλασ Τ 379). Sic ι 143 dicitur οὐδὲ προεφαίνετ' ἰδέσθαι *neque <lux> allucebat.*

320. κακὸν] sic recte nunc, non κακά (ut Η 70 al.), quoniam poeta non in universum loquitur, sed unum illud cogitat malum quod Hectori Achilles nunc intendit: *letum.* Cf. ἀγαθόν vel χρηστόν τι πράττειν Ar. Pac. 215 Plut. 341.

321. εἰσοράων] § 191.

— ϝείξειε] cf. Σ 520.

322. καὶ ἄλλο τόσον μὲν] particula καί valet *etiam*: Hector *non solum pectus* — quod reticetur, quoniam id tegi ferebat ratio — *sed etiam ceterum corpus* bene tectum habebat, pugnandi peritissimus et armis divinis, quae Patroclo eripuerat, nunc indutus. Guttur tantum nudum apparebat inter galeam et clipei oram superiorem (cf. vs. 324 sq.). De locutione ἄλλο τόσον μέν cf. Δ 130, de ipsa re Ν 191 sq.

— χάλκεα τεύχη] novicia forma est τεύχη (cf. § 71), vulgare autem adi. χάλκεα parum est aptum ad designanda arma Peleo olim a dis data (cf. Σ 82 sqq.); etiam Σ 131 tamen id legitur. Nostro loco fortasse fuit olim τεύχεα καλὰ | χρύσε' ἃ vel eiusmodi quid. Simili vitio laborat vs. 32.

324 sq. Perforari non potuerunt arma divina, quibus olim Achilles, dein Patroclus tectus fuit, nunc tegitur Hector; caput autem tegebat galea (clausa), corpus clipeus, post quem arte egregia se abdebat bellator exercitatus. Etiam loricam Hectori poeta tribuit (Ρ 606); sed colli appa-

λαυκανίη, ἵνα τε ψυχῆσ ὤκιστοσ ὄλεθροσ·
τῆι ῥ' ἐπὶ ϝοὶ μεμαῶτ' ἔλασ' ἔγχεϊ δῖοσ Ἀχιλλεύσ. 326ª cf. Ω 327
ἀντικρὺ δ' ἀπαλοῖο διʼ αὐχένοσ ἦλυθ' ἀκωκή, 327 = P 49
ἤριπε δ' ἐν κονίησι· ὃ δ' ἐπηύξατο δῖοσ Ἀχιλλεύσ· 330ª cf. E 75 Λ 743
330ᵇ = Υ 388
„Ἕκτορ, ἀτάρ ποθ' ἔφησ Πατροκλέϊ ἐξεναρίζων
ζωιὸσ ἔσεσθ', ἐμὲ δ' οὔ τι ὀπίζεο νόσφιν ἐόντα,
νήπιε! τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
νηυσὶν ἔπι γλαφυρῆισιν ἐγὼ μετόπισθ' ἐλελείμμην,
ὅσ τοι γούνατ' ἔλυσα. σὲ μὲν κύνεσ ἠδ' οἰωνοὶ
ἑλκήσουσ' ἀϝικῶσ, τὸν δὲ κτερίσουσιν Ἀχαιοί." 336ᵇ cf. Λ 455
τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολοσ Ἕκτωρ· 337 = O 246
„λίσσομ' ὑπὲρ ψυχῆσ καὶ γούνων σῶν τε τοκήων,
μή μ' ἐάειν παρὰ νηυσὶ κύνασ καταδάψαι Ἀχαιῶν!
ἀλλὰ σὺ μὲν χαλκόν τε ϝάλισ χρυσόν τε δέδεξο,
δῶρα τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ,

328 οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη 'τάμε χαλκοβάρεια,
ὄφρα τί μιν προτιϝείποι ἀμειβόμενοσ ϝεπέεσσι.

325. λαυκανίη Nauck] -ην Syr. A T (apte si 'φαῖνεν vel -ον legitur vs. 324), -ησ (vel λευκανίησ) Ω (ut Ω 642). || 326. μεμαῶτ'(α)] μεμαὼσ T. — ἔγχεϊ] Ἕκτορα D. || 328 sq. Del. Duentzer; vs. 329 quidam —. Interpres respondet ad quaestionem quomodo ita vulneratus Hector loqui etiam potuerit. || 328. ἀπ' ἀσφάραγον] ἀπὸ σφ. l. a. apud Eust. (vox †; cf. ἀστεροπή-στερ. K 154 al.). || 332. *ζωιὸσ ἔσεσθ'(αι)] σῶσ ἔ(σ)σεσθ' Ω, ζὼσ ἔσεσθ' Nauck (coll. E 887), σάοσ ἔσεσθ' Knight (cf. § 22). — οὔ τι § 100] οὐδέν. || 336. ἑλκήσουσ' ἀϝικῶσ] -σι κακῶσ Antimachus; suspicionem movet ἀϝικῶσ (αἰκῶσ) pro ἀϝεικέωσ dictum (cf. § 319). — ἑλκήσουσ'(ι)] ἑλκύσουσ' C (cf. P 558). || κτερίσουσιν] -ιοῦσιν Ω. Cf. § 147 et 210. || 339. μ' ἐάειν (ἐάαν) Nauck] με ἔα Ω. Bentley μ' ἐάα(-ε), sed sonus finalis ita produci non potuit (cf. § 19). || 340. χαλκόν ... χρυσόν] χρυσόν ... χαλκόν Syr.; eadem varietas est ε 38. || 341. [πο]λλὰ ... pap. Bodl. b 3 (cf. Γ 242).

rebat pars inferior. Eodem corporis loco *Cycnus* ab Hercule hasta est confossus (cf. Hes. Scut. 417–419), *Teucer* ab Hectore lapide vulneratus est Θ 325 sq.; praeterea cf. Ψ 821.

324. Iugula collum humeris *iungere* dici possunt, sed etiam collum ab humeris *secernere*, quemadmodum alibi iugum dicitur iumenta ἀμφὶσ ἔχειν. Cf. N 706 ϒ 486.

325. Verba ἵνα — ὄλεθροσ Vergilius vertit *qua fata celerrima* Aen. XII 507. Praeterea cf. Θ 84, 326.

330—367. Cf. Π 829–863.

331. ἀτάρ ποθ'(ι)] irridentis nunc sunt hae particulae = *at opinor*. De ποθί particula elisa cf. § 322.

— Πατροκλέε'(α)] § 73.

332 sq. *Nihil me curabas, quippe qui procul abessem: manebam tamen in castris, ultor ipso multo fortior, licet tunc ei non adfuerim.*

335. δσ ... ἔλυσα] cf. Ω 520 sq.

339. μ'(ε) ... κύνασ] de ordine verborum cf. Ι 315.

— ἐάειν] § 191.

σῶμα δὲ ϝοίκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με 342 sq. = *H* 79 sq.
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα."
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων.
αἴ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
ὤμ' ἀποταμνόμενον κρέα' ἔδμεναι, οἷα ϝέϝοργας!
ὡς οὐκ ἔσθ' ὅσ σῆς γε κύνας κεφαλῆς ἀπαλάλκῃ,
οὐδ' εἴ κεν δεκάκισ τε καὶ εἰκοσινήριτ' ἄποινα 349 cf. *I* 379
στήσωσ' ἐνθάδ' ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα,
οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῶι ϝερύσασθαι ἀνώγηι
Δαρδανίδης Πρίαμος· οὐδ' ὥς σέ γε πότνια μήτηρ 352[b] sq. cf. Φ 123 sq.
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν 'τέκεν αὐτή,
ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται."
τὸν δὲ καταθνήισκων προσέφη κορυθαίολος Ἕκτωρ·
„ἦ σ' ἐὖ γιγνώισκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
πεισέμεν· ἦ γὰρ σοί γε σιδήρεος ἐν φρεσὶ θυμός. 357 cf. *ψ* 172
φράζεο νῦν μή τοί τι θεῶν μήνιμα γένωμαι 358 cf. *λ* 73
ἥματι τῶι ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων 359[a] cf. *Θ* 475

---

344. ἄρ' ὑπόδρα ϝιδὼν] ἀπαμειβόμενος l. a. in A. ‖ 346. πως] τὼς Hoffmann (coll. *Γ* 415 *Θ* 538 sqq. *N* 825 sqq.), versum 347 virgula claudens cum Ar. ‖ 347. ϝέϝοργας Bentley] μ' ἔοργας. Cf. *Φ* 399. ‖ 348. ὡς] sic Ar., ὥς Nicanor (ut *I* 444). Cf. *Θ* 541 *N* 828 *ι* 525 al. — *ἀπαλάλκῃς] -κοι. Cf. *Φ* 103 *π* 437 sq. ‖ 349. εἰκοσινήριτ'] neglecto ϝ, aptum autem sensum (= *vicies innumera*) non praebet, si vero εἴκοσι νήριτ' duabus vocibus scribitur (sic C), sententia ne decurrit quidem. Leniora remedia nihil prosunt; *οὐδ' εἰ νήριτ' ἄποινα πατὴρ καὶ πότνια μήτηρ? Numeralia molesta e simili loco *I* 379 huc irrepsisse videntur. Adiectivum νήριτος (= ἀνάριθμος) extat Hes. Op. 511, cf. etiam montis nomen Νήριτον (*B* 632 al.). ‖ 351. ἀνώγηι L] -γοι Ω. ‖ 357. ἐν φρεσὶ] ἔνδοθι T (ut *A* 243 *X* 242 *β* 315 *ϑ* 577 *τ* 377).

---

345. γούνων γουνάζεο] praepositio (πρός vel ὑπέρ) etiam β 68 λ 66 abest; *tangendi* igitur verbis (= ἅπτεσθαι) his locis assimulatur γουνάζεσθαι.

346 sq. αὐτόν με — ἔδμεναι] opp. *canes* (de quibus cf. P 126 sq. et A 4). Cf. Iovis ad Iunonem verba Δ 35 et Hecubae Ω 212 sq.

347. κρέα'(α)] § 72.

349. Cf. nota crit.

351. αὐτὸν χρυσῶι ϝερύσασθαι] i. e. τὸ σῶμα ἰσοστάθμωι χρυσῶι ἀναλαβεῖν. Cf. Theogn. 77 Plat. Phaedr. 235*d*. Achillem hyperbolice loqui, in *Phrygibus* vero Aeschyli dramate corpus. Hectoris revera auri aequipondio redemtum esse, annotavit Ar.

356. *Bene te novi et cerno*, ἔτι ζῶ τε καὶ βλέπω. Cf. vs. 59.

357. πεισέμεν'(αι)] § 125.

— σιδήρεος] cf. P 424.

359 sq. Ex ore Hectoris, in mortis articulo res futuras nunc videntis et adversario fatum instans praedicentis, quemadmodum heri ipsi Hectori praedixit Patroclus (cf. Π 852—854),

ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσι."
ὣς ἄρα μιν ῥειπόντα τέλος θανάτοιο ἐκάλυψε, 361-364ᵃ = Π 855 sqq.
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδόσδ' ἐβεβήκει,
ὃν πότμον γοάουσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προσηύδα δῖος Ἀχιλλεύς·
„τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ 365 cf. Σ 115
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι." 366 = Σ 116
ἦ ῥα, καὶ ἐκ νεκροῖο ϝερύσσατο χάλκεον ἔγχος, 367 cf. Φ 200
καὶ τό γ' ἄνευθεν ἔθηκ', ὃ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα 368ᵇ = O 524
αἱματόεντ'· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
οἳ καὶ ἐθηήσαντο φυὴν καὶ ϝεῖδος ἀγητὸν 370ᵇ cf. Ω 376 ξ 177
Ἕκτορος· οὐδ' ἄρα ϝοί τις ἀνουτητί γε παρέστη.
ὧδε δέ τις 'ϝείπεσκε ϝιδὼν εἰς πλησίον ἄλλον· 372 = B 271
„ὦ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάεσθαι

360. ἐνὶ] ἐπὶ schol. Pind. Nem. VII 58 (cf. A 55). || 363. Om. pap. Fayum. 211 D. — ἀνδροτῆτα] cf. Π 857 et § 28. || 371. Ἕκτορος] -ρα Hermann (cf. E 787). — ἀνουτητί] *-τασττί? Cf. § 150⁹.

Achilles nihil inexpectati nunc audit, nam similia ei iam vaticinati sunt equus et Thetis (cf. Τ 417 et Φ 277 sq.). Magis tamen disertis verbis nunc rem exprimit Hector *Paridem* et *portam Scaeam* cum *Apolline* commemorando. Ceterum dubitari potest an postmodo accesserint duo hi versus, qui post τι μήνιμα haud ita apti sunt.

360. Si ἐνί, non ἐπί vera est lectio, poeta portam vi ab Achille modo effractam cogitavit. Sic in *Cypriis* Achilles εἰσ τὴν πόλιν εἰσπεσὼν a Paride et Apolline necatus est. Nam lectioni ἐνί subesse fabulam quae fuit de *Polyxena* Achilli desponsa veri est dissimile; aliunde certe non potest effici illam fabulam poetae Iliadis fuisse cognitam. Quicquid id est, sive heros vi sibi aditum paravit, sive porta ultro ei est aperta, eo ipso temporis articulo quo urbem intravit sagitta interemtum dicit lectio ἐνί.

361. θανάτοι'(ο)] § 59.

362 sq. Cf. Π 856 sq.

364. τεθνηῶτα] § 160.

— προσηύδα] § 191.

365—367. Cf. Verg. Aen. X 743 sq.

366. ἐθέλῃ] singularis ut A 255.

368. ὃ δ'(ὲ)] cf. A 191.

369 sq. Sic milites Graeci post pugnam ad Plataeas corpus ingens Masistii ducis equitum Persarum admirati sunt, Herodot. IX 25.

370. φυὴν καὶ ϝεῖδος ἀγητόν] *corpus ingens* (cf. N 754) *et* post mortem quoque *decorum*, quippe iuvenis. Cf. vs. 71—73.

371. Myrmidones corpus inimici, qui Patroclum eorum ducem dilectissimum et multos eorum sodalium nuper leto dedit, ictibus foedant, ira incensi et verbis superbis etiam irridentes.

373 sq. *En plane iam innocuus est Hector ille*, qui modo — ut nostrates in sermone familiari loquuntur — „felis haud sine manicis contrectanda" erat. De verbi ἀμφαφάεσθαι termino cf. § 191.

Ἕκτωρ ἦ ὅτε νῆασ ἐνέπρησεν πυρὶ κηλέῳι!“ 374 cf. Θ 235
ὣσ ἄρα τισ ϝείπεσκε καὶ οὐτάσσασκε παραστάσ.
τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκησ δῖοσ Ἀχιλλεύσ,
στὰσ ἐν Ἀχαιοῖσιν ϝέπεα πτερόεντ' ἀγόρευε· 377 cf. Ψ 535
„ὦ φίλοι, Ἀργεῖων ἡγήτορεσ ἠδὲ μέδοντεσ, 378 = B 79
ἐπεὶ δὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
ὅσ κακὰ πόλλ' ἔρρεξεν, ὅσ' οὐ σύμπαντεσ οἵ ἄλλοι, 380ª cf. I 540
εἶ δ' ἄγετ' ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν, 381ᵇ = cf. E 220
ὄφρα κ' ἔτι γνῶμεν Τρώων νόον, ὅν τιν' ἔχουσι,
ἦ καταλείψουσιν πόλιν ἄκρην τοῦδε πεσόντοσ,
ἠὲ μένειν μεμάασι καὶ Ἕκτοροσ οὐκέτ' ἐόντοσ.
ἀλλὰ τίη μοι ταῦτα φίλοσ διελέξατο θυμόσ! 385 = A 407
κεῖται πὰρ νήεσσι νέκυσ ἄκλαυτοσ ἄθαπτοσ, 386ᵇ cf. λ 54ª, 72ª
Πάτροκλοσ! τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρα κ' ἐγώ γε
ζωοῖσιν μετέω καί μοι φίλα γούνατ' ὀρώρῃι. 388ᵇ = I 610
εἰ δὲ θανόντων περ καταλήθοντ' ἐν Ἀΐδαο,
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
νῦν δ' ἄγ' ἀείδοντεσ παιήονα, κοῦροι Ἀχαιῶν, 391 cf. A 473
νηυσὶν ἐπὶ γλαφυρῆισι νεώμεθα, τόνδε δ' ἄγωμεν.
ἠρόμεθα μέγα κῦδοσ· ἐπέφνομεν Ἕκτορα δῖον,

374. ἐνέπρησεν] -σεν A². || 375. οὐτάσσασκε § 150⁹] οὐτήσασκε. || 378. ὦ φίλοι ἥρωεσ Δαναοί, θεράποντεσ Ἄρηοσ C, Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆεσ Παναχαίων Zen. (= Ψ 236; cf. Ψ 272, 658). || 380. ἔρρεξεν A D] ἔρδεσκεν (neglecto ϝ) Ω. || 381. εἶ δ'(ὲ)] cf. A 302. || 386. ἄκλαυτοσ A D] -στοσ Ω. Eadem varietas est δ 494 λ 54, 72. Cf. β 175. || 388. ζωὸσ ἐν Ἀργείοισι φιλοπτολέμοισι μετείω C (cf. Ψ 47 κ 52 ξ 487). || 392. In pap. Hib. 22 additur: [καὶ τ]εθνηότα περ· τόσα γὰρ κάκ' ἐμή[σατ'] Ἀχαιούσ (cf. Ω 20 K 52 et v. l. Ψ 183). || 393 sq. Quidam (Zen.?) —— || 393. ἠρόμεθα § 284] ἠ(ι)ράμεθα.

374. κηλέωι] § 8.

379. ἐπεὶ] § 22.

381—384. Urbem armatos circumire suos iubet Achilles: hostes includendos esse, ne in montes possint aufugere.

381 sq. πειρηθῶμεν... γνῶμεν] de contractis his formis cf. § 122.

382. *Donec etiam sciamus* (= *donec praeterea apparuerit*) *quid Troiani iam sint facturi.*

386 sq. *Corpus in castris iacet inhumatum, — Patroclus!* Ad quem Hectoris corpus et arma se prius allaturum quam ipsum sepeliret promisit Achilles Σ 334 sq.

389 sq. *Et apud Orcum si mortales suorum obliviscuntur vita functorum, ego tamen et illic Patrocli memor ero.* Amici mortui ne mortuus quidem obliviscar ipse. — Una urna amborum cinerem et ossa habebit (cf. Ψ 91), una apud inferos versabuntur, ne morte quidem seiuncti (cf. λ 467 sq.).

389. ἐν] § 315.

390. καὶ κεῖθι] § 9.

391. ἀείδοντεσ παιήονα] cf. A 473 et Verg. Aen. X 738.

ὧι Τρῶεσ κατὰ ϝάστυ θεῶι ὣσ ηὐχετάοντο.“ 394b cf. ϑ 467 o 181
ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀϝεικέα μήδετο ϝέργα. 395 = Ψ 24
ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε 395b cf. λ 429
εἰσ σφυρὸν ἐκ πτέρνησ, βοέουσ δ' ἐξῆπτεν ἱμάντασ,
ἐκ δίφροιο δ' ἔδησε, κάρη δ' ἔλκεσθαι ἔασε·
εἰσ δίφρον δ' ἀναβάσ, ἀνά τε κλυτὰ τεύχε' ἀείρασ, 399a = Π 657
μάστιξέν ῥ' ἐλάειν, τὼ δ' οὐκ ἀϝέκοντ' ἐπετέσθην. 400 cf. E 366
τοῦ δ' ἔεν ἑλκομένοιο κονίσαλοσ, ἀμφὶ δὲ χαῖται
κυάνεαι πίτναντο, κάρη δ' ἅπαν ἐν κονίηισι
κεῖτο πάροσ χαρίεν, τότε δὲ Ζεὺσ δυσμενέεσσι
δῶκεν ἀϝεικίσσασθαι ἑῇι ἐν πατρίδι γαίηι.

ὣσ τοῦ μὲν κεκόνιτο κάρη ἅπαν. ἣ δέ νυ μήτηρ

402. (')πίτναντο Ar. T L] πίλναντο (cf. Υ 93 Ψ 368) vel πίμπλαντο Ω. || 403. δυσμενέεσσι] τερπικέραυνοσ l. a. in A.

394. Sic Nestor iuventutis suae strenua facinora enarrans addit: πάντεσ δ' ἀρήσαντο θεῶν Διὶ Νέστορί τ' ἀνδρῶν, Λ 761. Praeterea cf. infra vs. 434.

— ηὐχετάοντο] § 191.

395—404. Non praeter aetatis suae mores saevum Achilles aut nunc se praestat aut mox se praestabit (Ψ 13 Ω 14—17). Nam et Patrocli corpus loro alligatum a Troianis per humum est tractum (P 289—291), et caput eius abscisum Hector moenibus urbis affixurus fuit (P 126 sq. Σ 176 sq.), ceterum corpus canibus proiecturus. Sic Philistaei corpus Sauli capite truncum urbis suae muro affixerunt (Sam. I 31 § 9 sq.), hostium autem corpora circa tumulos caesorum raptari in Thessalia etiam saeculo quarto mos fuit teste Aristotele (cf. Porphyr. ad Ω 15). Cuius moris etiam Callimachum mentionem fecisse docet scholion. Sed poeta adiectivo ἀϝεικέϊ adhibito ostendit *improbari* sibi prisci aevi illam saevitiem, quam e fabulis antiquioribus cognitam habuit. Item Ψ 24; praeterea cf. Σ 337 Ω 113. Quapropter id quod in prisca fabula tantopere sibi displicebat non nisi ex parte ad eventum perductum esse finxit ipse: corpus Hectoris circa tumulum quidem contumeliose esse tractum per humum, sed cavisse Apollinem et Venerem ne laniaretur aut foedaretur, a canibus autem devoratum non esse, sed integrum patri redditum et honorifice sepultum.

397. βοέουσ] § 61. *Balteorum lora* poeta videtur dicere. Cf. Φ 30 sq. — Neglecta armorum permutatione ea, quae effecit ut *Achillis arma* Hector gereret tum cum interfectus est, poetae recentiores finxerunt eius corpus *cingulo* illo, quod ab Aiace dono accepisset (H 305), currui alligatum esse. Quam fabulam Sophocles Ai. 1029 sqq. aut secutus est aut ipse excogitavit. Idem sumsit Hectorem vivum raptatum esse (ibid.), item Euripides (Andr. 399).

400. ἐλάειν] § 191.

402. κυάνεαι] § 21.

τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
τηλόσ', ἐκώκυσεν δὲ μάλα μέγα παῖδα ϝιδοῦσα.
ὤιμωξεν δ' ἐλεεινὰ πατὴρ φίλοσ, ἀμφὶ δὲ λαοὶ
κωκυτῶι τ' εἴχοντο καὶ οἰμωγῆι κατὰ ϝάστυ.
τῶι δὲ μάλιστ' ἄρ' ἔεν ἐναλίγκιον, ὥσ εἰ ἅπασα
Ἴλιοσ ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρησ.
λαοὶ μέν ῥα γέροντα μόγισ ἔχον ἀσχαλάοντα,
ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
πάντασ δ' ἐλλιτάνευε κυλινδόμενοσ κατὰ κόπρον, 414$^{b}$ = Ω 640
ἐξονομακλήδην ὀνομάζων ἄνδρα ϝέκαστον· 415$^{b}$ = K 68
„σχέσθε, φίλοι, καί μ' οἷον ἐάσατε κηδόμενοί περ 416 cf. β 70
ἐξελθόντα πόληοσ ἰκέσθ' ἐπὶ νῆασ Ἀχαιῶν,
λίσσομαι ἀνέρα τοῦτον ἀτάσθαλον ὀβριμοεργόν,
αἴ κέ ποθ' ἡλικίην αἰδέσσεται ἠδ' ἐλεήσηι
γῆρασ. καὶ δέ νυ τῶι γε πατὴρ τοιόσδε τέτυκται,
Πηλεύσ, ὅσ μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέσθαι
Τρωσί· μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκε.
τόσσουσ γάρ μοι παῖδασ ἀπέκτανε τηλεθάοντασ·

---

407. *παῖδα ϝιδοῦσα* Bentley] *παῖδ' ἐσιδοῦσα* (cf. v. l. Ψ 526). || 410. *εἰ*] ἴ olim quidam *αὐτὴ* interpretati (cf. Apoll. Pron. 70 *b* Soph. fr. 418 et § 92), quos iure vituperat Herodianus (coll. *κ* 420). Etiam *Z* 367 *λ* 317 corripitur *εἰ*. || 412. *μόγισ* A] *μόλισ* Ω; cf. *I* 355 Φ 417. || 416. *κηδόμενοι*] sic Ar., *-νον* A C D; cf. Σ 273 et v. l. *π* 147 *σ* 178. || 418. *λίσσομαι* pap. Ber. 6794 T] *λίσσωμ'* Ω. *Aoristi* subiunctivus (*-ο-*) requiritur (cf. vs. 130, 450 et § 108). || 419. **αἴ κέ ποθ'(ι)*] *ἤν πωσ*. Cf. § 326. || 420. *τῶι γε* A D] *τῶιδε* Ω (cf. *T* 33). || 423. *τόσσουσ*] *τοίουσ* pap. Heid. (cf. v. l. Θ 560).

---

406. λιπαρὴν . . . καλύπτρην] *velamentum* (κρήδεμνον) *linteum*. Cf. Ξ 184 sq.

409. Est κωκύειν mulierum, οἰμώζειν virorum (cf. vs. 407 sq., et sic semper apud H.).

410. ἔεν] § 302.

411. ὀφρυόεσσα] †. Cf. Υ 151.

412. ἀσχαλάοντα] § 191.

413. Δαρδανιάων] cf. Ε 789.

414. Luctus signum idem Ω 164 sq.; cf. praeterea Σ 23—25 Herodot. II 85 Verg. Aen. X 844 XII 611 et in poesi Hebraica e. g. Hiob. II 8 Mich. I 10.

416—428. His Priami querelis poeta parat iter quod rex in castra Achivorum post aliquot dies suscepturus est ad exorandum Achillem.

416—418. σχέσθε . . . λίσσομαι] σχέσθε valet: *abstinete vos a me* (cf. vs. 412 et Γ 84 β 76 al.), *nolite me consolari aut retinere*; λίσσομαι autem est subiunctivus aoristi (cf. Z 340).

419. ἡλικίην] non eos qui sunt *eiusdem aetatis* nunc significat, ut alibi (cf. Γ 175), sed *aetatem*. Bis igitur idem dicunt verba ἡλικίη καὶ γῆρασ. Cf. vs. 203.

421. ἔτικτε] cf. ψ 178.

423. τηλεθάοντασ] § 191.

τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ, 424 sq$^{a}$=δ 104 sq.
ὡς ἑνός, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω, 424 = ξ 142
Ἕκτορος. ὡς ὄφελεν θανέμεν ἐν χερσὶν ἐμῇσι!
τῶι κ' ἐκορεσσάμεθα κλαιόντέ τε μυρομένω τε,
μήτηρ θ', ἣ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός." 428 cf. 485 Ω 727
ὣς ἔφατο κλαίων, ἐπὶ δ' ἐστενάχοντο πολῖται. 429 cf. T 301, 338
Τρωιάσι δ' αὖ Ἑκάβη ἀδινοῖ' ἐξῆρχε γόοιο· 430 cf. Σ 316 Ω 747
„τέκνον! ἐγὼ δειλή! τί νυ βίομαι, αἰνὰ παθοῦσα,
σεῖ' ἄπο τεθνηῶτος; ὅ μοι νύκτας τε καὶ ἤμαρ 432$^{b}$ = E 490
εὐχωλὴ κατὰ ϝάστυ 'πελέσκεο, πᾶσί τ' ὄνειαρ
Τρωσί τε καὶ Τρωΐνισι κατὰ πτόλιν, οἵ σε θεὸν ὣς
'δεδϝέχατ'· ἦ γὰρ καί σφι μάλα μέγα κῦδος ἔεσθα
ζωιὸς ἐών! νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει." 436 = P 478
ὣς ἔφατο κλαίουσ'. ἄλοχος δ' οὔ πώ τι 'πέπυστο 437$^{a}$ = T 301
Ἕκτορος. οὐ γάρ ϝοί τις ἐτήτυμος ἄγγελος ἐλθὼν 438$^{b}$ cf. h. Cer. 46
ἤγγειλ'. ὅττι ῥά ϝοι πόσις ἔκτοθι 'μίμνε πυλάων,

424. *πάντων*] *πο*[*λλῶν*] pap. Heid. (ut Ω 498 al.). || 429. *πολῖται*] *γυναῖκες* D, *γέροντες* olim quidam malebant. || 430. *Τρωιάσι δ' αὖ Ἑκάβη* vHerwerden] *Τρῳήσιν δ' Ἑκάβη*, neglecto ϝ. Cf. Z 442 Ω 704 al. || 431. *βίομαι* § 194] *βείομαι* Ar. Ω. — *παθοῦσα*] *τεκοῦσα* Ar. (cf. A 414 Σ 54). || 432. **ἄπο τεθνηῶτος*] *ἀποτεθν.* Ω. Cf. B 292 A 242 α 49 al.; *ἀποθανεῖν* in Iliade non redit, in Odyssea est λ 424 (?) μ 393 φ 33. || 435. *καί* D] *κε* Ω (cf. E 394).

425. ὡσ] pro ὅσσον dicitur etiam δ 105 φ 403.
— κατοίσεται] cf. O 188.
426. θανέμεν] § 126.
428. ἔτικτε] cf. ψ 178.
430. ἀδινοῖ'(ο)] § 59.
431. τί... βίομαι] in verbis ita rogantium tempus futurum est animi commoti indicium; cf. e. g. Φ 89. *Vivere quomodo tandem potero! Vita quomodo sine te mihi erit tolerabilis!* Toleranda tamen. — Alienus hinc est subiunctivus dubitantium vel deliberantium.
432. σεῖ'(ο)] § 92.
— τεθνηῶτος] § 160.
433. εὐχωλὴ] cf. B 159.
434. Τρωΐνισι] § 17.
— θεὸν ὣσ] cf. vs. 394.
435. 'δεδϝέχατ'(ο)] § 134.
— καί] ut A 249.
— ἔεσθα] § 302.
437—446. Magno poeta dignissima est Andromache maritum in bellum abeuntem deflens ut iam mortuum (Z 500—502 et 367 sq.), optima autem quaeque sperans telaeque vacans dum ultimam pugnam ille pugnat, et caeso balneum parari iubens utpote iamiam aedes intraturo. Nempe copias in urbem rediisse audivit (cf. vs. 456), et ipsum Hectorem rediisse putavit, quia sperabat; mox igitur adfuturum confidit. — Cf. ν 92 et ψ 1 sqq.
438. Ἕκτορος] verborum ordo docet non vertendum esse (*uxor* ...) *Hectoris*, sed *de Hectore*. Sic λ 494, 505 Πηλῆος valet *de Peleo*, θ 12 ξείνοιο *de hospite*.

ἀλλ' ἥ γ' ἱστὸν ὕφαινε μυχῶι δόμου ὑψηλοῖο,
δίπλακα πορφυρέην, ἐν δὲ Θρόνα ποικίλ' ἔπασσε. 441 cf. Γ 126
'κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοισ' ἀνὰ δῶμα
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο 443 cf. Σ 344
Ἕκτορι θερμὰ λοετρὰ μάχησ ἐκ νοστήσαντι, — 444b = P 207
νηπίη! οὐδ' ἐνόησεν ὅ μιν μάλα τῆλε λοετρῶν 445a cf. Υ 264
χερσὶν Ἀχιλλῆοσ 'δάμασε γλαυκῶπισ Ἀθήνη.
κωκυτοῦ δ' ἄκουσε καὶ οἰμωγῆσ ἀπὸ πύργου·
τῆσ δ' ἐξελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίσ.
ἥ δ' αὖτισ δμωῇσιν ἐϋπλοκάμοισι μετηύδα·
„δεῦτε, δύω μοι ἕπεσθε, ἵδω τίνα ἔργα τέτυκται.
αἰδοίησ ἑκυρῆσ ἑοπὸσ ἔκλυον, ἐν δ' ἐμοὶ αὐτῇι
στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα 452b cf. H 212
πήγνυται· ἐγγὺσ δή τι κακὸν Πριάμοιο τέκεσσι.
αἲ γὰρ ἀπ' οὔατοσ εἴη ἐμοὶ ἔποσ! ἀλλὰ μάλ' αἰνῶσ 454 cf. Σ 272 [sq. 454b sq.a = K 38
δέδια μὴ δή μοι Θρασὺν Ἕκτορα δῖοσ Ἀχιλλεὺσ

441. πορφυρέην] μαρμαρέην G H; cf. Γ 126. — Θρόνα] θρόα C L. || 442. Pap. Hib. 22: [αἱ]ψα δ' ἄρ' ἀμφι[πόλοισιν ἐϋπλοκάμοισ' ἐκέλευσεν]. — ἀνὰ Nauck] κατὰ. Cf. § 60 et O 101 Ω 166 α 365 al. || 446. χερσὶν] pap. Hib. 22 [χέρσ'] ὕπ' (cf. Π 420, 452 Υ 94 Φ 208). || 447. κωκυτοῦ] pap. Hib. 22 [κωκυτο]ὺσ, fortasse igitur etiam οἰμωγὰσ vel -γὴν habuit. || 448. ἐξελίχθη § 41[24]] ἐλελίχθη. || 450. ἕπεσθε Bentley] -σθον. — ἵδω τίνα Hoffmann] ἴδωμ' ὅτιν' Ω (ὅτι L, ἄτιν' Gen.). || 454. ἐμοὶ Menrad] ἐμεῦ. Cf. Σ 272 et § 92. || 455. δέδια § 168] δείδω.

441. δίπλακα] cf. Γ 126.

— ἐν δὲ θρόνα ποικίλ' ἔπασσε] de verbo ἐμπάσσειν cf. Γ 126. Vox θρόνα etiam in inscriptione Eleusinia legitur, architectonicum aliquod ornamentum ibi significans; sed cuiusmodi ea ornamenta fuerint non liquet. Homeri imitatores *flores* vel *herbas* intellexerunt: Theocr. II 59 Lycophr. 674 Nonn. XXXVII 418 al., sive perperam sive recte; cf. ἀνθέων ὕφασμα et πέπλουσ ἀνθέων γέμοντασ Hermipp. fr. 5 sq. — Minus huc faciunt versus poetae alicuius epici apud Athen. 682*e*, ubi Gratiae et Horae Veneris ῥείματα dicuntur βάψαι ἐν ἄνθεσι ῥοδίνοισι, non enim *species* sed *odor* vestium ibi significatur. Alienum autem hinc est ποικιλόθρονοσ Veneris epitheton Sapph. fr. 1[1], quocum conferenda sunt χρυσόθρονοσ et ἐΰθρονοσ, vertendum autem: *cuius thronus* (floribus aliisve ornamentis) *est variegatus*, nisi rectius illic legitur ποικιλόφρον pro ποικιλόθρον'(ε).

448. χαμαὶ — κερκίσ] imitatur Verg. Aen. IX 476.

450. ἕπεσθε, ἵδω] cf. Z 340.

452. πάλλεται ἦτορ ἀνὰ στόμα] cf. O 645 et H 216. Ex vero his verbis pingitur id quod sentiunt qui rei alicuius eventum instantem anxii expectant. Item nos: *het hart klopt mij in de keel*. Cf. ἔξω στήθεοσ K 94.

— γοῦνα | πήγνυται] *terrore figuntur genua*. Trepidantis vero aniculae genua *labascunt* ψ 3.

454. Cf. Σ 272 et A 562.

μοῦνον ἀποτμήξας πόλιος πεδίονδε δίηται,
καὶ δή μιν καταπαύσηι ἀγηνορίης ἀλεγεινῆς,
ἥ μιν ἔχεσκ', ἐπεὶ οὔ ποτ' ἐνὶ πληθυῖ 'μένεν ἀνδρῶν, 458ᵇ = λ 514ᵃ
ἀλλὰ πολὺ προθέεσκεν, ἑῶν μένος οὔ τινι ϝείκων." 459 = λ 515
ὣς φαμένη μεγάροιο διέσσυτο μαινάδι ϝίση, 460
παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι 'κίον αὐτῆι. 461ᵇ cf. Z 399
αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἵξεν ὅμιλον,
ἔστη παπτήνας' ἐπὶ τείχεϊ, τὸν δ' ἐνόησε
ἑλκόμενον πρόσθεν πόλιος· ταχέες δέ μιν ἵπποι
εἵλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν. 465 465ᵃ cf. Ω 417
τὴν δὲ κατ' ὀφθαλμὼ ἐρεβεννὴ νὺξ ἐκάλυψε, 466 cf. E 659
ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε,
τῆλε δ' ἀπὸ κρατὸς 'βάλε δέσματα σιγαλόεντα,
ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην

459. ἑῶν] cf. Θ 430. — οὔ τινι § 100] οὐδένι. || 462. Pap. Hib. 22: [αὐτὰρ ἐπεὶ Σκαιάς] τε πύλ[ας καὶ πύργ]ον ἵκανεν (cf. Z 237 I 354 Λ 170). || 466. *ὀφθαλμά] -μῶν. Cf. E 659.

457—459. Factum iam est id quod fore paucis diebus ante sensit Hectoris uxor (cf. Z 407): ἀγηνορίη μιν ἔκτα (quae verba de *fera* dixit poeta M 46; cf. etiam Π 753). Quapropter ἀλεγεινήν vocat mariti fortitudinem, quod adiectivum *mihi luctuosam* recte interpretatur schol., δι' ἣν ἔχομαι κακότητι καὶ ἄλγεσι. Potuit fugere Hector, sed noluit (X 92—110).

458. πληθυῖ] § 75.

460. μαινάδι ϝίση] cf. Z 389. Vox μαινάς non nisi h. Cer. 387 redit.

461. παλλομένη κραδίην] cf. O 645 et H 216.

— ἀμφίπολοι] non placida gressuve decoro nunc procedit Andromache, comitantibus duabus ministris, ut mos ferebat (cf. Γ 143 al.), sed anxia e megaro proruit, tela relicta, et cum illa proruunt quotquot adsunt feminae.

463. τὸν δ' ἐνόησε] tandem videt maritum dilectissimum post dierum complurium intervallum (cf. Z 367 sq.), — quantum mutatum ab illo Hectore, quem invita et saepius ἐντροπαλιζομένη in bellum misit (Z 496)!

465. ἀκηδέστως] cf. Φ 123.

467 sq. Corde deficiente veluti moritura Andromache corruit et anhela capitis ornatum avellit. Qui angore opprimuntur, quicquid capiti collo artubus circumdatum vel iectum habent motibus violentis laxare et removere conantur.

467. ἀπὸ ... ἐκάπυσσε] cf. E 698.

468. δέσματα σιγαλόεντα] *velamentum* ceterumque capitis ornatum. Cf. Ξ 184 sq.

469. ἄμπυκα ... κεκρύφαλον ... ἀναδέσμην] †. Erat ἄμπυξ *redimiculum* sive *vitta frontalis*, cf. χρυσάμπυξ *equorum* epitheton E 358 al., *Horarum* h. 5, 12, *Musarum* Hes. Theog. 916, χρυσάμπυξ alia apud lyricos, λιπαράμπυξ iocose usurpatum Ar. Ach. 671. Τὸν κεκρύφαλον autem sive *calanthicam*, *capitis tegumentum* (nos: *muts*, cf. Ar. Thesm. 138, 257 sq., al.), cohibebat ἀναδέσμη sive *fascia* mento

κρήδεμνόν θ', ὅ ῥά ϝοι ᾽δῶκε χρυσέη Ἀφροδίτη
ἤματι τῷι, ὅτε μιν κορυθαιόλοσ ἠγάγεθ᾽ Ἕκτωρ
ἐκ δόμου ᾽Ηετίωνοσ, ἐπεὶ ᾽πόρε μυρία ϝέδνα. 472b = Π 190
ἀμφὶ δέ μιν γάλοοί τε καὶ ἐνατέρεσ ϝάλισ ἔσταν, 473 cf. Z 378
αἳ ϝε μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
ἣ δ' ἐπεὶ οὖν ἄμπνυτο καὶ εἰσ φρένα θυμὸσ ἀγέρθη, 475 cf. ε 458 ω 349
ἀμβλήδην γοάουσα μετὰ Τρωῒκισιν ἔϝειπε·
„Ἕκτορ! ἐγὼ δύστηνοσ! ἰῆι ἄρα ᾽γιγνόμεθ᾽ αἴσηι
ἀμφότεροι, σὺ μὲν ἐν Τροίηι Πριάμου κατὰ δῶμα,
αὐτὰρ ἐγὼ Θήβηισιν ὑπὸ Πλάκωι ὑληέσσηι 479b = Z 396
ἐν δόμωι ᾽Ηετίωνοσ, ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦσαν, 480b cf. Θ 283
δύσμοροσ αἰνόμορον. ὡσ μή μ' ὄφελε τεκέσθαι!
νῦν δὲ σὺ μέν ῥ' Ἀΐδαο δόμουσ ὑπὸ κεύθεσι γαίησ 482 cf. ω 204
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῶι ἐνὶ πένθεῖ λείπεισ 483b-485 cf. Ω 725 sqq.
χήρην ἐν μεγάροισι. πάϊσ δ' ἔτι νήπιοσ αὖτωσ,
ὃν ᾽τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι· οὔτε σὺ τούτωι 485 cf. 428
ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ ᾽θάνεσ, οὔτε σοὶ οὗτοσ.
εἴ περ γὰρ πόλεμόν γε φύγηι πολύδακρυν Ἀχαιῶν,

473. ἔσταν] ἦσαν l. a. in A. || 475. ἄμπνυτο] ἔμπνυτο Ar. (cf. E 697). || 476. Τρωΐηισιν] δμωῆισιν D L. || 478. κατὰ δῶμα] sic Ar., ἐνὶ οἴκωι l. a. ant. || 481. *μ'(ε)] supplevimus. — ὄφελε Par.] ὄφε(λ)λε Ω. Cf. § 273. || 482. ῥ'] om. D L (cf. § 19). || 487—499. Ar. —, vs. 487-505 damnat Lehrs (505 sq. damnaverat DHeinsius, vs. 506 Bentley), vs. 487-507 Duentzer. Cf. comment. || 487. εἴ § 326] ἦν. — περ γὰρ] γὰρ δὴ A.

subdita, eodem igitur officio fungens atque ὀχεύσ qui bellatorum galeam capiti adnectebat (cf. Γ 372).

470—472. Avellit etiam *ricam* (cf. Ξ 184 sq.), quam ipsa Venus nuptiarum die ei dono dederat. — Ergo in fabulis Iliade vetustioribus Venus (dea Asiatica) non tantum *Paridis* et *Aeneae* sed et *Hectoris* fuit patrona (cf. Ψ 185); in universum igitur dici potest stirpis regiae dea tutelaris atque adeo *mater*, si unius Aeneae rationem habemus. Uxori capitis tegumentum dedit Venus, marito Apollo (cf. Λ 353)

470. χρυσέη] § 18 et 61.

473. γάλοοί τε καὶ ἐνατέρεσ] cf. Z 378 et de syllaba ἐ- § 21.

— γάλοοι] § 62.

474. ἀτυζομένην ἀπολέσθαι] non *mortem appetivisse* dicitur Andromache, ut coll. Σ 34 putaverit quispiam, sed *adeo fuisse perturbata ut mori videretur*, nos *tot sternens toe ontzet*: οὕτω τεταραγμένη ὥστε ἀπολέσθαι (δοκεῖν).

475. ἐπεὶ . . . εἰσ φρένα θυμὸσ ἀγέρθη] *cum ex animi defectu ad se rediisset* (*cum ad corpus suum rediisset animus*, cf. Λ 241 O 80—83). Item ξυναγείρεσθαι attice vel Theocrit. XV 57.

476. ἀμβλήδην] cf. T 314.

— γοάουσα] § 191.

— Τρωΐηισιν] § 17.

477. ἰῆι . . . ᾽γιγνόμεθ᾽ αἴσηι] cf. A 418.

487—507. Mortuo Hectore ipsi urbi et civibus proximam esse perniciem,

αἰεί τοι τούτωι γε πόνος καὶ κήδε' ὀπίσσω 488b cf. Λ 270 Φ 525
ἔσσοντ'· ἄλλοι γάρ ϝοι ἀποϝρήσουσιν ἀρούρας.
ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι·
πάντα δ' ὑπεμνήμυκε, δεδακρύαται δὲ παρειαί. 491b = υ 353
δευόμενος δέ τ' ἄνεισι πάϊς εἰς πατρὸς ἑταίρους,
ἄλλον μὲν χλαίνης ϝερύων, ἄλλον δὲ χιτῶνα·
τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχε,
χείλεα μέν τ' ἐδίνη', ὑπερώικην δ' οὐκ ἐδίνει.
τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε,
χερσὶν πεπληγὼς καὶ ὀνειδείοισιν ἐνίσσων·
‚ϝέρρ' οὕτως· οὐ σός γε πατὴρ μετὰ δαίνυται ἡμῖν.'
δακρυόεις δέ τ' ἄνεισι πάϊς εἰς μητέρα χήρην,
Ἀστυϝάναξ, ὅς πρὶν μὲν ἑοῖ' ἐπὶ γούνασι πατρὸς

488. *αἰεί τοι*] *ἀλλ' ἤτοι* l. a. in A. || 489. *ἀποϝρήσουσιν* § 150[5]] *ἀπουρήσουσιν* vel *-ρίσσουσιν* (sic Ar.) Ω; a verbo *οὐρίζειν* repetebant veteres (cf. Apoll. Rh. II 794 sq.). || 491. *ὑπεμνήμυκε*] sic Ar., *ὑπομνήμυκε* Harl., *ὑπ' ὄμμ' ἤμυκε* vLennep (coll. Coluth. 331 *ὑπημύουσι παρειαί*). — *δεδακρύαται* § 119] *-νται* Ω, item υ 204, 353. — *παρειαί*] *-ά* Ar. C; neutrum praeferebat Ar. coll. *πλευρᾰ-πλευραί πυρᾰ-πυραί* (cf. *Γ* 35). || 497. *ἐνίσσων*] *-σπων* D[2], *-πτων* l. a. in T. Cf. § 243 et 246. || 498. *οὕτως*] *οὕτος* C D (qui Atticus pronominis usus apud H. non invenitur alibi). Cf. ζ 218 ρ 447.

Andromache aut scit aut sentit, ut sensit Priamus (cf. vs. 61): nullam mox fore Troiam, nullum regnum Troianum; filiolo igitur aut mortem instare (cf. Ω 734) aut servitutem, aut, si hanc quoque effugiat, pauperum vitam squalidam. Sic videlicet caelites exaudiverunt preces Hectoris „δότε παῖδ' ἐμὸν ἀριπρεπέα Τρώεσσι γενέσθαι" tum cum uxori valedixit orantis (Z 476 sq.). Cf. Telemachi de sua matrisque misera condicione querelae β 58—60 al.

489. ἀρούρας] i. e. τέμενος βασιλήϊον, agros a civibus nobis datos.

490. παναφήλικα] †, *sodalibus plane destitutum, cui nulla sit* ἡλικίη (cf. Γ 175).

491. ὑπεμνήμυκε] verbum †, quod *suspicit* vel *veretur* vel simile quid significasse docet contextus.

— παρειαί] cf. Δ 142.

492. ἄνεισι] puer rerum humanarum imperitus *redit* ad eos quibuscum olim, cum magis prospera utebatur fortuna, familiariter consuevit, amicos etiamnunc eos habere se ratus videlicet.

494. κοτύλην] vox proprie *vasculum* valens (cf. Ε 306 sq. Ψ 34) etiam ο 312 ρ 12 *potum* significat, ut χοίνιξ *cibum* τ 28.

496. ἀμφιθαλὴς] †, *utrinque florens, puer patrimus et matrimus* (*camillus*). Cf. Plat. Leg. 927*d* Ar. Av. 1737.

498. οὕτως] i. e. ὡς ἔχεις (cf. Soph. Ant. 315 al.). Similis adverbii vis est ζ 218 ρ 447; cf. ὧδε Σ 392 al.

500 sq. Puellum dentibus etiam carentem (cf. Z 400) pater medulla et adipe nutriebat (cf. I 489—491). Medullam hominibus inde ab iis temporibus, quorum nulla memoria scripto est propagata, fuisse acceptissimam

μυελὸν οἷον ἔδεσκε καὶ οἰῶν πίονα δημόν,
αὐτὰρ ὅθ' ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,
ηὗδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
εὐνῇι ἔνι μαλακῇι, θαλέων ἐμπλησάμενος κῆρ·
νῦν δέ κε πολλὰ πάθῃσι, φίλοι' ἀπὸ πατρὸς ἀμαρτών, [sq.
Ϝαστυ-άναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσι, 506 sq. cf. Z 402
οἷος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά. 506b = Σ 487
νῦν δὲ σὲ μὲν παρὰ νηυσὶ κορωνίσι, νόσφι τοκήων,
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
γυμνόν· ἀτάρ τοι ϝείματ' ἐνὶ μεγάροισι κέονται
λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν. 511a = κ 223 cf. ε 231
ἀλλ' ἦ τοι τάδε πάντα καταφλέξω πυρὶ κηλέωι,
οὐδὲν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτός,
ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι." 514 cf. Ω 215
ὣς ἔφατο κλαίουσ', ἐπὶ δ' ἐστενάχοντο γυναῖκες. 515 = T 301

501. ἔδεσκε καὶ οἰῶν] ἔδεσκ' οἴων καὶ Ro hl (cf. § 74). || 507. πύλας] πόλιν Plat. Cratyl. 392 e. || 513. οὐδὲν] *οὐ μὲν? an *οὔ τι τεῖν γ'? Cf. § 100 et 92. — αὐτός Hoogvliet] αὐτοῖσ. Cf. Ψ 277 Ω 499, § 60 et 98. || 515. ἔφατο] ἄρ' ἔφη pap. Hib. 22.

testantur quae in cavernis plurima reperta sunt ossa fissa. Et fortasse singulare aliquod robur impertire credebatur ipsa roboris sedes comesa (cf. β 290 υ 108). — *Astyanactis* nomen magna cum emphasi profertur nunc et vs. 506, est enim nomen disertum: *urbis* ille *dominus* qui a civibus vocabatur, mancipii mox instar erit!

500. ἑϝοῖ'(ο)] § 59.

502. νηπιαχεύων] †, *ludens, ut solent* νηπίαχοι (cf. B 338 al.), μελπόμενοσ καὶ ἀθύρων νηπιήφι.

505. δέ κε] § 326.

— φίλοι'(ο)] § 59.

509. Expectat Andromache id quod ipsa res et saevi illius aevi mores ferebant; cf. A 4.

510. κέονται] § 169.

512. κηλέωι] § 8.

513. οὐδὲν... ὄφελοσ] similis structura est Γ 50 sq.

— οὐκ ἐγκείσεαι αὐτόσ] *tum cum comburam vestes, ipsum tuum corpus* (cf. A 4) *iis non erit impositum.* — Eo aevo in regis rogo comburebantur vestimenta, oves, boves, mel, vinum, canes, equi, ministri (cf. Z 417—419 Ψ 166—177), ne nuda et sola, famelica et sitiens oberraret anima defuncti (cf. Ψ 151 Ω 595 Herodot. V 92η); sed ipsum eius corpus nisi simul cremaretur, dona illa prodesse ei non poterant, non enim ad eum erant perventura. Cf. tamen κ 523 sq. λ 31 sq., sive leve ibi inter Iliadem et Odysseam apparet discrimen, sive ad rite sepultos eiusmodi dona etiam postmodo pervenire potuisse sunt credita, sive poetarum mens hac in re sibi non constitit.

514. εἶναι] infinitivus finalis (*ut sint...*) a verbo καταφλέγειν suspensus. Sunt igitur parallela substantivum ὄφελοσ et infinitivus εἶναι.

## τάφος Πατρόκλου.

Ψ ὣς οἳ μὲν ᾽στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοί,
ἐπεὶ δὴ νῆάς τε καὶ ᾽Ελλήσποντον ἵκοντο, 2 cf. *O* 233
οἳ μὲν ἄρ᾽ ἐσκίδναντο ἕϝὴν ἐπὶ νῆα ϝέκαστος, 3 = *T* 277 cf. *β* 258
Μυρμιδόνας δ᾽ οὐκ εἴα᾽ ἀποσκίδνασθαι Ἀχιλλεύς,
ἀλλ᾽ ὅ γε ϝοῖσ᾽ ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
„Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἑρίϝηρες ἑταῖροι, 6ᵇ = *ι* 172, 555 *μ* 199, 397 *ξ* 249
μὴ δή πω ὑπ᾽ ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
ἀλλ᾽ αὐτοῖσ᾽ ἵπποισι καὶ ἅρμασιν ἄσσον ἰόντες
Πάτροκλον κλαίωμεν, ὅ γὰρ γέρας ἐστὶ θανόντων. [323 *Π* 457 9ᵇ = *ω* 190 cf. *Δ*
αὐτὰρ ἐπεί κ᾽ ὀλοοῖο τεταρπώμεσθα γόοιο, 10 cf. 98 10ᵇ = *λ* 212
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες.“
ὣς ἔφαθ᾽, οἳ δ᾽ ὤιμωξαν ἀϝολλέες, ἦρχε δ᾽ Ἀχιλλεύς.
οἳ δὲ τρὶς περὶ νεκρὸν ἐϋτριχας ἤλασαν ἵππους
μυρόμενοι· μετὰ δέ σφι Θέτις γόον ἵμερον ὦρσε. 14ᵃ = *Σ* 234
᾽δεύοντο ψάμαθοι, ᾽δεύοντο δὲ τεύχεα φωτῶν
δάκρυσι· τοῖον γὰρ ᾽πόθεον μήστωρα φόβοιο.
τοῖσι δὲ Πηλεΐδης ἀδινοῖ᾽ ἐξῆρχε γόοιο, 17 sq. = *Σ* 316sq.

9. ὅ γὰρ] ὅ περ (item *ω* 190)? Cf. § 101 et *K* 127.

2. ἐπεί] § 22.

4. εἴα᾽(ε)] § 191.

13. Praeit Achilles, corpus Hectoris trahens currui etiam alligatum. Cf. X 395—404. — Patrocli corpus ex Achillis tabernaculo (cf. T 211 sq.) iam elatum fuisse in locum apertum apparet e contextu. Cf. etiam vs. 59—61 et ω 50—57. Quoniam alterum castrorum cornu obtinebat Achillis tabernaculum (cf. Λ 8), in proxima vicinia spatium deesse non potuit.

14. μετὰ] adfuit igitur Thetis, quae postea et ipsius Achillis exequiis adfuit (cf. ω 47—49); non tamen Myrmidonibus adspiciendam nunc se praebuisse est putanda. Sic Minerva e. g. B 446 sqq. inter Achivos versatur quidem, in pugnam eos instigans, quin tamen eos lateat non potest dubitari (cf. A 198).

15 sq. *Spargitur et tellus lacrimis, sparguntur et arma* Verg. Aen. XI 191.

16. τοῖον] nihil insoliti aut obscuri habet pronomen ita ut h. l. usurpatum (item Ψ 280 *α* 343 *δ* 206 alibi), et tamen Aristarchus aequales suos diple appicta admonendos esse sensit ne glossographos secuti τοῖον interpretarentur ἀγαθόν (item *δ* 206)? Id certe perhibetur in scholiis; sed credibile non videtur de Aristarchi consilio aut de stultitia glossographorum vera illic referri; nam revera minime stulte interpretantis est utrobique adiectivum τοῖον reddere (*tam*) *bonum*.

17. ἀδινοῖ᾽(ο)] § 59.

χειρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσφιν ἑταίρου·
„χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ ἐν Ἀΐδαο δόμοισι· 19 = 179
19b = X 52
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην, 20 cf. 180
Ἕκτορα δεῦρ' ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι, 21 cf. σ 87 χ 476
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν 22 cf. Σ 336
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς." 23 = Σ 337
ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀρείκεα μήδετο ἔργα, 24 = X 395
πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας
ἐν κονίησ'. οἳ δ' ἔντε' ἀφωπλίζοντο ἕκαστος
χάλκεα μαρμαίροντα, λύον δ' ὑψαύχενας ἵππους, 27a = Π 664
κὰδ δ' ἷζον παρὰ νηῒ ποδώκεος Αἰακίδαο
μυρίοι· αὐτὰρ ὃ τοῖσι τάφον μενοεικέ' ἐδαίνυ.
πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ
σφαζόμενοι, πολλοὶ δ' ὄϊες καὶ μηκάδες αἶγες,
πολλοὶ δ' ἀργιόδοντες ὗες θαλέθοντες ἀλοιφῇ 32b sq. = I 467 sq.
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
πάντηι δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα.

---

18. ἀνδροφόνους] cf. Σ 317. — στήθεσφιν] -σιν Ω. Cf. B 388. ‖ 21. ἐρύσας] neglecto ϝ. ‖ 26. ϝέκαστος] ἕκαστοι B T. Cf. vs. 55 et Ω 1. ‖ 27. ὑψαύχενας vHerwerden] ὑψηχέας Ω (λύοντο δὲ μώνυχας T G). Cf. E 772. ‖ 30 (sq, an — 34?). Olim fuerunt qui damnarent (cf. Δ 123). — ἀργοὶ] ἀργῶι l. a. in T. — ὀρέχθεον] ἐρέχθεον Ar. (cf. ε 83 et Et. M. 371, 24)?

---

19 sq *Laetare Patrocle etiam mortuus* (= *licet loco tristissimo iam verseris*), *iam enim promissa tibi persoluturus sum.*

19. ἐν] § 315.

20. πάροιθεν] promisit haec Achilles Σ 334—337; cf. Φ 27—32.

21. Ἕκτορα ... ὠμὰ δάσασθαι] neutrum plurale debetur notioni quae subest: μελεϊστὶ ταμών (Ω 409; cf. X 347). Non ipsum corpus sed viscera eius κεκρεουργημένα (cf. σ 87 χ 476) canibus proiecturus est Achilles.

24. ἀρείκεα μήδετο ἔργα] poeta non Hectori soli sed et ipsi Achilli turpe censet id quod nunc fit: nudum corpus hostis caesi iuxta Patrocli lecticam humi proiectum, mox canibus devorandum (vs. 183). Cf. X 395.

26. ἀφωπλίζοντο] comp. †; cf. Θ 55.

27. ὑψαύχενας] cf. E 772.

29. τάφον ... ἐδαίνυ] cf. T 299.

30—33. Imitatur Verg. Aen. XI 197—199.

30. ἀργοὶ] *nitidi*, non *candidi*, „οὐ γὰρ θύεται λευκὰ τοῖσ τεθνεῶσι" (schol.). Cf. χὴν ἀργή o 161. Aliud est adiectivum ἀργός *celer*, canum epitheton (A 50 al.).

— ὀρέχθεον] †. Verbi ῥοχθέειν sive *mugiendi* forma haec est altera (sic et Theocr. XI 43).

— σιδήρωι] *cultro*, μαχαίρηι (cf. Γ 271 et Ψ 826—835).

32. ὗες] cf. T 197.

34. κοτυλήρυτον ἔρρεεν αἷμα] *tam ubertim profluebat sanguis ut pelvibus* (cf. E 306 sq.) *hauriri posset.* Recte sic interpretabatur Ar., hyperbolice haec dicta esse sentiens. Simplicior

αὐτὰρ τόν γε ϝάνακτα ποδώκεα Πηλεΐωνα
εἰσ Ἀγαμέμνονα δῖον ἄγον βασιλῆεσ Ἀχαιῶν, 36ª = *H* 312
σπουδῇι παρπεπιθόντεσ, ἑταίρου χωόμενον κῆρ. 37ª = ω 119
οἳ δ' ὅτε δὴ κλισίην Ἀγαμέμνονοσ ἶξον ἰόντεσ,
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισ' ἐκέλευσαν 39 cf. *B* 50
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, εἰ πεπίθοιεν 40 sq. cf. Σ344sq.
Πηλεΐδην λούσασθαι ἄπο βρότον αἱματόεντα.
αὐτὰρ ὅ γ' ἀρνέετο στερεῶσ, ἐπὶ δ' ὅρκον ὄμοσσε·
„οὐ μὰ Ζῆν', ὅσ τίσ τε θεῶν ὕπατοσ καὶ ἄριστοσ, 43ᵇ = *T* 258
οὐ θέμισ ἐστὶ λοετρὰ καρήατοσ ἅσσον ἱκέσθαι,
πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι
κείρασθαί τε κόμην, ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε 46ª = δ 198
ἵξετ' ἄχοσ κραδίην, ὄφρα ζωοῖσι μετείω.
ἀλλ' ἦ τοι νῦν μὲν στυγερῆι πειθώμεθα δαιτί,

39. ἐκέλευσαν] sic (κελ.) Ar., κέλευσεν D. || 42. ὅ γ'(ε)] ὁ pap. 128 D, ὅσ (§ 15)? || 43. τίσ τε] τ' ἐστὶ Grashof (coll. h. Ven. 37). || 46. μ' ἔτι] τί με l. a. in A. || 48. ἦ τοι] ἄγε δὴ D. — πειθώμεθα] sic Ar., τερπώμεθα pap. 128². — δαιτί] νυκτί Heyne (cf. Θ 502 *H* 282), γαστρί Peppmueller (cf. η 216 ο 344 σ 53).

interpretandi ratio: *sanguis pelvibus haustus, dein circa mortuum effusus, per humum fluebat* reicienda est propterea quod sic superesset rogare: *unde* igitur *haustus* fuerit sanguis; aliud enim hoc est atque sanguinem eiaculatum *excipere*. Quae si tamen placeat ratio, sumatur necesse est sanguinem ex hominum et animalium faucibus recisis profluentem, cum receptus esset ἀμνίωι (γ 444), inde κοτύλαισ haustum et corpori circumfusum esse; sic vero adiectivum κοτυλήρυτοσ inutile et ieiunum fiat. Id †, a verbo ἀρύειν apud H. non obvio ductum.

37. Achillem, propter mortem Patrocli Agamemnoni etiam succensentem, — qui nisi iniuria eum affecisset, Patroclus non fuisset interemtus, — reges vix tandem permoverunt ut huius tabernaculum et cenam adiret. Id quod necessarium tamen erat, ut clare appareret omnibus, Agamemnonem Achilli plane satisfecisse et in gratiam cum eo rediisse. Cf. T 146—148.

41. Conferatur Ulixes procorum sanguine conspersus dum cum uxore confabulatur (cf. χ 491).

— λούσασθαι] § 295.

42. ἀρνέετο] § 191.

44. καρήατοσ] § 82.

46. κείρασθαί τε κόμην] de luctus hoc signo cf. Γ 273.

47. μετείω] § 302.

48. Cf. Ulixis verba η 216: οὐ γάρ τι στυγερῆι ἐπὶ γαστέρι κύντερον ἄλλο, et ρ 286 σ 53. Est nunc δαίσ *tempus cenae*. De locutione δαιτὶ πείθεσθαι cf. quae ad H 282 sunt annotata. Etiam Achilles cibum nunc sumet, a quo ceterum hunc diem abstinuit (cf. T 209—214), interim a Minerva instillatis ambrosia et nectare sustentatus (cf. T 352—354).

ἠῶθεν δ' ὄτρυνε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,
ὕλην τ' ἀξέμεναι παρά τε σχέμεν' ὅσσ' ἐπιϝεικὲς
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα, 51ᵇ = λ 57, 155 cf. Φ 56
ὄφρ' ἦ τοι τοῦτον μὲν ἐπιφλέγῃι ἀκάματον πῦρ
θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ϝέργα τράπωνται."
ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο, 54 = H 379
ἐσσυμένως δ' ἄρα δόρπον ἐφωπλίσσαντο ϝέκαστος.

αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἶντο, 57 = A 469
οἳ μὲν κακκείοντες ἔβαν κλισίηνδε ϝέκαστος, 58 cf. A 606
Πηλεΐδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης
'κεῖτο βαρὺ στενάχων, πολέσιν μετὰ Μυρμιδόνεσσι,
ἐν καθαρῷι, ὅθι κύματ' ἐπ' ἠϊόνος 'κλύζεσκον. 61ª cf. Θ 491
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ, 62 = υ 56
ϝήδυμος ἀμφιχυθείς, — μάλα γὰρ 'κάμε φαίδιμα γυῖα 62ᵇ = ψ 343
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν, — 63ª = Ξ 253
ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλέεος δϝειλοῖο. 65ª = λ 84, 90, 387, 467 cf. ω 20
πάντ' αὐτῶι μέγεθός τε καὶ ὄμματα κάλ' ἐϝέϝικτο 67ᵇ = ρ 203, 338 τ 218 ω 158
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ ϝείματ' ἔϝεστο· 68 = Ω 682 δ803ζ 21υ32ψ4cf.B59
'στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔϝειπε· 68ª = B 20

56 'δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης. 56 = A 468

49. ὄτρυνε Bentley] -νον. Cf. Δ 268 Π 501 P 559 ο 14. || 50. ὅσσ'(α) C] ὡς Ω. || 55. ἐφωπλίσσαντο (ἐφοπλίσαντο) D Eust.] ἐφοπλίσσαντες Ω. Cf. comment. — (ϝ)έκαστος Barberinus I 161] ἕκαστοι Ω. Cf. vs. 26 et Ω 1. || 56. Del. Bentley. || 61. ἐπ'(ι)] ἀπ' pap. 128. — ἠϊόνος] -νας pap. 128² A. — 'κλύζεσκον] -σκεν C, Ar. utrumque. || 63. ϝήδυμος § 41²] νήδυμος Ar. Ω. || 66. ἐϝέϝικτο Fick (ut vs. 107)] εἰκυῖα (ut in versu spurio ε 337), καλὰ ϝεϝοίκει Brandreth; cf. § 160⁶.

50. σχέμεν'(αι)] § 125.

51. νέεσθαι] cf. Φ 48.

55. ἐφωπλίσσαντο] medium ut Θ 503 I 66; activum significat *aliis cenam apparare* (etiam τ 419 ω 360).

61. ἐν καθαρῶι] cf. Θ 491. — Circa corpus amici defuncti excubias agit Achilles cum parte militum. Cf. vs. 13.

62—101. Per silentium nocturnum anima Patrocli, quae nondum pervenit ad sedes mortuorum, redit ad corpus suum insepultum et loca sueta. Dormientium autem insomnia etiam extra ipsorum mentem extare putarunt poeta et eius aequales; cf. A 63 B 6 K 496 O 80—83 Λ 241 δ 796—802, 809 ζ 15—24 λ 207 ξ 495 υ 88 τ 560 sqq. ω 12. Neque aliter Herodotus I 34 VII 17. Nunc Achilli adstat anima amici; ψυχαὶ videlicet πεποτήαται ἠΰτ' ὄνειροι (λ 222).

64. Ἕκτορ'(ι)] § 13.

— ἠνεμόεσσαν] § 21.

65. Πατροκλέεος] § 73.

„εὖδεισ, αὐτὰρ ἐμεῖο λελασμένοσ ἔπλε', Ἀχιλλεῦ·
οὐ μέν μευ ζώοντοσ ἀκήδεεσ, ἀλλὰ θανόντοσ.
θάπτε με, ὅττι τάχιστα πύλασ Ἀΐδαο περήσω. 71b cf. E 646
τῆλέ με ϝέργουσι ψυχαί, ϝείδωλα καμόντων, 72 cf. ω 14
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖ' ἐάουσι, 72b = λ 476
ἀλλ' αὕτωσ ἀλάλημαι ἀν' εὐρυπυλὲσ Ἄϊδοσ δῶ. 74b cf. λ 571
καί μοι δὸσ τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτισ
νίσσομαι ἐξ Ἀΐδαο, ἐπεί με πυρὸσ λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰσ ἑξόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἣ περ 'λάχε γιγνόμενόν περ,
καὶ δὲ σοὶ αὐτῷι μοῖρα, θεοῖσ' ἐπιϝείκελ' Ἀχιλλεῦ,

70. μευ ζώοντοσ] *ζώοντόσ γε? Menrad ζώοντόσ με'. Cf. § 92. || 71. Post με interpungendum esse (sic Clarke) docent numeri; cf. § 15 et X 129. || 72. ϝέργουσι § 230] εἴργουσι. || 74. εὐρυπυλὲσ] -λον (item λ 571)? || 76. νίσσομαι] νείομαι pap. 128 (cf. Σ 136). — ἐπεί Vrat.] ἐπήν Ω. Cf. § 326. || 77. μὲν γὰρ] sic Ar., γάρ ἔτι Aeschin. I § 149 et „τινὲσ τῶν κατὰ πόλειν."

69. ἔπλε'(ο)] § 117.

70. ἀκήδεεσ] § 191.

71. θάπτε ... περήσω] cf. Z 340.

72—74. Ad sedes inferorum anima mortui prius pervenire non potest quam corpus fuerit combustum et iusta ei persoluta fuerint; *amnem* enim transire eam non sinunt animae ceterae, si nuda et sola ad eas veniat (cf. λ 74). Quemnam amnem? *Acherontem* (κ 513)? De *Oceano* quominus cum Odysseae poeta loquamur (cf. κ 508 λ 21 sq. ω 11—14) prohibet mutata sensim hominum cogitandi ratio; nam *sub terram* animas mittit Iliadis poeta (cf. vs. 100 et O 188), Oceanus autem ipsam terram alluit. In vs. 74 verba ἀν' εὐρυπυλὲσ Ἄϊδοσ δῶ non *ipsas Ditis aedes* significant, ad quas per portam fiebat aditus, nam illam portam se *nondum intrasse* anima modo dixit (vs. 71); sed totam Ditis regionem ea verba complectuntur, cum aedes, tum campum ante eas aedes patentem; item λ 571 et μ 21. Itaque tum cum obiit heros, eius anima εἰσ Ἀΐδαο abiisse — ut aliae animae — dici potuit (cf. Π 856) et nunc inde rediisse (cf. αὖτισ vs. 75), et tamen posthac demum iusto funere illuc mittenda esse (cf. vs. 137). Quod loquendi genus minus accuratum testatur in poetae mente confluxisse duas notiones, quarum altera animas omnes, ut primum corpus reliquissent, in aedem Ditis abire ferret, altera non nisi *crematorum* animas ibi quietem sempiternam invenire. Cf. λ 568—600.

72. καμόντων] cf. Γ 278.

73. ποταμοῖ'(ο) ἐάουσι] § 59 et 191.

75. καί — χεῖρ'(α)] *da dextram misero* Verg. Aen. VI 370.

— ὀλοφύρομαι] *flebili voce precor, obsecro.* Cf ὀδύρεσθαι Β 290.

78 sq. κὴρ | ἀμφέχανε] *devoravit Mors*, ore voraci abripuit monstrum taetrum et rapax. Cf. loci ubi *bello* vel *telo* tribuitur os (Κ 8 al.).

80 sq. Cf. Ρ 406 sq.

τείχε' ὕπο Τρώων ἐϋκφενέων ἀπολέσθαι. 81ª = *P* 404
ἄλλο δέ τοι ῥερέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι.
μη ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
ἀλλ' ὁμοῦ, ὡσ ἔτραφόν περ ἐν ὑμετέροισι δόμοισι,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιοσ ἐξ Ὀπόεντοσ
ἤγαγεν ὑμέτερόνδ' ἀνδροκτασίησ ὕπο λυγρῆσ,
ἤματι τῷι ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντοσ,
νήπιοσ, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείσ·
ἔνθα με δεξάμενοσ ἐν δώμασιν ἱππότα Πηλεὺσ
ἔτρεφέ τ' ἐνδυκέωσ καὶ σὸν θεράποντ' ὀνόμηνε·
ὥσ δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸσ ἀμφικαλύπτοι."
τὸν δ' ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„τίπτε μοι, ἠθείη κεφαλή, δεῦρ' εἰλήλουθασ 94 cf. ε 87

92 χρύσεοσ ἀμφιφορεύσ, τόν τοι ᾽πόρε πότνια μήτηρ. 92ª cf. ω 74

81. ἐϋηφενέων Rhianus Aristoph.] -γενέων Ar. Ω. Idem error est *A* 427. — Apud Aeschinem l. l. additur versus: μαρνάμενον δηΐοιο᾽ Ἑλένησ ἕνεκ᾽ ἠϋκόμοιο. || 82. καὶ ἐφήσομαι, αἴ κε πίθηαι] σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι Aeschin. l. l. (ut *A* 297 al.). || 84ª. Apud Aeschinem l. l. legitur: ἀλλ᾽ ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθῃ | χρυσέοι ἐν ἀμφιφορεῖ, τόν τοι πόρε πότνια μήτηρ (cf. vs. 92), | ὡσ ὁμοῦ ἐτράφομέν περ. — ἔτραφόν περ] -φην περ vel -φημεν Ω. Cf. § 149[103]. Recte haberet etiam ᾽τράφομέν περ (cf. Aeschin. l. l.). || 88. νήπιοσ] -ον D. — ἀστραγάλοισι χολωθείσ] -λησιν ἐρίσσασ pleraeque „τῶν κατ᾽ ἄνδρα." || 90. ἔτρεφε] ἔτραφε Syr. A D T. || 92. Om. pap. Heid., Ar. —. Non vivo sed mortuo Achilli hoc donum attulit Thetis; cf. ω 74. || 93. In pap. Heid. additur: [ἠδὺ μάλα κνώσσων ἓ]ν ὀνειρείῃσι πύλῃσιν (= δ 809). || 94. ἠθείη] ὦ θεία Chamaeleo.

81. τείχε'(ϊ)] § 71.

83. τιθήμεναι] § 195.

84 et 86. ὑμετέροισι et ὑμέτερόνδ'(ε)] *vestras aedes* dicit *Peleï et ipsius Achillis*. Cf. Π 244 et Z 414.

85—90. Cf. quae ad Σ 325 sq. sunt annotata.

88. ἀστραγάλοισι] puerilis hic lusus †; ceteris locis ἀστράγαλοσ significat *vertebram* (Ξ 466 κ 560 λ 65). Patroclus quanti roboris vir futurus esset, puer ostendit, ut olim Hercules; nam alium puerum incautius feriens extemplo interemit, νήπιοσ, οὐκ ἐθέλων: *non consulto, sed quia viribus parcius uti nondum didicerat*. Pugnarunt semper inter se pueri et de talis aliisve crepundiis rixati sunt saepe, — puerum a sodali hanc ob causam mordicus arreptum ostendit t. 54 Brunn-Bruckmann Denkm., — sed non cuiusvis est inferre alapas statim mortiferas.

91. σορὸσ] †, *capulus*. Postea *lignei* — Athenis certe — esse solebant σοροί sive λάρνακεσ (κυπαρίσσιναι Thuc. II 34 § 3); ἐπήγνυντο igitur, et σοροπηγοί dicebantur qui capulos faciebant (Ar. Nub. 846 al.). *Hectoris* vero ossa in *auream* λάρνακα, *Achillis* in *aureum* ἀμφιφορῆα posthac sunt collecta (Ω 795 et ω 74), *Patrocli* autem mox colligentur in *auream* φιάλην, posthac cum Achillis cineribus miscenda (cf. infra vs. 243, 253, 270, 616).

καί μοι ταῦτα ϝέκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ' ἐκτελέω καὶ πείσομαι ὡσ σὺ κελεύεισ.
ἀλλά μοι ἄσσον στῆθι· μίννυθά περ ἀμφιβαλόντε
ἀλλήλω ὀλοοῖο τεταρπώμεσθα γόοιο." 98 cf. 10
ὣσ ἄρα φωνήσασ ὠρέξατο χερσὶ φίλνισι
οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸσ ἠΰτε καπνὸσ
ὤιχετο τετριγυῖα. ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺσ 101b = *I* 193
χερσί τε συμπλατάγησε, ϝέποσ δ' ὀλοφυδνὸν ἔϝειπε· 102b = *E* 683
„ὦ πόποι, ἦ ῥά τί ἐστι καὶ ἐν Ἀϊδαο δόμοισι
ψυχὴ καὶ ϝείδωλον, — ἀτὰρ φρένεσ οὐκ ἔνι πάμπαν, —
πανυχίη γάρ μοι Πατροκλέοσ δϝειλοῖο
ψυχὴ ἐϝειστήκει γοάουσά τε μυρομένη τε, 106b = *Z* 373
καί μ' ἐπέτελλε ϝέκαστα, 'ϝέϝικτο δὲ θέσκελον αὐτῶι." [*τ* 249 *ψ* 231 [153 *Ω* 507 *π*215
ὣσ 'φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο· 108 = *δ* 183 cf. *Ψ*
μυρομένοισι δὲ τοῖσι 'φάνη ῥοδοδάκτυλοσ Ἠὼσ 109 cf *ψ* 241

96. σὺ] με L. || 97. ἀμφιβαλόντε] -ντεσ C L T, ἀμφιχυθέντεσ Harl.[2] (cf. *π* 214). || 98. ἀλλήλω] -λουσ *Ω*. — ὀλοοῖο] κρυεροῖο l. a. in A. || 103. τι L] τισ *Ω*. De hiatu cf. § 99. || 104. Aristoph. —, ex Odyssea (*κ* 495) desumtum ratus. Legit Plato Rep. 386 *d*. — πάμπαν] πᾶσαι quidam olim. || 105. πανυχίη] ἐννυχίη Nauck. || 107. *μ' ἐπέτελλε ϝέκαστα] μοι ἕκαστ' ἐπέτελλεν. || 109. 'φάνη ῥ. 'Ηὼσ] μέλασ ἐπὶ ἕσπεροσ ἦλθε (= *α* 423) Plut. Mor. 114 *e*.

97. ἀμφιβαλόντε] i. q. ἀμφιχυθέντε (cf. π 214 χ 498) sive περιπλακέντε, mente enim suppliendum est χεῖρε. Cf. ρ 344 et Γ 362.

99—101. Simillima de matris suae umbra narrat Ulixes λ 206—208.

100. (*Umbra*) *ceu fumus in auras | commixtus tenuis fugit* Verg. Georg. IV 499 sq.; cf. Aen. V 740, et de discrimine quod est inter κατὰ χθονόσ et *in auras* cf. Z 19 et O 188.

101. τετριγυῖα] etiam ω 5—9 animis tribuitur *vox tenuis et acuta*, qualis est *avium* vel *vespertilionum*; et omnino bestiolis alatis animae mortuorum saepe sunt assimulatae. Cf. ι 84—104 nec non λ 43, 605, 632 μ 41—46.

103. *Ergo verum esse id quod aiunt ipse iam expertus sum: sunt aliquid manes!*

— ἐν] § 315.

104. φρένεσ οὐκ ἔνι] οὐ πεπνύαται mortuorum animae, *mentis* (ipsiusve vitae et virium) *non sunt compotes*. Mortui sunt ἀφραδέεσ (λ 476), mente carent, nisi sanguine poto aliisve libaminibus vires pristinas aliquantisper recuperaverint. Cf. κ 495. — Vocis φρένεσ neglegitur nunc vis primaria, qua certam *corporis partem* (diaphragma, cf. Π 481 al.) significabat.

105. πανυχίη] experrecti homines putare solent res, quae per somnum accidere iis visae sunt, totum per quod dormiverunt temporis spatium implevisse, ut novimus omnes saepius experti.

— Πατροκλέεοσ] § 73.

106. γοάουσα] § 191.

107. μ'(οι)] § 13.

110 ἀμφὶ νέκυν ἐλεεινόν.

ἀτὰρ κρείων Ἀγαμέμνων
οὐρῆάσ τ' ὦτρυνε καὶ ἀνέρασ ἀξέμεν' ὕλην
πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ' ἀνὴρ ἐσθλὸσ ὀρώρει 112ᵇ cf. γ 471 ξ 104
Μηριόνησ, θεράπων ἀγαπήνοροσ Ἰδομενῆοσ. 113 = 124
οἳ δ' ἴσαν ὑλοτόμουσ πελέκυσ ἐν χερσὶν ἔχοντεσ
σειράσ τ' εὐπλέκτουσ, πρὸ δ' ἄρ' οὐρῆεσ ἴκον αὐτῶν·
πολλὰ δ' ἄναντα κάταντα πάραντά τε δόχμιά τ' ἦλθον.
ἀλλ' ὅτε δὴ κνημοὺσ προσέβαν πολυπίδακοσ Ἴδησ,
αὐτίκ' ἄρα δρῦσ ὑψικόμουσ τανάηκεϊ χαλκῶι
τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι
πίπτον. τὰσ μὲν ἔπειτα διαπλήσσοντεσ Ἀχαιοὶ
ἔκδιδεν ἡμιόνων· ταὶ δὲ χθόνα πόσσ' ἐδατεῦντο
ϝελλόμεναι πεδίοιο διὰ ῥωπήϊα πυκνά. 122ᵇ cf. Ν 199
πάντεσ δ' ὑλοτόμοι φιτροὺσ φέρον· ὣσ γὰρ ἄνωγε
Μηριόνησ, θεράπων ἀγαπήνοροσ Ἰδομενῆοσ. 124 = 113
κὰδ δ' ἄρ' ἐπ' ἀκτῆσ βάλλον ἐπισχερώ, ἔνθ' ἄρ' Ἀχιλλεὺσ
φράσσατο Πατρόκλωι μέγα ϝηρίον ἠδὲ ϝοὶ αὐτῶι.
αὐτὰρ ἐπεὶ πάντηι παρακάββαλον ἄσπετον ὕλην,

111. τ'(ε)] multi olim libri omittebant. | 112. κλισιῶν] *κνημῶν? Cf. vs. 117 et § 56. || 114. πελέκυσ § 75] -κεασ. || 115. τ' εὐπλέκτουσ] τε πλεκτὰσ Hermann (coll. χ 175, 192). || 117. κνημοὺσ] κρημνοὺσ l. a. apud Eust.; cf. Φ 449. — πολυπίδακοσ] sic Ar., -δάκου D T; cf. Ξ 157. || 119. ἐπειγόμενοι] ἀμειβόμενοι pap. Heid.[1] || 120. διαπλήσσοντεσ] sic Ar., -πλίσσοντεσ Syr. (cf. ζ 318). || 121. ἔκδιδεν § 198] ἔκδεον. || 122. *ϝελλόμεναι] ἑλδόμεναι Ω (ἑλκόμεναι D), pap. Heid.[1] π[ρήσσουσαι?], ϝιέμεναι Brandreth, ἐρχόμεναι Nauck. Cf. Θ 215. — πεδίοιο] πεδίονδε pap. Heid. (cf. Φ 247). || 123. ὑλοτόμοι] ὅμοισιν pap. Heid. — ἄνωγε(ν) pap. Heid.] ἀνώγει Ω. Cf. § 225. || 124. Μηριόνησ] .... τροσ pap. Heid. (ex ὀτρηρὸσ corruptum?). || 126. ϝοὶ] καὶ pap. Heid. (ut Z 306 ι 231).

111 et 115. οὐρῆασ et -εσ] *iumenta* (cf. A 50). Dicuntur *muli* (vs. 121).

112. ἐπὶ... ὀρώρει] i. q. ἦεν ἐπίουροσ (N 450 ν 405 ο 39) vel οὖροσ (Θ 80 Λ 840 O 370, 659 γ 411 ο 89), i. e. ἐπίσκοποσ. Item ἐπὶ ὄροντο -νται γ 471 ξ 104. Cf. § 284.

116. ἄναντα κάταντα πάραντά τε δόχμιά τ'(ε)] † omnia.

120 sq. διαπλήσσοντεσ... ἔκδιδεν] i. q. διέκοπτον, εἶτα ἐξέδουν sive: διέκοπτον ἐκδήσοντεσ (cf. A 137 sq.). Similis est verbi διαπλῆξαι usus θ 507, verbi ἀποπλῆξαι κ 440 (et l. a. Λ 146).

121. χθόνα πόσσ' ἐδατεῦντο] *solum* (*glebas*) *pedibus dividebant* = *conterebant*. Cf. Υ 394.

122. πεδίοιο] cf. B 785.

— ῥωπήϊα] cf. N 199.

125. ἐπισχερώ] cf. Λ 668.

127. παρακάββαλον ... ὕλην] *proiciebant* (*apponebant*) *lignum quod* (mox) *praesto esset* rogum struentibus (cf. vs. 139). Compositum redit vs. 683.

ἦατ' ἄρ' αὖθι μένοντες ἀολλέες. αὐτὰρ Ἀχιλλεὺς
αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοις' ἐκέλευσε
χαλκὸν ζώννυσθαι, ζεῦξαι δ' ὑπ' ὄχεσφι ἕκαστον
ἵππους· οἳ δ' ὥρνυντο καὶ ἐν τεύχεσσιν ἔδυνον, 131 cf. ω 496
ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται ἡνίοχοί τε.
πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν, 133[b] cf. Δ 274
μυρίοι· ἐν δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι.
θριξὶ δὲ πάντα νέκυν κατεχείλυον, ἃς ἐπέβαλλον
κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεὺς
ἀχνύμενος, ἕταρον γὰρ ἀμύμονα πέμπ' Ἀϊδόσδε.
οἳ δ' ὅτε χῶρον ἵκοντο ὅθι σφίσι πέφραδ' Ἀχιλλεύς, 138 cf. Σ 520
κάτθεσαν, αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς· 140 sq.[a] = 193 sq.
στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην, 140[a] = β 382, 393 al. cf. δ 219
τήν ῥα Σπερχειῷ ποταμῷ τρέφε τηλεθάουσαν.
ὀχθήσας δ' ἄρ' ἔειπε ἰδὼν ἐπὶ οἴνοπα πόντον· 143[a] = Δ 403
„Σπερχεί', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς,

---

128. Ἀχιλλεὺς] Ἀχαιοῖσ pap. Heid.[1] ‖ 129. κέκλετο [Πηλέος υἱὸς ἐπότρυνέν] τε μετελθών pap. Heid. ‖ 130 sq. Alios versus tres vel quatuor habuit pap. Heid. ‖ 130. χαλκὸν] -κῶι Vrat. (cf. E 857). — ὑ'(ὲ)] ϑ' Syr. A C T. ‖ 132. ἐν δίφροισι] ἐσ δίφρουσ pap. Heid. ‖ 135. κατεχείλυον (καταείλ.) l. a. ant.] καταείνυον Ω, καταείνυσαν Ar.; cf. Φ 319 (et ξ 522). ‖ 136. ἔχε] σχέθε T. — In pap. Hib. 22 accedit versus sic fere explendus: [δεξιτερῆι, ἑτέρηι δὲ κόμην ἧισχυν]ε δαΐζων (cf. Σ 27). ‖ 137. Ἀϊδόσδε] sic (Ἀϊδ.) Ar., Ἄϊδοσ δῶ (ut vs. 74) Syr. H. ‖ 138. ἵκοντο A] ἵκανον Ω (ut Σ 520). Cf. γ 388 (τ 458 ω 13).

---

128. ἦατ'(ο)] § 220.

129—134. Cf. ω 68—70.

130. χαλκὸν ζώννυσθαι] cf. Λ 15.

131. τεύχεσσιν] cf. K 254.

132. παραιβάται] †; ut eos *qui armati pugnant* vox h. l. significet efficit oppositum ἡνίοχοι. Cf. Λ 521 sq.

135 et 141. De capillis recisis luctus signo cf. Γ 273.

137. πέμπ' Ἀϊδόσδε] ut iustis sedibus in ipsas Ditis aedes reciperetur. Cf. vs. 72—74.

139. Coeperunt ligna coacervare. Quae postquam congesta sunt, in rogi formam componere coeperunt ei quibus id curae erat (vs. 163).

141. Asyndeton, ut Ψ 194 β 383, 394 δ 796 σ 188; cf. etiam β 394.

142. Spercheo fluvio natali Achilles comam nondum posuerat cum in bellum proficisceretur, aetatem puerilem nondum egressus. Cf. A 352 sq. et Aesch. Choëph. 6 Pausan. I 37 § 2 VIII 20 § 3.

— τηλεθάουσαν] § 191.

144. ἄλλως . . . ἠρήσατο] brachylogica haec est locutio: *aliter tibi promisit . . . = alium rerum eventum fore olim sperabat, promisit enim tibi . . .*; sic ξ 124 ἄλλως . . . ψεύδονται *aliter se gerunt* (quam qui vera nuntiant), *mentiuntur enim*. Quod loquendi genus proximum abest ab attico ἄλλως *sic temere, frustra*. Cf. ἄλλως = *melius* Λ 391 al.

κεῖσέ με νοστήσαντα φίλην εἰσ πατρίδα γαῖαν 145ª = δ 619 o 119
σοί τε κόμην κερέειν ῥέξειν θ' ἱερὴν ἑκατόμβην,
πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν
εἰσ πηγάς, ὅθι τοι τέμενοσ βωμόσ τε θυείεισ. 148ᵇ = Θ 48
ὣσ ἠρᾶθ' ὁ γέρων, σὺ δέ μοι νόον οὐκ ἐτέλεσσασ.
νῦν δ', ἐπεὶ οὐ νέομαί γε φίλην εἰσ πατρίδα γαῖαν, 150 = Σ 101
Πατρόκλωι ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι."
ὣσ ϝειπὼν ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
'θῆκεν, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο. 153 cf. 108
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάοσ ἠελίοιο, 154 = π 220 φ 226 cf. ψ 241
εἰ μὴ Ἀχιλλεὺσ αἶψ' Ἀγαμέμνονι 'ϝεῖπε παραστάσ·
„Ἀτρεΐδη, σοὶ γάρ τε μάλιστά γε λαὸσ Ἀχαιῶν
πείσονται μύθοισι· γόοιο μὲν ἔστι καὶ ἄσαι,
νῦν δ' ἀπὸ πυρκαϊῆσ σκέδασον καὶ δεῖπνον ἄνωχθι 158ᵇ sq.ª = Τ 171 sq.
ὁπλεῖσθαι, τάδε δ' ἀμφὶ πονησόμεθ' οἵσι μάλιστα
κήδεόσ ἐστι νέκυσ· παρὰ δ' οἵ τ' ἀγοὶ ἦμι μενόντων."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων,

147. αὐτόθι] -φι T L (cf. *M* 302), αὐτίκα D. || 155. Ἀγαμέμνονι] Ar. mente supplebat πρόσ, legens igitur -να (cf. *E* 170). Pap. Heid. videtur habere: Ἀγαμέμ]νονα ὦσ προσέει[πεν]. || 156. γάρ] μέν C D. || 157 sq. Pro his pap. Heid. habuit versus quatuor, quorum primum claudebant verba γόοιο μ]ὲν ὅττι τάχιστα. || 159. ὁπλεῖσθαι] cf. *T* 172. || 160. οἵ τ' ἀγοὶ] οἱ ταγοὶ Ar. (cf. Aesch. Eum. 296 et schol. Ar. Eq. 159). — In pap. Bodl. b 3 additur versus sic fere explendus: [ἠδ' οἱ κηδ]εμόνεσ, σκέδ[ασον δ' ἄλλουσ κατὰ νῆασ].

147. πεντήκοντα] pro singulis navis πεντηκοντόρου militibus (cf. B 510) hostiam fluvio mactaturus fuit Peleus.

— μῆλ'(α)] voce μῆλα quaelibet pecudes apud Homerum significantur (cf. K 485 Ω 43 ρ 170, 246 τ 113); nunc *tauri* indicari videntur, hos enim fluviis sacrificabant (cf. Λ 728 Φ 131), ut et Neptuno (cf. Υ 404 γ 6, 178 ν 181 al.).

148. εἰσ πηγάς] *ad ipsos tuos fontes adducta* (ut in illos inicerentur; cf. Φ 132). Illic enim ipse fluvius deus habitare credebatur (cf. X 147—166). A fontibus Sperchei quam procul afuerit regia Pelei, — fuit autem Phthia ori quam fontibus fluminis propior, — id nihil nunc refert.

150. Cf. Π 709.

151. ὀπάσαιμι φέρεσθαι] *liceat mihi dare auferendam.* Dona combusta in sedem mortuorum secum auferet anima; quod ritus huius consilium clare indicatur voce ἐν χερσί vs. 152. Cf. Σ 337 X 513. Est igitur *medium* verbi genus φέρεσθαι (ut Ω 581 α 317 al.), non *passivum* (ut Φ 120).

152—154. Cf. Φ 523—525.

156 sq. σοὶ ... λαὸσ ... πείσονται μύθοισι] cf. A 150.

157. καὶ] i. e. καὶ ὕστερον. *Mox lacrimis indulgere licebit etiam, nunc vero ventri est obtemperandum* (cf. vs. 48).

160. κήδεοσ] § 17 et 61.

— ἦμι] § 92.

αὐτίκα λαὸν μὲν ᾽σκέδασεν κατὰ νῆας ἐρίσας,
κνδεμόνες δὲ παρ᾽ αὖθι ᾽μένον καὶ ἐνήεον ὕλην,
᾽ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα, 164[b] cf. κ 517
ἐν δὲ πυρῇι ὑπάτηι νεκρὸν ᾽θέσαν ἀχνύμενοι κῆρ. 165[a] = Ω 787
πολλὰ δὲ ῥῖφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς 166 = I 466
πρόσθε πυρῆσ ἔδερόν τε καὶ ἄμφεπον· ἐκ δ᾽ ἄρα πάντων
δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμοσ Ἀχιλλεὺσ
εἰσ πόδασ ἐκ κεφαλῆσ, περὶ δὲ δρατὰ σώματ᾽ ἐνήει. 169[a] = Σ 353
ἐν δ᾽ ἐτίθει μέλιτοσ καὶ ἀλείφατοσ ἀμφιφορῆασ,
πρὸσ λέχεα κλίνων· πίσυρασ δ᾽ ἐριαύχενασ ἵππουσ
ἐσσυμένωσ ἐνέβαλλε πυρῆι μεγάλα στοναχίζων.
ἐννέα τῶι γε ῥάνακτι τραπεζῆεσ κύνεσ ἦσαν·
καὶ μὲν τῶν ἐνέβαλλε πυρῆι δύο δειροτομήσασ,
δώδεκα δὲ Τρώων μεγαθύμων υἱέασ ἐσθλοὺσ 175 cf. 181
χαλκῶι δηϊόων, — κακὰ δὲ φρεσὶ ᾽μήδετο ῥέργα, — 176[b] = Φ 19
ἐν δὲ πυρὸσ μένοσ ἦκε σιδήρεον, ὄφρα νέμοιτο.
ὤιμωξέν τ᾽ ἄρ᾽ ἔπειτα φίλον τ᾽ ὀνόμηνεν ἑταῖρον· 178 = K 522
„χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ ἐν Ἄϊδαο δόμοισι· 179 = 19
πάντα γὰρ ἤδη τοι τετελεσμένα ὥσπερ ὑπέστην. 180 cf. 20

---

162. In pap. Bodl. b 3 subiungitur versus: [κάπνισσ]άν τε κατὰ κλισίασ κ[αὶ δεῖπνον ἕλοντο] = B 399. || 163. παρ᾽(ὰ)] κατ᾽ pap. Bodl. b 3. || 164. ἑκατόμπεδον] -ποδον L. || 165. Pap. Bodl. b 3 duos habuit versus, quorum prior vulgatae dissimilis fuisse videtur, posterior sic fere explendus esse: μυρ[ί᾽ ὀνεί]ατα χερσὶν ἀμησά[μενοι κατέθηκαν]. Cf. κ 9 ο 316 ι 247. || 169. δρατὰ] δρετὰ l. a. in (Ar.) comment. || 172—178. In pap. Heid. fuere versus novem, quorum ultimum nomen Ἀχιλλεύσ clausisse videtur. || 172, 174, 216. πυρῆι] πυρὶ C L Gen. || 178. φίλον τ᾽(ε) C D] φίλον δ᾽ (cf. K 522 Ω 591). || 180. τετελεσμένα ὥσπερ pap. Heid. Syr. T] τελέω τὰ πάροιθεν Ω.

---

170. Imponitur rogo quod *bibat* anima et quo *artus reficiat* fessa. Item ω 65—68. *Mellis* autem usus superest ex aevo prisco, quo vinum Achivi nondum norant: ut solent ritus cum alii tum praesertim funebres tarde admodum mutari, certa indicia morum atque cogitationum, quae fuerunt hominum ante multas aetates vita functorum, interim servantes. Cf. κ 519 T 347 sq.

171—176. Cf. Σ 337.

171. πρὸσ λέχεα κλίνων] dolia *acclinans feretro*, quia *stare* sine fulcro non poterant. Structura ut Θ 435 al.

— πίσυρασ... ἵππουσ] quatuor equos in mortuorum sedibus amico utendos Achilles praebet. Poeta utrum quadrigas an binas bigas cogitaverit incertum (cf. Λ 699). De adverbii numeralis forma cf. O 680.

173. τραπεζῆεσ κύνεσ] cf. X 69.

177. De *igne* ut de *animali voraci* poeta et nunc loquitur more solito et mox vs. 183: οὐ πυρὶ δαπτέμεν᾽ ἀλλὰ κύνεσσι. Cf. B 426 et 780.

— σιδήρεον] cf. P 424.

179 sq. Cf. vs. 19 sq.

δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλούς, 181 cf. 175
τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ' οὔ τι
δώσω Πριαμίδην πυρὶ δαπτέμεν', ἀλλὰ κύνεσσι.“
ὣς ἐφάτ' ἀπειλήσας· τὸν δ' οὐ κύνες ἀμφεπένοντο,
185 ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
ἤματα καὶ νύκτας, ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ
ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων. 187 cf. Ω 21
τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων
οὐρανόθεν πεδίονδε, κάλυψε δὲ χῶρον ἅπαντα,
190 ὅσσον ἐπεῖχε νέκυς, μὴ πρὶν μένος ἠελίοιο
σκείλει' ἀμφὶ περὶ χρόα ξίνεσιν ἠδὲ μέλεσσι.

οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνηῶτος. 193sq.[a] = 140 sq.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
στὰς ἀπάνευθε πυρῆς δοιοῖσ' ἠρᾶτ' ἀνέμοισι,
195 Βορρῆι καὶ Ζεφύρῳ, καὶ ὑπίσχετο ἱερὰ καλά·
πολλὰ δὲ καὶ σπένδων χρυσέῳ δέπαϊ ἐλλιτάνευε
ἐλθέμεν', ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκροί,

---

182. ἐσθίει] ἀμφέπει pap. Heid. (ut Π 124 al.). — οὔ τι] οὐχί pap. Heid. (cf. vs. 183). || 183. Pap. Heid. habet: [τό]νδε γὰρ οὐ δώσω πυρὶ καέμεν' ἀλλὰ κ[ύνεσσ]ι | [ὠμησταῖσ φαγέειν· τόσα γὰρ κάκ' ἐμήσατ' Ἀχαιούς (cf. X 392). || 191. σκείλει'(ε) Fick] σκήλει' (sic Syr. A D T) vel σκήλη(ι) Ω. Verbum †, sed alibi praesens est σκέλλω. || 195. ὑπίσχετο] ὑπέσχετο pap. Heid. D (cf. Υ 84). — In pap. Bodl. b 3 accedit versus ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην (ut Δ 102 al.). Cf. vs. 209. Exiguam, quae prima inventa est, huius versus laciniam recte legerat et interpretatus erat Menrad. || 196. Pap. Heid.: πολλὰ δ' ἀποσπένδων ἠράσατο δ[ῖος Ἀχιλ]λεύς. || 197. ὄφρα] ὅττι pap. Heid. (cf. X 129). — νεκροί A D] -όν Syr. C T.

---

184—191. Cf. Ω 20 sq., 411—422.

185. Ἀφροδίτη] cf. X 470—472.

186. ἤματα καὶ νύκτας] *non solum interdiu, sed etiam per noctis silentium*, cum oberrant ferae rapaces. Vulgatus ordo verborum νύκτας τε καὶ ἤματα (vel ἦμαρ), quem praebebat mos per νυχθήμερα tempus dirimendi (cf. A 423—427), etiam κ 142 certam ob causam est mutatus: *tunc* — Ulixes ait — δύο ἤματα καὶ δύο νύκτας *maesti iacuimus in littore*, i. e. per totum diem quo venimus et per noctem quae insecuta est, nec non die proximo atque adeo per noctem alteram.

— χρῖεν ἐλαίῳ ἀμβροσίῳ] *allito unguento* cavebat ne attereretur mortui cutis. Non nunc coepit inunguere, sed pridem *inunxerat*. Cf. vs. 13 et de adi. ἀμβροσίῳ T 38 sq.

188—191. Cf. P 243 et Ω 20 sq.

192. τεθνηῶτος] § 160.

194. Asyndeton, ut vs. 141.

195. Βορρῆι] forma novicia (cf. I 5).

196. χρυσέῳ] § 18 et 61.

— δέπα'(ϊ)] § 71.

197. ἐλθέμεν'(αι)] § 125.

ὕλη τε σεύαιτο καήμεναι. ὦκα δὲ Ἶρις
ἀράων ἀΐουσα μετάγγελος ἦλθ' ἀνέμοισι.
οἳ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
εἰλαπίνην 'δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη
βηλῶι ἔπι λιθέωι. τοὶ δ' ὡς 'ϝίδον ὀφθαλμοῖσι,
πάντες ἀνήϊξαν 'κάλεόν τέ μιν εἰς ϝὲ ϝέκαστος· 204b sq.a = Λ 647 sq.
ἣ δ' αὖθ' ἑζέσθαι μὲν ἀνήνατο, 'ϝεῖπε δὲ μῦθον·
„οὐχ ἕδος· εἶμι γὰρ αὖτις ἐπ' Ὠκεανοῖο ῥέεθρα,
Αἰθιόπων εἰς γαῖαν, ὅθι ῥέζουσ' ἑκατόμβας
ἀθανάτοισ', ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν.
ἀλλ' Ἀχιλεὺς Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
ἐλθέμεν' ἀράεται, καὶ ὑπίσχεται ἱερὰ καλά,
ὄφρα πυρὴν ὄρσητε καήμεναι, ἣν ἔνι κεῖται
Πάτροκλος, τὸν πάντες ἀναστενάχουσιν Ἀχαιοί."
ἣ μὲν ἄρ' ὣς ϝειποῦσ' ἀπεβήσετο, τοὶ δ' ὄρουτο
ϝηχῆι θεσπεσίηι, νέφεα κλονέοντε πάροιθε·
αἶψα δὲ πόντον ἵκανον ἀήμεναι, ὦρτο δὲ κῦμα

198. ὕλη τε σεύαιτο] sic Ar., ὕλην τε σεύαιντο l. a. ant. (cf. § 119). — ὦκα δὲ pap. Bodl. b 3] ὠκέα δ' Ω. Cf. N 671 Π 606. || 199. ἀράων] εὐχωλῆς pap. Heid. || 201. εἰλαπίνην] εἰλάπινον? Cf. α 226. || 202. βηλῶι ... λιθέωι] βηλοῦ ... [λιθέου] pap. Heid. || 204. δὲ] τε Syr. T. || 205. αὖτις] cf. comment. — ῥέεθρα] ῥεέθρων Apoll. lex., ῥοάων C (cf. Γ 5). || 206. γαῖαν] δῆμον „αἱ ἀπὸ τῶν πόλεων." || 209. In pap. Heid. accedit ἀρν[ῶν—ἑκατόμβην], ut post vs. 195. || 212. ὦρουτο § 284] ὀρέοντο. || 213. πνοιῆι ὑπὸ λιγυρῆι νέφεα κλονέοντεσ ὄπισθεν Plut. vit. Hom. 108 (cf. vs. 215). || 214. ἀήμεναι] -νοι Apoll. lex.; cf. γ 176 et § 195. — ὦρτο] ἦλθε pap. Heid.

198 sq. Sponte sua nunc nuntia it Iris, alibi non nisi iussa. Videtur igitur poeta deam hanc alatam (cf. Θ 398) ventis proxime cognatam cogitasse (cf. P 547 – 552).

199. μετάγγελος] cf. E 19.

200. Ζεφύροιο ... ἔνδον] neque cur *Boream* et *Zephyrum* potissimum Achilles invocet apparet, neque cur in aedibus Zephyri aut degant venti aut nunc cenent. Rerum igitur enarratarum contextus poetam non movit ad ita fabulandum, postmodo autem insertos esse versus 198b – 212a non est cur putemus. Ergone *Zephyrus* rex ventorum olim est habitus? Similia de aedibus *Aeoli* ventorum dispensatoris narrantur κ 1—76. De particulae ἔνδον usu cf. Υ 13.

— δυσαέος] cf. E 865.

205—207. De deorum apud *Aethiopes* epulis cf. A 423 – 427. Nunc ficta loquitur dea, causam statim redeundi interserens. Nam deos non apud Aethiopes nunc versari ipsa Ilias passim testatur.

205. οὐχ ἕδος] cf. Λ 648.

— αὖτις] ex *Aethiopia* igitur Iris se modo Achillis precibus auditis venisse fingit. Cf. Π 514 sq.; nisi αὐτίκ' poeta dedit.

209. ἐλθέμεν'(αι)] § 125.

214. ἵκανον ἀήμεναι] item nos: *kwamen blazen, veniebant flaturi.*

πνοιῆι ὕπο λιγυρῆι. Τροίην δ' ἐρίβωλον ἱκέσθην, 215ᵃ = N 590
ἐν δὲ πυρῆι 'πεσέτην· μέγ' ἐϝίϝαχε θεσπιδαὲσ πῦρ.
παννύχιοι δ' ἄρα τοί γε πυρῆσ ἄμυδισ φλόγ' ἔβαλλον
φυσῶντεσ λιγέωσ· ὃ δὲ πάννυχοσ ὠκὺσ Ἀχιλλεὺσ
χρυσέου ἐκ κρητῆροσ, ἔχων δέπασ ἀμφικύπελλον,
ϝοῖνον ἀφυσσόμενοσ χαμάδισ 'χέε, 'δεῦε δὲ γαῖαν, 220ᵇ cf. ι 290
ψυχὴν κικλήισκων Πατροκλέεοσ δϝειλοῖο.
ὡσ δὲ πατὴρ ϝοῦ παιδὸσ ὀδύρεται ὀστέα καίων,
νυμφίου, ὅσ τε θανὼν δϝειλοὺσ ἀκάχησε τοκῆασ,
ὧσ Ἀχιλεὺσ ἑτάροιο ὀδύρετο ὀστέα καίων,
ἑρπύζων παρὰ πυρκαϊήν, ἁδινὰ στεναχίζων. 225ᵇ = ω 317
ἦμοσ δ' ἀστὴρ εἶσι φάοσ ϝερέων ἐπὶ γαῖαν,
ὅν τε μετὰ κροκόπεπλοσ ὑπεὶρ ἅλα κίδναται 'Ηώσ, 227 cf. Θ 1
τῆμοσ πυρκαϊὴ ἐμαραίνετο, 'παύσατο δὲ φλόξ.
οἳ δ' ἄνεμοι πάλιν αὖτισ ἔβαν ϝοῖκόνδε νέεσθαι 229ᵇ = ξ 87
Θρηΐκιον κατὰ πόντον· ὃ δ' ἔστενεν οἴδματι θυίων.
Πηλεΐδησ δ' ἀπὸ πυρκαϊῆσ ἑτέρωσε λιασθεὶσ [sq.ᵃ
'κλίνθη κεκμηώσ, ἐπὶ δὲ γλυκὺσ ὕπνοσ ὄρουσε. 232ᵇ cf. ψ 342ᵇ
οἳ δ' ἀμφ' Ἀτρεΐωνα ἀϝολλέεσ ἠγερέθοντο, 233ᵇ = γ 412 λ 228
τῶν μιν ἐπερχομένων ὅμαδοσ καὶ δοῦποσ ἔγειρε.
ἕζετο δ' ὀρθωθεὶσ καί σφασ πρὸσ μῦθον ἔϝειπε· 235ᵃ = B 42
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆεσ Παναχαιῶν, 236 = H 327

216. 'πεσέτην] ἔπεσον pap. Heid. — μέγ' ἐϝίϝαχε Bentley] μέγα δ' ἴαχε (cf. ι 395). ‖ 219. ἔχων C T] ἑλὼν A D. ‖ 220. ἀφυσσόμενοσ pap. Heid. D] -σσάμενοσ A C T (cf. Γ 295). ‖ 221. Pap. Heid. [κικλ]ήισκων ψυχὴν Πατρόκ[λου τεθ]νηῶ[τοσ]. ‖ 223. In pap. Bodl. b 3 subiunguntur hi versus: χήρωσεν δ[ὲ γυναῖκα μυχῶι θαλάμοιο νέοιο] | ἀρη[το]ν δὲ τ[οκεῦσι γόον καὶ πένθοσ ἔθηκε], Plut. Mor. 117 c addit hos: ἄρρητον — ἔθηκε | μοῦνοσ τηλύγετοσ πολλοῖσιν ἐπὶ κτεάτεσσιν (cf. P 36 sq. et I 482). ‖ 226. ἀστὴρ Brandreth] ἑ͜ωσφόροσ Ω (item Hes. Theog. 381), novicium pro ἠοσφόροσ; cf. § 8 et X 317 (ibique schol.) ν 93. Peppmueller εὖτ' ἠοσφόροσ. ‖ 230. κατὰ] μετὰ A². — θυίων A T] θύων Ω. Cf. § 286¹⁰. ‖ 236. ἀριστῆεσ Παναχαιῶν] [ἐϋκνήμιδε]σ Ἀχαιοί pap. Heid. (cf. vs. 272).

217. *Per totam noctem communi nisu flammam rogi impellebant.*

221. Πατροκλέεοσ] § 2 et 73.

223. νυμφίου] sic *iuvenis* (*cui uxor est*) etiam η 65 vocatur; cf. νύμφη *mulier iuvenis* Γ 130 δ 743.

226—257. Cf. H 433—435.

226. ἦμοσ ... εἶσι] idem temporis praesentis usus est H 433.

— φάοσ] § 71.

— ϝερέων] cf. B 48 sq.

227. Loquiturne poeta insulanus? Cf. B 535.

229. πάλιν αὖτισ] cf. B 276.

230. Θρηΐκιον κατὰ πόντον] *in Thraciam redeuntes per mare*; cf. I 5.

— ἔστενεν] cf. K 16.

235. σφασ] § 92.

πρῶτον μὲν κατὰ πυρκαϊὴν ᾽σβέσατ᾽ αἴθοπι ϝοίνωι 237 cf. 250 Ω 791
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος, αὐτὰρ ἔπειτα 238 = Ω 792
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν 239 cf. Ω 793
εὖ διαγιγνώισκοντες· ἀριφραδέα δὲ τέτυκται,
ἐν μέσσηι γὰρ ἔκειτο πυρῆι, τοὶ δ᾽ ἄλλοι ἄνευθε
ἑσχατιῆι ᾽καίοντ᾽, ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρες. 242b cf. Δ 525 Φ 16
καὶ τὰ μὲν ἐν χρυσέηι φιάληι καὶ δίπλακι δημῶι 243 cf. 253
θήομεν, εἰσ ὅ κεν αὐτὸς ἐγὼν Ἄϝιδι κεύθωμαι.
τύμβον δ᾽ οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
ἀλλ᾽ ἐπιϝεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
εὐρύν θ᾽ ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε.“
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἐπίθοντο ποδώκεϊ Πηλεΐωνι.
πρῶτον μὲν κατὰ πυρκαϊὴν ᾽σβέσαν αἴθοπι ϝοίνωι, 250 = Ω 791 cf. Ψ 237
ὅσσον ἔπι φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη·
κλαίοντες δ᾽ ἑτάροιο ἐνηέος ὀστέα λευκὰ

240. ἀριφραδέα δὲ τέτυκται] -δέως γὰρ ἔκειτο pap. Heid. || 242. ἵπποι τε καὶ ἄνδρες] αὐτοί τε καὶ ἵπποι pap. Heid. || 244. ἐγὼν] ἰὼν l. a. in A. — κεύθωμαι] κλεύθωμαι (pro κελεύθωμαι = πορεύωμαι!) Ar. A, κλεύσωμαι pap. Heid., κεκύθωμαι Bentley (cf. ζ 303). Gravius vitium videtur subesse (cf. comment.), Brandreth Ἄϝιδόσδε νέωμαι. || 251. ὀὲ] τε A² D. — κάππεσε τέφρη] -σεν ὕλη l. a. in A. || 252. ἐνηέος] δαΐφρονος pap. Heid.

243 et 253. De aureo hoc vase cf. vs. 91.

243. χρυσέηι] § 18 et 61.

— δίπλακι δημῶι] *adipe* involvuntur ossa ad arcendum aërem et humorem. Nam in Achillis tabernaculo sunt asservanda donec huius ossa possint admisceri. Tumulo autem urna nondum condetur; cf. vs. 253 sq.

244. θήομεν] § 122.

— Ἄϝιδι] *locumne* vox nunc indicat? At ceteris locis omnibus nomen est ipsius *dei*. Dativum *apud Ditem* igitur potius interpretetur quispiam, qui tamen inauditus est dativi usus. Videntur duae in unum confluxisse lectiones aliove modo corruptus esse textus (cf. nota crit.).

245. πολλὸν] cf. H 156.

246. ἐπιϝεικέα τοῖον] *sic satis magnum*. Liberior hic adiectivi τοίου usus, quem amat sermo familiaris, gestu et sono vocis illustratur; item Ψ 336 α 209 γ 321 δ 776 η 30 ο 451 υ 302 λ 135 ψ 282. Quod quomodo sit intellegendum docent verba vicina. Cf. similis adiectivi τόσον usus Δ 130—134 al.

247. εὐρύν θ᾽ ὑψηλόν τε] iam nunc *latus* fit tumulus, quippe qui circum rogum ἑκατόμπεδον ducatur (cf. vs. 164 et 256), posthac autem *non solum in latum sed et in altum* educetur. Posteriore loco collocatum est id cuius praecipua habetur ratio (ut in ἄλλωσ τε καί . . .).

— τιθήμεναι] § 195.

248. πολυκλήϊδι] cf. Π 170.

251. *Quatenus pervenerat flamma et densus cinis conciderat.*

ἄλλεγον εἰσ χρυσέην φιάλην καὶ δίπλακα δημόν, 253 sq. cf. Ω 795 sq.
ἐν κλισίηισι δὲ θέντεσ ἑανῶι λίτ' ἐκάλυψαν. 253 cf. 243; 254 cf. Σ 352

'τορνώσαντο δὲ σῆμα θεμείλιά τε προβάλοντο
ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν.
χεύαντεσ δὲ τὸ σῆμα πάλιν 'κίον. 257 cf. Ω 801

## ἄθλα ἐπὶ Πατρόκλωι.

αὐτὰρ Ἀχιλλεὺσ
αὐτόθι λαὸν ἔρυκε καὶ ἵζανεν εὐρὺν ἀγῶνα,
νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάσ τε τρίποδάσ τε,
ἵππουσ θ' ἡμιόνουσ τε βοῶν τ' ἴφθιμα κάρηνα 260b cf. h. Merc. 94
ἠδὲ γυναῖκασ ἐϋζώνουσ πολιόν τε σίδηρον. 261 = Ι 366
ἵπποισιν μὲν πρῶτα ποδώκεσιν ἀγλά' ἄεθλα
'θῆκε γυναῖκ' ἀγαγέσθαι, ἀμύμονα ϝέργα ϝιδυῖαν, 263b cf. Ι 128
καὶ τρίποδ' οὐατόεντα δυωκαιϝεικοσίμετρον, 264b cf. Ο 678
τῶι πρώτωι· ἀτὰρ αὖ τῶι δευτέρωι ἵππον ἔθηκε
ϝεξϝετέα, δμητήν, βρέφοσ ἡμίονον κυέουσαν· 266a = 655

254. κλισίηισι δὲ θέντεσ] κλισίηι δ' ἐνθέντεσ L (cf. vs. 709). — ἑανῶι] neglecto ϝ; *θέντεσ δὲ κλισίηφι (vel δ' ἐν λεχέεσσι) ϝεανῶι? Cf. Ν 168 et Σ 352. || 259—261. Aristoph. Ar. — || 262. ἵπποισιν l. a. ant.] ἱππεῦσιν Ω, quod propter ποδώκεσιν ferri nequit; lectionem vitiosam peper t verbum ἄγεσθαι (vs. 263). || 263. γυναῖκ' ἀγαγέσθαι Bentley] γυναῖκα ἄγεσθαι Ω vitio metrico, γυναικά τ' ἄγεσθαι Heyne; an ἄγεσθαι in locum alicuius epitheti (e. g. ἐϋϝειδέ') irrepsit? Christ γυναῖκ' Ἀχιλεὺσ ἐρικυδέα. || 264. οὐατόεντα § 69 et 72[16] ὠτώεντα. || 266. ϝεξϝετέα δμητήν Naber] ἑξετέ' ἀδμήτην Ω, item vs. 655.

253. χρυσέην] § 18 et 61.

254. Phiala Patrocli cineres continens in castris igitur collocatur, ubi (in Achillis tabernaculo) asservetur usque ad mortem Achillis, quam proximam esse ipse probe novit (cf. X 359 sq.). Tumulo autem conduntur cineres victimarum et busti.

— λίτ' (λιτί)] § 13.

255. θεμείλια] cf. M 28. Magnis et erectis lapidibus circumdatur pes tumuli futuri, quibus cohibeatur terra. „Tales lapides etiamnunc tumulis qui „in montibus Scoticis inveniuntur „stant circumpositi" (Lang).

258. αὐτόθι] § 322.

259. ἔκφερ'(ε)] per zeugmatis figuram ad hoc verbum, cui proxima tantum obiecta conveniunt, referuntur etiam *equi*, *boves*, *mulieres*. Simili autem brevitate loquendi mox ἄγεσθαι non *mulier* tantum dicitur, sed etiam *tripus*, vs. 263 sq.; illic enim prius mulieris nomen commemoratur, dein rei. Cf. Δ 282.

260. βοῶν ... κάρηνα] *boum ... capita* Verg. Aen. V 61 sq.; cf. I 407.

261. ἐϋζώνουσ] cf. B 479.

262. ἵπποισιν] *equorum cursu merenda.*

263. ϝέργα ϝιδυῖαν] § 160.

264. δυωκαιϝεικοσίμετρον] cf. E 193 et H 471.

αὐτὰρ τῶι τριτάτωι ἄπυρον κατέθηκε λέβητα
καλόν, τέσσαρα μέτρα κεχονδότα, λευκὸν ἔτ' αὔτως·
τῶι δὲ τετάρτωι ἔθηκε δύω χρυσοῖο τάλαντα,
πέμπτωι δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε.
'στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπε·
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί,
ἵππῆας τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι.
εἰ μὲν νῦν ἄλλωι ἔπ' ἀεθλεύοιμεν Ἀχαιοί,
ἦ κεν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην·
ἴστε γὰρ ὅσσον ἐμῶι ἀρετῆι περιβάλλετον ἵππω.
ἀθάνατοι γάρ ἔασι, Ποσειδάων δ' ἔπορ' αὐτὸς
πατρὶ ἐμῶι Πηλῆϊ, ὃ δ' αὖτ' ἐμοὶ ἡγγυάλιξε.
ἀλλ' ἦ τοι μὲν ἐγὼ μενέω καὶ μώνυχες ἵπποι·
τοίου γὰρ κλέος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο,
ἠπίου, ὃ σφωῖν μάλα πολλάκις ὑγρὸν ἔλαιον

271 sq. = 657 sq.
271 = 456, 706, 752, 801, 830
272 cf. *A* 17

---

268. κεχονδότα § 221[5]] κεχανδότα. Cf. *Ω* 192. || 272. Ἀτρεΐδη] -δαι Syr. L (item vs. 658). — ἐϋκνήμιδες Ἀχαιοί] ἀριστῆες Παναχαιῶν D (item vs. 658); cf. vs. 236 et *H* 385 *X* 378. || 273. Om. Syr. — ἱππῆας] ἱππεῦσιν l. a. ant. — δεδεγμένα] sic et -χμένα Ar. (cf. *Θ* 296). || 274. ἄλλωι ἔπ'(ι) Bothe] ἐπὶ ἄλλωι *Ω*. || 275. κεν § 326] τ' ἂν. || 276. ἐμῶ...ἵππω] ἐμοὶ... ἵπποι *Ω*. || 277. γὰρ ἔασι Nauck] τε γάρ εἰσι. — αὐτὸς Vrat.] αὐτοὺς. Cf. § 98 et *X* 513 *Ω* 499. || 278. Post hunc in pap. Hib. 22 accedunt versus duo: ὡς τώ γ' ἀθάνατοι κ[αὶ ἀγήραοι, οὐδὲ ἔοικε] | θνητοῦσ ἀθανάτοισι [δέμας καὶ εἶδος ἐρίζειν] (cf. *ε* 212 sq.). || 280. τοίου] τοιογ (τοῖον) pap. Hib. 22. — κλέος] σθένος pap. Hib. 22 Syr. D T.

---

267. ἄπυρον] cf. I 122.

268. μέτρα] cf. H 471.

— αὔτως] *ut ante fuerat* (cum nova esset).

269. τάλαντα] cf. I 122.

270. ἀμφίθετον φιάλην] epitheton vs. 616 redit: *quae circa ignem poni possit* (flammam sub fundo colligens)? Vera si haec est explicatio, cf. ἐμπυριβήτης vs. 702.

— ἀπύρωτον] cf. I 122.

275. Ipse enim Achilles, ut ceteri heroës, aurigandi erat peritissimus; cf. Λ 521 sq.

276. περιβάλλετον] *superiores sunt.* Item o 17.

τοὺσ δ' ἄλλουσ μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκεσ.
τῶν μὲν πολλῶν θοῦροσ Ἄρησ ὑπὸ γούνατ' ἔλυσε·
ὃσ δέ μοι οἶοσ ἔεν, ἔρρυτο δὲ ϝάστυ καὶ αὐτούσ,
τὸν σὺ πρώιην κτεῖνασ ἀμυνόμενον περὶ πάτρησ,
Ἕκτορα. τοῦ νῦν εἵνεχ' ἱκάνω νῆασ Ἀχαιῶν,
λυσόμενοσ παρὰ σεῖο, φέρω δ' ἀπερείσι' ἄποινα.
ἀλλ' αἰδεῖο θεούσ, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον,
μνησάμενοσ σοῦ πατρόσ· ἐγὼ δ' ἐλεεινότεροσ περ,
ἔτλην δ' οἷ' οὔ πώ τισ ἐπιχθόνιοσ βροτὸσ ἄλλοσ,
ἀνδρὸσ παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι."
ὣσ ϝάτο, τῶι δ' ἄρα πατρὸσ ὑφ' ἵμερον ὦρσε γόοιο.
ἅψάμενοσ δ' ἄρα χειρὸσ ἀπώσατο ἦκα γέροντα.
τὼ δὲ μνησαμένω, ὃ μὲν Ἕκτοροσ ἀνδροφόνοιο
κλαῖ' ἀδινά, προπάροιθε ποδῶν Ἀχιλῆοσ ἐλυσθείσ,
αὐτὰρ Ἀχιλλεὺσ κλαῖεν ἑϝὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ' ὀρώρει.
αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖοσ Ἀχιλλεύσ,

καί ϝοι ἀπὸ πραπίδων ἦλθ' ἵμεροσ ἠδ' ἀπὸ γυίων,

499. ἔρρυτο § 164] εἴρυτο. — αὐτούσ] -τόσ L (cf. Ξ 145 X 513 Ψ 277). ‖ 503. αἰδεῖο] forma vitiosa (cf. Λ 611 et § 289); *ἀλλὰ θεοὺσ αἴδεσσ' (ut I 640)? ‖ 506. χεῖρ' ὀρέγεσθαι] χεῖρασ ὀρέξαι l. a. apud Eust. ‖ 513. ῥα — Ἀχιλλεύσ] κλαίων τε κυλινδόμενόσ τ' ἐκορέσθη Galenus V 422 (cf. δ 541). ‖ 514. Ar. —

497. ἔτικτον] cf. ψ 178.

499. ὅσ ... οἷοσ ἔεν, ἔρρυτο δὲ κτέ.] hendiadyn haec efficiunt. Nam quod senex vult dicere hoc est: *qui solus urbem et ipsos cives tuebatur*, ut ipse poeta dixit Z 403; sed nunc per parataxin pro: *solus erat qui tueretur* dicit: *solus (mihi) erat et urbem ipsosque cives tuebatur*.

— ἔεν] § 302.

500. πρώιην] *nuper* (ante dies duodecim, vs. 31). Cf. E 832.

506. De gestu supplicum cf. A 500.

— παιδοφόνοιο] i. e. τοῦ φονέωσ τοῦ ἐμοῦ παιδόσ. Eadem ratione adhibitum est πατροφονεύσ α 299 γ 197, 307, πατροφόντησ Soph. Trach. 1125; cf. etiam El. 779, 955.

— ποτὶ στόμα χεῖρ'(ε) ὀρέγεσθαι] *manus eius ad os meum admovere* (cf. vs. 478)? Hic si verborum est sensus, expectabatur activum (χεῖρασ ὀρέξαι Eust.); quapropter fuerunt qui χειρὶ ὀρέγεσθαι intellegerent: *meam manum in os eius intendere*, coll. Ψ 99 (et A 500).

507—511. Patris desiderio, quem scit non denuo adspecturum se, ante Troiam mox moriturus (cf. P 406 sq.), Achilles penitus commovetur.

514. ἀπὸ ... ἦλθ'(ε)] *discessit*. Item X 43; cf. etiam A 562.

αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη, 515
οἰκτίρων πολιόν τε κάρη πολιόν τε γένειον, 516 cf. X 74
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
„ἆ δειλέ, ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν!
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν' οἶος, 519 cf. 203
ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς 520 = 204
υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ. 521 cf. 205
ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζεο ἐπὶ θρόνου, ἄλγεα δ' ἔμπης
ἐν θυμῶι κατακεῖσθαι ἐάσομεν ἀχνύμενοί περ, 523b = Σ 112
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο. 524 cf. κ 202
ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι, 525
ζωέμεν' ἀχνυμένους· αὐτοὶ δέ τ' ἀκηδέες εἰσί.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὐδῶι
δώρων οἷα δίδωσι, κακῶν, ἕτερος δέ τ' ἐάων.

515. αὐτίκ' ἀπὸ] -κα ὀ' ἐκ pap. 128. || 516. οἰκτίρων] cf. Δ 814. || 518. ἄνσχεο] ἄσχεο pap. 128 (cf. Ψ 587 et Π 231). || 521. ἐξενάριξα] -ξε pap. 114[1] (cf. β 41). || 522. ἕζε'(ο)] sic (ἕζευ) Ar., ἵζευ quidam olim (ut Γ 162 H 115). || 524. πρῆξις] τ' ἄνυσις T (cf. B 347 δ 544). || 526. ἀχνυμένους] -νοις pap. 114 A D. || 527. οὐδῶι] cf. E 734. || 528. Sic affert Plat. Rep. 379d: κηρῶν ἔμπλειοι, ὃ μὲν ἐσθλῶν, αὐτὰρ ὃ δειλῶν, non recte adhibita voce κήρ (cf. Θ 73 X 210) et neglecto ƒ adiectivi δƒειλόσ. — τ'(ε)] add. Bentley.

515. θρόνου] cf. Λ 623.

— χειρὸς ἀνίστη] i. e. χειρὸς <ἑλὼν> ἀνίστη. Item ξ 319. De re cf. vs. 477.

520 sq. ὅσ... ἐξενάριξα] pronomini relativo prima persona verbi etiam X 335 β 41 ι 20 κ 434 ν 300—302 est adiuncta. Similia sunt Ar. Ach. 406 Eur. Herc. 4 Bacch. 1 Thucyd. I 128 § 7 (?), 137 § 4 al.; praeterea cf. H 160.

521. σιδήρειον] cf. P 424.

522. ἕζε'(ο)] § 117.

525. ἐπεκλώσαντο] cf Υ 127 sq.

526. Similis sententia est Hes. Op. 112.

— ζωέμεν'(αι)] § 125.

— δέ τ' ἀκηδέες] § 3.

527—533. Fabulam Hesiodeam, quae est de dolio in Epimethei aedibus collocato, cuius operculum sustulit Pandora (Hes. Op. 94), hinc ductam putabat Ar.; et dignus sane qui conferatur est ille locus, ubi diversa miro modo inter se sunt permixta. Praeterea quaesitum est quomodo cum nostris versibus congrueret α 34, ubi homines ipsi ὑπὲρ μόρον sibi mala consciscere dicuntur, et responsum est poetam hoc loco Achillem falsa dicentem fecisse, vera illic Iovem. Praestat dicere neque falsa Achillem dicentem nunc fingi, neque ab Odysseae illis versibus haec discrepare; ipsam enim sortem mortales afficere multis aerumnis, quae nostro loco apud Iovem fati dispensatorem asservari dicuntur, ut et felicia quaevis, multos vero homines sua ipsorum culpa etiam plura mala pati quam sit necesse. Cf. T 86—136, de ipsa imagine cf. Θ 69, de locutione ὑπὲρ μόρον P 327.

528. κακῶν, ἕτερος δέ τ' ἐάων] cf. N 486.

— ἐάων] § 75.

ὧι μέν κ' ἀμμίξας δώηι Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῶι ὅ γε κύρεται, ἄλλοτε δ' ἐσθλῶι·
ὧι δέ κε τῶν λυγρῶν δώηι, λωβητὸν ἔθηκε,
καί ϝε κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾶι δ' οὔτε θεοῖσι τετιμένος οὔτε βροτοῖσι.
ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα 534[b] = Π 381
ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο 535[b] sq.[a] cf. τ 395 sq.
ὄλβωι τε πλούτωι τε, ϝάνασσε δὲ Μυρμιδόνεσσι, 536 cf. Π 596
καί ϝοι θνητῶι ἐόντι θεὰν ποίησαν ἄκοιτιν.
ἀλλ' ἐπὶ καὶ τῶι ἔθηκε θεὸς κακόν, ὅττι ϝοι οὔ τι
παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,
ἀλλ' ἕνα παῖδ' ἔτεκεν παναώριον. οὐδέ νυ τόν γε
γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
ἧμαι ἐνὶ Τροίηι, σέ τε κήδων ἠδὲ σὰ τέκνα.
καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς ἐφέργει 544 cf. h. Ap. 37

544. *Μάκαρος*] μακάρων pap. 114[2] L Plut. Mor. 603*c* Dio Chr. 9 et 398 Suid. s. v. ἄνω.

532. βούβρωστις] †. Veteres ambigebant dicereturne *fames improba*, *rabies ventris* (quae postea βουλιμία est dicta), an vocabulum proprie indicasset *animalculum* aliquod bobus noxium, hinc *calamitatem*, quemadmodum οἶστρος *asilum* (χ 300), hinc *vesaniam* significavit, μύωψ *tabanum*, hinc *calcar*; cf. etiam κυνόμυια ad *hominem* dictum Φ 394. Haec potior videtur interpretandi ratio collatis Metrodori verbis a Plutarcho Mor. 694 *b* laudatis: „*deam* Βούβρωστιν olim Smyrnae fuisse cultam" (item schol. et Eust. ad nostrum locum); nam animalculi noxii, ut *murium* (cf. A 39), *locustarum*, apud Semitas *muscarum* (2 Reg. 1 § 2), vel utilium bestiolarum *apum*, in cultu publico mentionem esse factam veri est multo similius quam notioni corpore et figura carenti, qualis est *Fames*, sacra olim esse lata. Posterioris demum aevi fuit Paupertatis vel Abundantiae vel Pacis imaginem effingere verbisque reddere.

538. οὔ τι κτέ.] *multum abest ut seni in aedibus succreverit soboles*; non vidit παίδων παῖδας, non enim ei sunt in aedibus filii adulti, nedum nepotes illic degant. Cf. B 701.

540. παναώριον] *prorsus adhuc immaturum*. Mente addendum: *et mox moriturum*. De Achillis aetate cf. A 352 sq.

543. ἀκούομεν] cf. Ξ 125.

544—546. Cf. I 401—403. Per totum illum tractum terrarum, qui praeter *Troadem* complectitur *Lesbum*, *Phrygiam*, *Hellespontum*, sive per cunctas urbes Priami dicioni subiectas (cf. B 816 sqq.), nullus fuit qui opibus vel filiorum numero specie virtute Priamum aequaret. — *Macar* (sive *Macareus*) Lesbi rex etiam aliunde est cognitus (h. Ap. 37 al.), sed quia apud H. non nisi h. l. commemoratur, dubitatum est *propriumne* hoc esset nomen an *adiectivum* (cf. A 99). Nunc

545 καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντοσ ἀπείρων,
τῶν σε, γέρον, πλούτωι τε καὶ υἱάσι φασὶ κεκάσθαι. 546 cf. ξ 206
547 αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον οὐρανίωνεσ,
549 ἀνσχέο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν·
550 οὐ γάρ τι πρήξεισ ἀκαχημένοσ υἷοσ ἐῆοσ,
οὐδέ μιν ἀνστήσεισ· πρίν κεν κακὸν ἄλλο πάθηισθα.“
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοσ θεοφιλήσ·
„μή πώ μ' εἰσ θρόνον ἵζε, διοτρεφέσ, ὄφρα κεν Ἕκτωρ
κείετ' ἐνὶ κλισίηισιν ἀκηδήσ· ἀλλὰ τάχιστα
555 λῦσον, ἵν' ὀφθαλμοῖσι ἰδὼ, σὺ δὲ δέξαι ἄποινα 555ª = κ 387
πολλά, τά τοι φέρομεν. σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοισ 555ᵇ cf. Z 46
σὴν εἰσ πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασασ
αὐτόν τε ζώειν καὶ ὁρᾶν φάοσ ἠελίοιο.“ 558ᵇ cf. Σ 61
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
560 „μηκέτι νῦν μ' ἐρέθιζε, γέρον! νοέω δὲ καὶ αὐτὸσ

548 αἰεί τοι περὶ βάστυ μάχαι τ' ἀνδροκτασίαι τε, 548ᵇ cf. H 537

546. τῶν] sic Ar., τῶ pap. 114 et 128, A. || 548. Del. Koechly. || 550. ἐῆοσ] ἑοῖο Zen., τεοῖο pap. 114² in marg. (cf. A 393). || 551. *κεν § 108] καί. Cf. γ 117 λ 330 ξ 155 et I 121. || 553. πώ μ'(ε) A] μέ πω Ω. || 554. κείετ'(αι)] § 169] κῆται vel κεῖται. || 556 sq. Quidam —, vs. 558 autem om. pap. 114¹ D T et in marg. A adscriptum est: „οὐχ εὑρέθη ἐν τῶι παλαιῶι”. In textu tamen habet ipse A et habuit eius archetypum. Cf. Y 312. || 557. πρῶτον ἔασασ] πρῶτ' ἐλέησασ Dionysius Sidon.

eum etiam vivere sumitne poeta? Vix id credibile, expugnata enim est eius urbs (cf. I 128—132 et δ 342—344). — Adverbia ἄνω et καθύπερθε videntur esse dicta *e persona loquentis*, qui e littore cernere potuit alta cacumina Olympi montis Lesbii et Idae montis Phrygii, Priami dicionem cingentium et veluti includentium. Genitivus τῶν valet *inter huius regionis incolas*. Est igitur constructio ad sensum, nam ὅσσον vs. 544 = ὅσσουσ. Cf. E 638. De Hellesponti epitheto ἀπείρων cf. H 86.

550. υἷοσ] genitivus ut Λ 702.

556 sq. Cf. A 18 sq.

560—570. Penitus commotus Achilles, in cuius animo inter se certant ira et misericordia, dum inter senis preces et promissum Patroclo datum ambigens in diversa trahitur et vix a se impetrat ut abiciat consilium immite (cf. vs. 591—593), quod di abicere eum iusserunt, *ah tace!* exclamat: *lacrimis urgere me desine. Volo obtemperare tibi, volo obedire ipsius Iovis voluntati; at urit dolor: cave ne reviviscat furor vix sopitus!* — Magni poetae quique cordis humani penetralia optime nosset hi sunt versus. In Achillis pectore furor vix sopitus in eo est ut denuo effervescat, ut tunc cum vix a se impetrare potuit heros ut Agamemnonis, quocum in gratiam tamen rediisset, acciperet dona eiusve cenae assideret (cf. Τ 146—148 et Ψ 37).

560 sq. νοέω ... λῦσαι] cf. Χ 235.

Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελος ἦλθε
μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος. 562ᵇ = *A* 538
καὶ δὲ σὲ γιγνώισκω, Πρίαμε, φρεσίν, οὐδέ με λήθεις,
ὅττι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
οὐ γάρ κε τλαίη βροτὸς ἐλθέμεν', οὐδὲ μάλ' ἡβῶν, 565ᵇ = *M* 382
εἰς στρατόν· οὐδ' ἄρα κεν φυλακοὺς λάθοι, οὐδέ κ' ὀχῆα
ῥεῖα μετοχλίσσειε θυράων ἁμετεράων. 567ᵃ cf. *ψ* 188
τῶι νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνηις,
μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίηισιν ἐάσω
καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς." 570ᵇ cf. 586
ὣς ἔφατ', ἔδρεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθωι. 571 = *A* 33
Πηλεΐδης δ' οἶκοιο λέων ὣς ἅλτο θύραζε, 572 cf. *Y* 164
οὐκ οἶος, ἅμα τῶι γε δύω θεράποντες ἕποντο, 573ᵃ = *B* 745
ἥρως Αὐτομέδων ἠδ' Ἄλκιμος, οὕς ῥα μάλιστα 574 cf. 474
τίν' Ἀχιλεὺς ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα. 575 cf. *ω* 79
οἳ τόθ' ὑπὸ ζυγόφιν ἴλυον ἵππους ἡμιόνους τε,
εἰς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος,
κὰδ δ' ἐπὶ δίφροι εἶσαν· ἐΰξέστου δ' ἀπ' ἀπήνης
ἥιρεον Ἕκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα. 579 cf. 276
κὰδ δ' ἔλιπον δύο φάρε' ἐΰ νητόν τε χιτῶνα,

566. *οὐδ' ἄρα κεν* Brandreth] *οὐδὲ* (*οὔτε* pap. 128) *γὰρ ἂν*. Cf. § 326. — *φυλακοὺς*] sic Ar., *-κασ* pap. 114¹ C. Cf. § 63. — *κ'(ε)*] *τ'* pap. 128. — *ὀχῆα* Ar. A T] *ὀχῆας* *Σ2*. Cf. *N* 124 et l. a. *πυλάων* vs. 567. ‖ 567. *μετοχλίσσειε*] *-χλήσειε* D. Cf. *M* 448. — *θυράων*] *πυλάων* pap. 128. Cf. vs. 453, 455. ‖ 568. *ἐν ἄλγεσι*] *ἐνὶ φρεσὶ* (ut *o* 486) l. a. in A. Cf. *φ* 88. ‖ 570. *καὶ ἱκέτην*] *αἰδοῖον* vel *οἰκτιστον* Nauck. Cf. *O* 290. ‖ 571. *ἔφατ', ἔδρεισεν*] [*φάτο, ῥί*]*γησεν* pap. 128 (ut *Γ* 259 al.). ‖ 572. *δ' οἶκοιο*] neglecto *ϝ*, *δὲ δόμοιο* Brandreth. ‖ 578. *ἐϋξέστου*] *ἐϋσσώτρου* pap. 114 A in marg. D T (adi. aliunde ignotum; cf. *E* 725); *ἐϋξέστης* Bekker (ut vs. 275, 590).

568. ἐν ἄλγεσι] i. q. ἐπεί μοι θυμὸς ἐν ἄλγεσι κεῖται, ut dicitur φ 88.

569. ἐάσω] cf. *Υ* 311.

570. Διὸς δ' ἀλίτωμαι ἐφετμάς] supplicem vi ex aedibus pelli non sinit pietas, nam tuetur eum Iuppiter ξείνιος et ἱκετήσιος (att. ἱκέσιος). Cf. N 624 sq. ζ 207 sq. η 165, 181 θ 546 ι 270, 478 sq. λ 338 ν 213 ξ 57 sq., 158, 283 sq., 389 π 422.

572. Achillem cum leone ut nunc compararet poetam movit perculsus herois animus. Non enim *incessit* ille, sed violento motu vultuque distorto proruit, ferae quam homini similior.

574. Ἄλκιμος] cf. *Τ* 392.

578. δίφροι'(ο)] § 59.

580. δύο φάρε'(ε)] id est στρῶμα καὶ ἐπίβλημα; nam collato vs. 588 intellegitur alterum linteum feretro mox instratum (corpori igituf substratum) esse. Sic in Vi a. Chr. saeculi inscriptione Cea (I G A. 395*a*) mortui „ἐν ἱματίοις τρισὶ λευκοῖς, στρώματι καὶ ἐνδύματι καὶ ἐπιβλήματι, vel paucioribus sepeliri iubentur; cf. etiam Solonis lex apud Plutarchum in vita 21. — In curru haec vestimenta sunt relicta,

ὄφρα νέκυν πυκάσασ δοίη ϝοῖκονδε φέρεσθαι.
δμωιὰσ δ' ἐκκαλέσασ λοῦσαι 'κέλετ' ἀμφί τ' ἀλεῖψαι,
νόσφιν ἀειράσασ, ὡσ μὴ Πρίαμοσ ϝίδοι υἱόν,
μὴ ὃ μὲν ἀχνυμένηι κραδίηι χόλον οὐ ϝερύσαιτο
παῖδα ϝιδών, Ἀχιλῆϊ δ' ὀρινθείη φίλον ἦτορ. [δ 49 sq. al.
τὸν δ' ἐπεὶ οὖν δμωιαὶ 'λοῦσαν καὶ 'χρῖσαν ἐλαίωι, 587 sq. cf. γ 466 sq.
ἀμφὶ δέ μιν φᾶροσ καλὸν 'βάλον ἠδὲ χιτῶνα, 587 = ϑ 454
αὐτὸσ τόν γ' Ἀχιλεὺσ λεχέων ἐπέθηκεν ἀείρασ, 587ᵇ = ϑ 364
σὺν δ' ἕταροι ἧειραν ἐΰ ξεστὴν ἐπ' ἀπήνην. 588 cf. ϑ 455
ὤιμωξέν τ' ἄρ' ἔπειτα φίλον τ' ὀνόμνηεν ἑταῖρον· 591 = Κ 522
„μή μοι, Πάτροκλε, σκυδμαινέμεν', αἴ κε πύθηαι
ἐν Ἀϊδόσ περ ἐών, ὅτι Ἕκτορα δῖον ἔλυσα
πατρὶ φίλωι, ἐπεὶ οὔ μοι ἀϝεικέα 'δῶκεν ἄποινα.

586 καί ϝε κατακτείνειε, Διὸσ δ' ἀλίτηται ἐφετμάσ. 586ᵇ cf. 570

584. χόλον] κότον l. a. in A, γόον Herodianus. — οὐ ϝερύσαιτο] οὐ κατερύκοι l. a. in A. || 586. Del. Knight (cum vs. 584 sq., Duentzer 583—586). Vitiose dictum est ἀλίτηται pro -τοιτο. || 590. δ' ἕταροι ἧειραν] *δ' ἧειραν ἑταῖροι? An *δέ ϝ' ἑταῖροι ἄειραν? || 591. φίλον τ'(ε) Par.] φίλον δ'. Cf. Κ 522 Ψ 178. || 594 sq. Quidam —

ne mortui corpus pallio vel tunica ab hoste accepta esset ornandum.

581. δοίη] subi. est *Achilles*. Vert.: *ut his involutum corpus Priamo daret auferendum* (cf. vs. 589).

582. λοῦσαι] § 295.

583. νόσφιν] non in *megaro*, ubi sedent ipsi Achilles et Priamus, sed in remotiore tabernaculi parte. Quod quam fuerit spatiosum cur poeta pluribus versibus supra exposuerit (cf. vs. 449—456) iam intellegimus.

584. οὐ] cf. Γ 289.

587. 'λοῦσαν] § 295.

588. φᾶροσ ... ἠδὲ χιτῶνα] his verbis (vel: χλαῖνάν τ' ἠδὲ χιτῶνα vel: χλαῖνάν τε χιτῶνά τε) versui heroico aptis poeta ita utitur (h. l. γ 467 δ 50 ε 229 al.) ut hominem vestitum adspicere nobis videamur, dein per vestimentum exterius, quod solum aut potissimum cernitur, mente et oculis veluti penetrare ad interius. Qualia πρωθύστερα vocare, id est rem docto nomine indicare, quod vitii vel licentiae crimen habere videtur potius quam interpretandi conamen. — Similia sunt ἔρκεά τε μέγαρόν τε π 341 ρ 604, τραφέμεναι ἠδὲ γενέσθαι Α 251, θρέψασα τεκοῦσά τε μ 134, ϝείματά τ' ἀμφιϝέσασα καὶ λούσασα ε 264, quibus locis poeta sensim mente procedit in aedium interiora vel in temporis praeterlapsi recessus. Cf. etiam Α 497—499 Ε 207 δ 208.

589. Usque adeo igitur iam deferbuit ira eius qui quin Hectoris carnes suis ipsius dentibus dilaniaret nuper parum afuit (cf. Χ 347).

592 sq. Esse aliquid manes et res humanas etiam curare Achilles proxima nocte suorum oculorum et aurium testimonio didicit (Ψ 62—103; praeterea cf. supra vs. 560—570).

593. ἐν] § 315.

— ὅτι Ἕ.] cf. Ε 465.

595 σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι ὅσσα ϝέϝοικε."
ἦ ῥα, καὶ εἰσ κλισίην πάλιν ἤϊε δῖος Ἀχιλλεύς,
ἕζετο δ' ἐν κλισμῶι πολυδαιδάλωι, ἔνθεν ἀνέστη, 597ª = δ 136
τοίχου τοῖ' ἑτέρου, ποτὶ δὲ Πρίαμον ϝφάτο μῦθον· 598ª = ψ 90 cf. I 219
„υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡσ ἐκέλευεσ,
600 κεῖται δ' ἐν λεχέεσσ', ἅμα δ' ἠόϊ φαινομένηφι 600ᵇ = I 618
ὄψεαι αὐτὸσ ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
καὶ γάρ τ' ἠῦκομοσ Νιόβη ἐμνήσατο σίτου,
τῆι περ δώδεκα παῖδεσ ἐνὶ μεγάροισιν ὄλοντο, 603 cf. x 5
ϝὲξ μὲν θυγατέρεσ, ϝὲξ δ' υἱέεσ ἡβάοντεσ. 604 = x 6
605 τοὺσ μὲν Ἀπόλλων ϝπέφνεν ἀπ' ἀργυρέοιο βιοῖο
χωόμενοσ Νιόβηι, τὰσ δ' Ἄρτεμισ ἰοχέαιρα,
οὕνεκ' ἄρα Λητοῖ ϝισάσκετο καλλιπαρήιωι·
ϝφῆ δοιὼ τεκέμεν, ἣ δ' αὐτὴ ϝγείνατο πολλούσ.
τὼ δ' ἄρα καὶ δοίω περ ἐόντ' ἀπὸ πάντασ ὄλεσσαν.
610 οἳ μὲν ἄρ' ἐννῆμαρ ϝκέατ' ἐν φόνωι, οὐδέ τισ ἦεν
κατθάψαι, λαοὺσ δὲ λίθουσ ϝποίησε Κρονίων·
τοὺσ δ' ἄρα τῆι δεκάτηι ϝθάψαν θεοὶ οὐρανίωνεσ.

595. ὅσσα ϝέϝοικε Bentley] ὅσσ' (ὡσ pap. 114[1]) ἐπέοικε. || 599. ἐκέλευεσ] -σασ T, σὺ κελεύεισ C D (ut vs. 669). || 602. σίτου] δόρπου C. || 608. δοιὼ] *ϝε δύω? (νChrist δοιώ ϝε τεκεῖν).

595. *Etiam harum opum partem, ut ceterarum* (cf. Ψ 166—177), *comburendo tibi impertiam.* Cf. X 512—514.

597. κλισμῶι] cf. Λ 623.

598. τοίχου τοῖ' ἑτέρου] *exadversus.* Cf. I 219 et de eliso τοῖ'(ο) § 59.

600. ἠόϊ] § 77.

602—617. *Niobae* apud H. non nisi h. l. fit mentio. Liberos Euripides et alii ei tribuerunt *quatuordecim* (cf. Eur. Phoen. 159 et illic schol.), alii *viginti* (cf. Ar. in schol., Gell. XX 7, Aelian. Var. Hist. XII 36). Ipsam autem Nioben in saxum mutatam fecere posteri; sed poeta Iliadis aliam fabulam est secutus, testibus vs. 611 et 613. Nam post liberos repentina morte abreptos Nioben prius quidem mentem aequam recuperasse, dein vero in saxum esse mutatam (vs. 614—617), figmentum id est recentiorum diversa conglutinantium.

604. ἡβάοντεσ] § 190 sq.

605 sq. Cf. γ 280.

605. ἀπ'(ὸ)] cf. Θ 279.

607. Λητοῖ] § 77.

— ϝισάσκετο] cf. M 435.

608. τεκέμεν] § 126.

610—612. ἐννῆμαρ ... τῆι δεκάτηι] cf. A 53 sq.

610. ϝκέατ'(ο)] § 169.

— ἐν φόνωι] cf. K 298.

611. Ob reginae igitur culpam etiam cives poenam dederunt; cf. qui in scholio laudatur Hes. Op. 240. Particula δέ non est adversativa, sed id fere quod γάρ nunc valet, ut saepe; qui principes mortuos sepelirent nulli aderant, nam in saxa mutati erant ceteri illius regionis homines.

ἦ δ' ἄρα σίτου 'μνήσατ', ἐπεὶ 'κάμε δάκρυ χέουσα.
ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιέ, 618ª = *Δ* 418
σίτου· ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα
*Ἴλιον* εἰσαγαγών· πολυδάκρυτοσ δέ τοι ἔσται."
ἦ, καὶ ἀναΐξασ ὄϊν ἄργυφον ὠκὺσ *Ἀχιλλεὺσ*
'σφάξ'· ἔταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
'μίστυλλόν τ' ἄρ' ἐπισταμένωσ 'πεῖράν τ' ὀβελοῖσι, [sq.
623 sq. = *H* 317
ὤπτησάν τε περιφραδέωσ, 'ϝερύσαντό τε πάντα. 624 = *Δ* 466
*Αὐτομέδων* δ' ἄρα σῖτον ἐλὼν ἐπένειμε τραπέζηι 625ᵇ sq. = *I* 216
καλοῖσ' ἐν κανέοισιν, ἀτὰρ κρέα 'νεῖμεν *Ἀχιλλεύσ*· sq.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρασ ἴαλλον. 627 sq. = *I* 91 sq.
αὐτὰρ ἐπεὶ πόσιοσ καὶ ἐδητύοσ ἐξ ἔρον εἵντο, 628 = *Δ* 469
ἦ τοι *Δαρδανίδησ Πρίαμοσ* 'θαύμαζ' *Ἀχιλῆα*,
ὅσσοσ ἔην οἷόσ τε· θεοῖσι γὰρ ἄντ' ἐϝεῖκει. 630ᵇ cf. h. Cer. 242
αὐτὰρ ὃ *Δαρδανίδην Πρίαμον* 'θαύμαζεν *Ἀχιλλεύσ*,
εἰσοράων ὄψιν τ' ἀγαθὴν καὶ μῦθον ἀκούων.
αὐτὰρ ἐπεὶ 'τάρπησαν ἐσ ἀλλήλουσ ὁράοντεσ, 633ª = *δ* 47 *κ* 181
633ᵇ = *ν* 373
τὸν πρότεροσ προσέϝειπε γέρων *Πρίαμοσ Θεσϝιδήσ*· [sq. cf. *δ* 294 sq.
„λέξον νῦν με τάχιστα, διοτρεφές, ὄφρα καὶ ἤδη 635ᵇ sq. = *ψ* 254

---

614 *νῦν δέ ποθ' ἐν πέτρηισιν, ἐν οὔρεσιν οἰοπόλοισι,* 614ᵇ cf. *λ* 574
*ἐν Σιπύλωι, ὅθι φασὶ θεάων ἴμμεναι εὐνὰσ* 615 cf. *B* 783
*Νυμφάων, αἵ τ' ἀμφ' Ἀχελώϊον ἰρρώσαντο,*
*ἔνθα λίθοσ περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.*

---

614—617. Aristoph. Ar. —; cf. comment. ad vs. 602 sqq. ‖ 616. *Ἀχελώϊον*] *-λήϊον* vel *-λήσιον* l. a. ant. ‖ 619. *παῖδα κλαίοισθα*] **κλαίοισθα σὺ παῖδα.*

---

614. ποθ'(ι)] § 322.

— οἰοπόλοισι] cf. N 473.

615—617. Prope Smyrnam in latere Sipyli etiamnunc extat *Magnae Matris*, deae Asianae, imago, quae ab archaeologis ad Sesostridis aetatem refertur. Mulierem *mortalem*, quae olim perfecunda fuisset, dein vero dolore in lapidem esset mutata, hanc fecerunt priscae Graecorum fabulae. Pausanias vero I 21 § 5 non hoc signum cogitavit, sed aliam aliquam rupem speciem feminae flentis eminus praebentem. Iliadis poeta utrum oculis suis adspexerit saxum quod nunc cogitat, an de re fando tantum audita loquatur, non liquet.

615. ὅθι φασὶ κτέ.] cf. B 783.

616. Ἀχελώϊον] frequens fuit hoc fluminum nomen, ut *Arethusa* fontium (cf. ν 408), et in agro Smyrnaeo fuit *Acheles* rivus testibus schol. et Eust.; hic igitur videtur is esse qui nunc *Achelous* vocatur.

617. κήδεα πέσσει] cf. B 237.

627 sq. Cf. I 222 sq.

630. ἔεν] § 302.

632 sq. εἰσοράων et ὁράοντεσ] § 191.

ὕπνωι ὕπο γλυκερῶι ταρπώμεθα κοιμηθέντε.
οὐ γάρ πω ’μύσαν ὅσσε ὑπὸ βλεφάροισιν ἐμοῖσι,
ἐξ οὗ σᾶισ’ ὑπὸ χερσὶν ἐμὸσ πάϊσ ὤλεσε θυμόν,
ἀλλ’ αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
αὐλῆσ ἐν χόρτοισι κυλινδόμενοσ κατὰ κόπρον. 640ª cf. Λ 774
νῦν δὴ καὶ σίτου ’πασάμην ἠδ’ αἴθοπα ϝοῖνον 640ᵇ = X 414
λαυκανίησ καθέηκα· πάροσ γε μὲν οὔ τι ’πεπάσμην.“ 641 cf. η 295
ἦ ῥ’, Ἀχιλεὺσ δ’ ἑτάροισιν ἰδὲ δμωῇσι’ ἐκέλευσε [sqq.
δέμνι’ ὑπ’ αἰθούσηι θέμεναι καὶ ῥήγεα καλὰ 643ᵇ-647 = δ 296
πορφύρε’ ἐμβαλέμεν, στορέσαι τ’ ἐφύπερθε τάπητασ, 643ᵇ = I 658
χλαίνασ τ’ ἐνθέμεναι ϝούλασ καθύπερθε ϝέσασθαι. 644-647 = η 336
αἳ δ’ ἴσαν ἐκ μεγάροιο δάοσ μετὰ χερσὶν ἔχουσαι, sqq.
αἶψα δ’ ἄρ’ ἐστόρεσαν δοιὼ λέχε’ ἐγκονέουσαι. 647 = χ 497
τὸν δ’ ἐπικερτομέων προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ· 647ᵇ cf. ψ 294
„ἐκτὸσ μὲν δὴ λέξο, γέρον φίλε, μή τισ Ἀχαιῶν 648 cf. η 340 ψ 291
649ª cf. Π 744

636. ταρπώμεθα] παυσώμεθα A T (cf. δ 295). — κοιμηθέντε pap. 114 D] -ντεσ (cf. δ 295). ‖ 641. ἠδ’(ὲ) Brandreth] καὶ. Cf. η 295 et O 290. ‖ 642. λαυκανίησ] λευκ. pap. 114² D (cf. X 325).

636. ὕπνωι ὕπο] *sub velo somni* ἐπιπεσόντοσ vel ἀμφιχυθέντοσ (cf. Ξ 253 ε 492 η 286 ν 79).

637—640. Cf. vs. 161—165. Scholia in mentem nobis revocant Ulixem dies duodeviginti vigilantem et per triduum continuum natantem (ε 278, 388 sqq.).

639. κήδεα . . . πέσσω] cf. B 237.

640. αὐλῆσ ἐν χόρτοισι] cf. Λ 774.

641. καὶ] *etiam*. Cf. N 260.

643—650. *Hospitibus* non in *megaro*, ubi more solito dormit *dominus* (cf. I 663), parari solet lectus, sed *in porticu*. Item γ 399 δ 297—302 η 336, 345 ξ 5 (τ 317) υ 1, 143; cf. etiam I 472 et κ 554 sq. — Quod in schol. B dicitur: senem semoveri ut Briseidem amplecti possit Achilles, quemadmodum iusserit mater (cf. vs. 130 et 676), id talibus verbis dictum risum movet, veri tamen aliquid habet; nam hospitibus cubile in megaro propterea non sternebatur, quod genialis ibi stabat torus, in quo noctem transigebant pater familias et uxor. De Achillis autem tabernaculo cf. quae supra ad vs. 449—456 sunt annotata.

645. ἐμβαλέμεν] § 126.

649. ἐπικερτομέων] *cavillans, non ex animi sententia locutus.* Verbum redit Π 744 χ 194 (simplex B 256 al., κερτόμιοσ A 539 al.); cf. Π 261 et ἐρεθίζειν τ 45. *Iamque cubitum abi,* — Achilles ait, — *ne alii te adspiciant et ad Agamemnonem harum rerum nuntium deferant; nam is si resciscat, haud scio an irrita cuncta sint futura.* Cf. vs. 686—688. — Dicitur nunc ἐπικερτομέειν Achilles utpote *causam interserens*; non enim revera aliorum oculis Priamum iam eripere cupit, sed colloquii sibi ipsique seni tristissimi finem facere. Eadem est vis adiectivi κερτόμιοσ ω 240.

ἐνθάδ' ἐπέλθησιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστί·
τῶν εἴ τίς σε ϝίδοιτο θοὴν διὰ νύκτα μέλαιναν, 653 = 366
αὐτίκα κ' ἐκϝείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένοιτο.
ἀλλ' ἄγε μοι τόδε ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον, 656 = K 384
ποσσῆμαρ μέμονας κτερεΐζέμεν Ἕκτορα δῖον,
ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω."
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
„εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίωι,
ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
ϝοῖσθα γὰρ ὡς κατὰ ϝάστυ ϝεϝέλμεθα, τηλόθι δ' ὕλη
ἀξέμεν' ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασι.
ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάρωι γοάοιμεν,
τῆι δεκάτηι δέ κε θάπτοιμεν δαινυῖτό τε λαός,

655. γένοιτο pap. 114 D] -ηται. || 658. ὄφρα τέως] *ὡς τῆος? Cf. § 323[3]. || 663. δέ] γὰρ Ar. — δεδίασι] neglecto ϝ. || 664. κ' αὐτὸν] *κέν ϝε? Cf. § 98. — μεγάρωι] cf. B 137.

653 θοὴν διὰ νύκτα] cf. K 394.

654. αὐτίκα κ'(ε)] § 326.

658. Agamemnonis potius fuit talia iubere, sed dubitare non potuit Achilles quin ratum esset futurum quicquid hac de re decrevisset ipse. Non enim commissuri erant Achivi ut iterum sine Achille adversus Troianos dimicarent. Ceterum versus hic, immo tota narratio quae est de Hectoris corpore redemto, ut ab omni parte apta nobis videri possit, mente tenendum est belli Troiani fabulam non in Iliadis nostrae exitu finem habuisse, sed continuatam esse usque ad urbis excidium et heroum reditum; finem igitur rerum narratarum non fecisse inducias, per quas Hectoris corpus ritu sollemni crematum et sepultum est, sed veluti per episodium huius herois funus referri, quemadmodum ipsae hae undecim dierum induciae mediae fuerunt inter oppugnatam Troiam et captam. Poeta cum haec cecinit, etiam posteriorem belli partem in mente habuit, fortasse et illas res carmine celebraturus fuit. Cecinit autem auditoribus quibus et ipsis belli eventus erat notissimus (cf. A 307 X 61 λ 118—137).

661. ὧδε] quid velit, vs. 664—667 indicatur: *si per undecim dies copias cohibueris.*

662 sq. Participii κεχαρισμένα redditur causa: *gratum feceris; nam inclusi sumus, vobis igitur invitis ligna colligere non possumus.*

664 sq. ἐννῆμαρ ... τῆι δεκάτηι δέ] cf. H 85 et de omisso ἡμέρηι A 53 sq. — γοάοιμεν] § 191.

665 sq. Epularum decimo die habendarum hic fit mentio, sed infra vs. 784—801 apparet sequenti demum die, post tumulum congestum, non eodem die quo funus, esse habitas. Tantus nimirum fuit rogus — non ait hoc poeta, sed facile rem sic nobis informamus, — ut eodem die quo

ἐνδεκάτηι δέ κε τύμβον ἐπ' αὐτῶι ποιήσαιμεν·
τῆι δὲ δυωδεκάτηι πολεμίξομεν, εἴ περ ἀνάγκη."
τὸν δ' αὖτε προσέφειπε ποδάρκης δῖος Ἀχιλλεύς·
„ἔσται τοι καὶ ταῦτα, γέρον Πριαμίδη, ὡς σὺ κελεύεις· 669 cf. Φ 223
σχήσω γὰρ πόλεμον τόσσον χρόνον ὅσσον ἄνωγας." 670
ὣς ἄρα φωνήσας ἐπὶ καρπῶι χεῖρα γέροντος 671 cf. σ 258
ἔλλαβε δεξιτερήν, μή πως δείσειε ἐνὶ θυμῶι.
οἳ μὲν ἄρ' ἐν προδόμοι δόμου αὐτόθι κοιμήσαντο, 673 = δ 302
κήρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες, 674 = 282
αὐτὰρ Ἀχιλλεὺς ἦδε μυχῶι κλισίης εὐπήκτου· 675 = I 663
τῶι δὲ Βρισηΐς παρελέξατο καλλιπάρηιος.

ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ 677 sq.ª = B 1 sq.
ηὗδον παννύχιοι, μαλακῶι δεδμημένοι ὕπνωι· 678 = K 2
ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτε,
ὁρμαίνονθ' ἁνὰ θυμόν, ὅπως Πρίαμον βασιλῆα
νηῶν ἐκπέμψειε λαθὼν ἱερούς πυλαουρούς.
ἵστη δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπε· 682 = Ψ 68
„ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακόν, οἷον ἔθ' εὕδεις
ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύς.
καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας·
σεῖο δέ κε ζωιοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴ κ' Ἀγαμέμνων
γνώηι σ' Ἀτρεΐδης, γνώωσι δὲ πάντες Ἀχαιοί." 688ª cf. A 411
ὣς ἔφατ', ἔδρεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη. 688ᵇ = Ψ 661 689ª = A 33
τοῖσιν δ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε,
ῥίμφα δ' ἄρ' αὐτὸς ἔλαυνε κατὰ στρατόν, οὐδέ τις ἔγνω.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεέος ποταμοῖο, 692 = Ξ 433

672. δεξιτερήν] -ρῆι pap. 114. ‖ 673. οἳ] τὼ C. ‖ 676. δὲ] δ' ἄρα A, δ' ἄρ pap. 128². ‖ 681. πυλαουρούς pap. 128] -ωρούς (cf. Φ 530 X 69).

flagrare coepit totus cremari non potuerit, perinde atque rogus Patrocli (cf. Ψ 228 et H 434); itaque postridie demum favillae sunt extinctae, ossa lecta et tumulo condita, dein funere absoluto epulae funebres habitae.

665. δαινυῖτο] § 120.

672. δρείσει'(ε)] § 113.

673—676. Cf. vs. 643—650.

684. δηΐοισιν] § 17.

— εἴασεν] cf. Υ 311.

686. καὶ τρὶς τόσα] cf. A 213.

692. De Scamandri vado cf. Ξ 433 et supra vs. 350 sq. Eodem loco ubi

694 Ἑρμείασ μὲν ἔπειτ' ἀπέβη πρὸσ μακρὸν Ὄλυμπον, 694 = κ 307
694b = 468
695 Ἠὼσ δὲ κροκόπεπλοσ ἐκίδνατο πᾶσαν ἐπ' αἶαν. 695 = Θ 1
οἳ δ' εἰσ ϝάστυ ἔλων οἰμωγῆι τε στοναχῆι τε
ἵππουσ, ἡμίονοι δὲ νέκυν ἐφέρον.

οὐδέ τισ ἄλλοσ [H 139
ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν, 698b = ψ 147 cf.
ἀλλ' ἄρα Κασσάνδρη, ϝικέλη χρυσέηι Ἀφροδίτηι, 699b cf. Τ 282
700 Πέργαμον εἰσαναβᾶσα φίλον πατέρ' εἰσενόησε,
ἑσταότ' ἐν δίφρωι, κήρυκά τε ϝαστυβοήτην,
τὸν δ' ἄρ' ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι.
κώκυσέν τ' ἄρ' ἔπειτα γέγωνέ τε πᾶν κατὰ ϝάστυ· 703a cf. Σ 37
„ὄψεσθε, Τρῶεσ καὶ Τρωιάδεσ, Ἕκτορ' ἰόντεσ,
705 εἴ ποτε καὶ ζώοντι μάχησ ἐκ νοστήσαντι 705 cf. E 157
705b = P 207
χαίρετ', ἐπεὶ μέγα χάρμα πόληΐ τε παντί τε δήμωι." 706b = Γ 50
ὣσ ἔφατ', οὐδέ τισ αὐτόθ' ἐνὶ πτόλιι λίπετ' ἀνὴρ
οὐδὲ γυνή, πάντασ γὰρ ἀνάνσχετον ἵκετο πένθοσ,
ἀγχόθι δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
710 πρῶται τόν γ' ἄλοχόσ τε φίλη καὶ πότνια μήτηρ
τιλλέσθην, ἐφ' ἅμαξαν ἐΰτροχον ἀΐξασαι,

693 Ξάνθου δινήεντοσ, ὃν ἀθάνατοσ τέκετο Ζεύσ, 693 = Ξ 434

693. Om. pap. 128 et 114 A D T. ‖ 697. φέρον] ἄγον pap. 128 A. ‖ 704. ὄψεσθε] ὄψασθε Zen. (in Etym. M. 646, 31). — Ἕκτορ' ἰόντεσ] -ρα ὅτον pap. 128 (ΡΑΙΟΝτεσ—ΡΑΔΙΟΝ). ‖ 706. πόληΐ τε Nauck] πόλει τ' ἦν. Cf. § 74 et 302. ‖ 707. οὐδέ τισ αὐτόθ'(ι)] [οὐδ' ἄρα δ]ή τισ pap. 128. ‖ 708. ἀνάνσχετον] cf. E 892. ‖ 709. ἀγχόθι δὲ] *ἄγχι δέ ϝοι? Cf. § 318.

primum Priamo se ostendit deus, eum reliquit. De adi. ἐϋρρεέοσ cf. § 73.

693. Cf. Ξ 434.

696. ϝάστυ ἔλων] § 16.

— οἰμωγῆι τε στοναχῆι τε] cf. B 149.

698. καλλιζώνων] cf. B 479.

699 sq. *Cassandra*, Priami filia pulcherrima et e recentiorum poetarum carminibus notissima, in Iliade non nisi N 365 sq. et nostro loco commemoratur, hic autem ita ut appareat eam cum Apolline, ut in carminibus posteriōribus, aliquo vinculo fuisse iunctam; nam *Pergami* ibi fieri solet mentio, ubi *Apollinis* habetur ratio (cf. Δ 508).

699. χρυσέηι] § 18 et 61.

701. ἑσταότ'(α)] § 160[5].

— ϝαστυβοήτην] § 191.

704. ὄψεσθε] imperativus. Cf. § 152.

709. ξύμβληντο] § 119.

710 sq. τὸν ... τιλλέσθην] verbum τίλλεσθαι, quod proprie *crines sibi vellere* valet, *lugendi* sensu nunc usurpatum admittit obiectum personae, causam luctus indicans. Cf. κόπτεσθαι Ἄδωνιν Ar. Lys. 396, τύπτεσθαι θεόν Herodot. II 61, al.

ἀπτόμεναι κεφαλῆσ· κλαίων δ' ἀμφίσταθ' ὅμιλοσ.
καί νύ κε δὴ πρόταν ἦμαρ ἐσ ἠέλιον καταδύντα 713 cf. *A* 601
Ἕκτορα δάκρυ χέοντεσ ὀδύροντο πρὸ πυλάων,
εἰ μὴ ἄρ' ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα·
„ϝείξατέ μοι οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
ἄσεσθε κλαυθμοῖο, ἐπεί ϝ' ἀγάγωμι δόμονδε."
ὣσ ἔφαθ', οἳ δὲ διέστησαν καὶ ἔϝειξαν ἀπήνηι.
οἳ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα 719ª cf. *κ* 112
τρητοῖσ' ἐν λεχέεσσ' ἔθεσαν, παρὰ δ' εἷσαν ἀοιδοὺσ 720ª cf. *γ* 399 *η* 345
θρήνουσ' ἐξάρχουσ, οἳ τε στονόεσσαν ἀοιδὴν
οἳ μὲν ἄρ' ἐθρήνεον, ἐπὶ δ' ἐστενάχοντο γυναῖκεσ. 722 cf. *T* 301
τῆισιν δ' Ἀνδρομάχη λευκώλενοσ ἦρχε γόοιο,
Ἕκτοροσ ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·
„ἄνερ, ἀπ' αἰῶνοσ νέοσ ὤλεο, καδ δέ με χήρην 725ᵛ-727 cf. X 483 sqq.
λείπεισ ἐν μεγάροισι. πάϊσ δ' ἔτι νήπιοσ αὖτωσ,
ὃν 'τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι, οὐδέ ϝ' ὀΐω
ἦβην ἵξεσθαι· πρὶν γὰρ πόλισ ἥδε κατ' ἄκρησ
πέρσεται. ἦ γὰρ ὄλωλασ ἐπίσκοποσ, ὅσ τέ μιν αὐτὴν
'ρύσκε', ἔχεσ δ' ἀλόχουσ κεδνὰσ καὶ νήπια τέκνα.
αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῆισι,
καὶ μὲν ἐγὼ μετὰ τῆισι. σὺ δ' αὖ, τέκοσ, ἢ ἐμοὶ αὐτῆι
ἕψεαι, ἔνθα κε ϝέργα ἀϝεικέα ϝεργάζοιο,

---

717. ἄσεσθε] ἄσασθε $A^1$T. — *ἐπεί ϝ'(ε)] ἐπήν. Cf. *Π* 453 *Λ* 478 § 326. — ἀγάγωμι D] -οιμι pap. 128 et 114 A C T. — δόμονδε] πόλινδε l. a. in A. || 721. Θρήνουσ' (Θρήνου) Ambros. L 116 Vat. 30] -νων C G H, -νουσ Ω. Cf. § 59. || 722. οἳ μὲν ἄρ' ἐθρήνεον] *Θρήνεον ἐξείησ? Cf. *ω* 61 et *Θ* 230. In vulgata novicium est ἐθρήνεον (cf. § 191) neque decurrit oratio. Pro ἄρ' ἐθρήνεον in D L est ὀὴ θρ. || 723. τῆισιν] τοῖσιν l. a. in A (item vs. 747 D, vs. 761 Par.). || 724. ἀνδροφόνοιο] ἱπποδάμοιο pap. 128 et 114 D (cf. *Π* 840). || 725. νέοσ] sic Ar., -ον Zen. || 726. δ' ἔτι pap. 114 D] δέ τε. || 727. ϝ' ὀΐω § 292*] μιν οἴω. || 729. αὐτὴν] -τὸσ Platt (cf. vs. 499).

---

716. οὐρεῦσι] *iumentis*. De hoc nomine cf. A 50.

717. ἀγάγωμι] § 112.

719. εἰσάγαγον] intrans.; mente enim supplendum est obiectum (τὴν ἀπήνην εἰσ τὰ δώματα).

720. τρητοῖσ'(ι)] cf. Γ 448.

722. οἳ μὲν ἄρ'(α)] cf. nota crit.

725. ἀπ' αἰῶνοσ ... ὤλεο] *e vita periisti*. Alibi ipse αἰών *perimi* dicitur; cf. T 27.

728. κατ' ἄκρησ] § 82.

730. 'ρύσκε'(ο)] § 117.

— ἔχεσ] *tuebaris*; cf. P 330 et Z 403 X 507. — Ipsum Hectoris nomen Andromachen sic interpretari — et recte quidem interpretari — iure observat schol.

ἀθλεύων πρὸ ϝάνακτοσ ἀμειλίχου, ἦ τισ Ἀχαιῶν
ῥίψει χειρὸσ ἑλὼν ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,
χωόμενοσ, ὥι δή ποθ' ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
ἢ πατέρ' ἠὲ καὶ υἱόν· ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτοροσ ἐν παλάμηισιν ὀδὰξ ἕλον ἄσπετον οὖδασ, 738ᵃ = *H* 105
οὐ γὰρ μείλιχοσ ἦσκε πατὴρ τεὸσ ἐν δαΐ λυγρῆι. 738ᵇ = *T* 61
τῶι καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ϝάστυ,
ἄρρητον δὲ τοκεῦσι γόον καὶ πένθοσ ἔθηκασ, 741 = *P* 37
Ἕκτορ· ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.
οὐ γάρ μοι θνήισκων λεχέων ἓκ χεῖρασ ὄρεξασ,
οὐδέ τί μοι 'ϝεῖπεσ πυκινὸν ϝέποσ, οὗ τέ κεν αἰεὶ
μεμνήιμην νύκτασ τε καὶ ἤματα δάκρυ χέουσα." 745 cf. Σ 340
ὣσ ἔφατο κλαίουσ', ἐπὶ δ' ἐστενάχοντο γυναῖκεσ. 746 = *T* 301
τῆισιν δ' αὖ Ἑκάβη ἀδινοῖ' ἐξῆρχε γόοιο· 747 cf. *X* 430
„Ἕκτορ, ἐμῶι θυμῶι πάντων πολὺ φίλτατε παίδων!
ἦ μέν μοι ζωιόσ περ ἐὼν φίλοσ ἦσθα θεοῖσι·
οἳ δ' ἄρα σεῦ 'κήδοντο καὶ ἐν θανάτοιό περ αἴσηι. 750ᵇ = 428
ἄλλουσ μὲν γὰρ παῖδασ ἐμοὺσ πόδασ ὠκὺσ Ἀχιλλεὺσ
'πέρνασχ', ὅν τιν' ἕλεσκε, πέρην ἁλὸσ ἀτρυγέτοιο,
εἰσ Σάμον εἰσ τ' Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν, 753 cf. *N* 33
753ᵇ cf. h. Ap. 36

736. ὥι] ωτινι pap. 114 D T. || 737. ἠὲ ... ἐπεὶ] ἦ ... ἦ καὶ pap. 114. || 747. αὖ L] αὖϑ'. Cf. X 430. || 749. μοι] καὶ Doederlein (coll. e 73). || 750. οἳ δ'(ὲ)] ἠδ' pap. 114. || 752. ἕλεσκε] ἕλησι l. a. in A. || 753. ἀμιχθαλόεσσαν] μιχθαλόεσσαν Antimachus. Cf. comment.

734. ἀθλεύων] cf. H 453.

— πρὸ ϝάνακτοσ] *coram domino, ante domini oculos.*

— ἤ] *vel etiam.* Rerum futurarum praesaga fuit mens mulieris lugentis; haec enim mors puerum revera manebat. Parvae Iliadis versus, quibus Astyanactis letum referebatur, etiam nunc extant, et noster locus testatur poetam Iliadis eandem famam secutum esse. Cf. X 487.

735. λυγρὸν ὄλεθρον] de accusativi hoc usu cf. Γ 50 sq.

736. ποθ'(ι)] § 322.

747. ἀδινοῖ'(ο)] § 59.

748—759. Hecubae querela e quatuor enuntiatis trinorum versuum constat; quapropter etiam Andromachae et Helenae querelis primitus hanc formam fuisse suspicatus vLeutsch damnavit versus 731—739, 770, 772 (hunc auctore Heynio). Peppmueller vero tres *nomos* ἀρχήν, ὀμφαλόν, σφραγῖδα habentes agnoscere sibi visus est, Andromachae naeniam e 6 + 9 + 6, Hecubae e 3 + 6 + 3, Helenae e 3 + 7 + 3 versibus compositam ratus. Cf. Γ 162—190.

750. σευ] § 92.

751—753. Cf. Φ 35—47.

753. Σάμον] *Samothracen.* Cf. N 12.

— ἀμιχθαλόεσσαν] adi. ignotum neque metro conveniens (cf. § 3) redit h. Ap. 36.

σοὶ δ' ἐπεὶ ἐξέλετο ψυχὴν ταναήκεϊ χαλκῷι,
πόλλ' ἐρρυστάζεσκεν ἑοῦ περὶ σῆμ' ἑτάροιο,
Πατρόκλου, τὸν ἔπεφνεσ· ἀνέστησεν δέ μιν οὐδ' ὥσ.
νῦν δέ μ' ἐρσήεισ καὶ πρόσφατοσ ἐν μεγάροισι
κεῖσαι, τῶι ϝίκελοσ ὅν τ' ἀργυρότοξοσ Ἀπόλλων
ϝοῖσ' ἀγανοῖσι βέλεσσιν ἐποιχόμενοσ καταπέφνηι.“ 759 cf. γ 280 o 411 ε 124 λ 173, 199
ὣσ ἔφατο κλαίουσα, γόον δ' ἀλίαστον ὄρινε. 760ª cf. T 301
τῆισι δ' ἔπειθ' Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
„Ἕκτορ, ἐμῶι θυμῶι δαέρων πολὺ φίλτατε πάντων!
ἦ μέν μοι πόσισ ἐστὶν Ἀλέξανδροσ θεοϝειδήσ,
ὅσ μ' ἄγαγε Τροίηνδ'· — ὡσ πρὶν ὤφειλον ὀλέσθαι! — 764ᵇ cf. H 390
ἤδη γὰρ νῦν μοι τόδ' ἐϝεικοστὸν ϝέτοσ ἐστί, 765 sq. cf. τ 222 sq. ω 309 sq.
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆσ ἀπελήλυθα πάτρησ,
ἀλλ' οὔ πω σέ' ἄκουσα κακὸν ϝέποσ οὐδ' ἀσύφηλον·
ἀλλ' εἴ τίσ με καὶ ἄλλοσ ἐνὶ μεγάροισιν ἐνίσσοι
δαέρων ἢ γαλόων ἠ' ἐνατέρων ἐϋπέπλων 769ᵇ = Z 378
ἦ ϝεκυρή, — ϝεκυρὸσ δὲ πατὴρ ὣσ ἤπιοσ αἰεί, —
ἀλλὰ σὺ τόν γε ϝέπεσσι παραιφάμενοσ κατέρυκεσ,

754. *σοί] σεῦ. Cf. § 92 et Σ 311. || 757. *μ' ἐρσήεισ] μοι ἐρσήεισ. Cf. vs. 419. || 759. ἀγανοῖσι βέλεσσιν pap. 114 et 128] -νοῖσ βελέεσσιν A C. Cf. § 60. — καταπέφνη(ι) pap. 114] κατέπεφνεν. || 760. ὄρινε] ἤγειρε pap. 114. || 764. ὤφειλον ὀλέσθαι § 273] ὤφελλον ὀλέσθαι (sic Ar. pap. 114 A) aut ὤφελ' ἀπολέσθαι Ω (cf. H 390). || 765 sq. Spurii (damn. Welcker) aut mutati; cf. comment. || 768. ἐνίσσοι l. a. in A] -σποι vel -πτοι Ω. Cf. § 243 et Γ 438. || 770. αἰεί] ἦεν pap. 114² et l. a. in A (perperam εἶεν scriptum).

757. ἐρσήεισ καὶ πρόσφατοσ] *floridus et integer*. A solis ardore protectum est corpus et vulnera sunt sanata. Cf. vs. 419 sq. — Adi. πρόσφατοσ (†) valet id quod *recens* sive *integer*; incertae est originis, sed apud posteriores frequens.

759. ἀγανοῖσι βέλεσσιν] § 60. De adiectivi vi cf. γ 280.

762. δαέρων] § 17.

765. Numerale ἐϝεικοστόν Iliadi ceterae refragatur cunctae (cf. e. g. Γ 237—244). Quod qui carmini postmodo inseruit, — nam ipse sibi poeta sic obloqui non potuit, — mythorum recentiorum habuit rationem, de chronologia quam de probabilitate poetica magis sollicitus, sive a *Peleo cum Thetide nuptiis* et *Eridis pomo* initium belli repetens Achilli tempus adolescendi praebere sic voluit, sive *Neoptolemum* cogitavit mox urbem capturum et Astyanactem interfecturum (cf. λ 492—540). Aptum foret e. g.: ὅδε δεύτερόσ ἐστ' ἐνιαυτόσ, nam aestate vertente Paridem Spartam venisse, vere sequenti bellum esse coeptum, veri est simile.

767. σέ'(ο)] § 92.

— ἀσύφηλον] cf. I 647.

769. δαέρων] § 8.

— γαλόων ἠ' ἐνατέρων] cf. Z 378 et de prima vocis ἐνατέρων syllaba § 21.

771. γε ϝέπεσσι] γ' ἐπέεσσι Ω.

σῆι τ' ἀγανοφροσύνηι καὶ σοῖσ' ἀγανοῖσι ϝέπεσσι. 772ᵃ cf. λ 203
τῶι σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ· 772ᵇ = B 164ᵃ
οὐ γάρ τίσ μοι ἔτ' ἄλλος ἐνὶ Τροίηι εὐρείηι
ἵπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασι."
ὣς ἔφατο κλαίουσ', ἐπὶ δ' ἔστενε δῆμος ἀπείρων. 776 cf. T 301
λαοῖσιν δ' ὁ γέρων Πρίαμος μετὰ μῦθον ἔϝειπε·
„ἄξετε νῦν, Τρῶες, ξύλα ϝάστυδε, μηδέ τι θυμῶι
δϝείσητ' Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺς
πέμπων μ' ὤδ' ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,
μὴ πρὶν πημανέειν πρὶν δωδεκάτη μόλῃι ἠώς." 781 cf. δ 747
ὣς ἔφαθ', οἳ δ' ὑφ' ἁμάξῃσιν βόας ἡμιόνους τε
ζεύγνυσαν, αἶψα δ' ἔπειτα πρὸ ϝάστεος ἠγερέθοντο.
ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·
ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς, 785 cf. Z 175
καὶ τότ' ἄρ' ἐξέφερον θρασὺν Ἕκτορα δάκρυ χέοντες,
ἐν δὲ πυρῆι ὑπάτηι νεκρὸν θέσαν, ἐν δ' ἔβαλον πῦρ. 787ᵃ = Ψ 165
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς, 788 = A 477
τῆμος ἄρ' ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἤγερτο λαός. 789 cf. H 434
αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο, 790 = β 9 θ 24 ω 421 cf. A 57
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι ϝοίνωι 791 = Ψ 250 cf. Ψ 237
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα 792 = Ψ 238
ὀστέα λευκὰ ἐλέγοντο κασίγνητοί θ' ἕταροί τε 793 cf. Ψ 239
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρήιων.
καὶ τά γε χρυσείην εἰς λάρνακα θῆκαν ἑλόντες, [sq. 795 sq. cf. Ψ 253

---

773. ἔμ' ἄμμορον] ἐμὸν μόρον l. a. in T. Cf. Z 408. || 774. τίσ μοι] μοί τισ pap. 114. || 776. δῆμος] λαός Nauck (ut Hes. Scut. 472). || 783. ζεύγνυσαν] -νυον T. || 784. τοί γε] δή σφιν pap. 114[1]. || 785. φαεσίμβροτος] ῥοδοδάκτυλος pap. 114 T. || 786. δάκρυ χέοντες] ἀχνύμενοι κῆρ v. l. in A (cf. Ψ 165). || 789. κλυτοῦ] κριτὸς pap. 114[1] (ut H 434). — ἤγερτο Voss] ἔγερτο. Cf. H 434. || 790. Om. pap. 114 A T (cf. v. l. γ 416). || 793. θ' ἕταροί] τε ϝέται Brandreth (ut Π 456). || 794. παρήιων] παρειῶν Ω, item δ 198, 223 λ 529 π 190. Cf. τ 208 χ 404 Γ 35 et § 56. Sonorum -ηϊ- contractio obtinet etiam in substantivo παρηιά (codd. -ειά) et in adiectivo καλλιπάρηιος.

---

772. -νοῖσι ϝέπεσσι] § 60.

775. πεφρίκασι] utpote belli causam ῥιγεδανήν (T 325), quamvis innocentem.

776. δῆμος ἀπείρων] *multitudo infinita*. Similis vocis δήμου usus est O 738.

780. ἐπέτελλε] *mihi mandavit, ad vos referre me iussit* (se ante diem duodecimum nos non aggressurum). Cf. A 25.

782. βόας ἡμιόνους τε] cf. H 333.

790. Cf. X 203.

794. παρήιων] cf. Δ 142.

795. χρυσείην . . . λάρνακα] cf. Ψ 92.

πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσι·
αἶψα δ' ἄρ' εἰς κοίλην κάπετον θέσαν, αὐτὰρ ὕπερθε
πυκνοῖσιν λάεσσι κατεστόρεσαν μεγάλοισι.
ῥίμφα δὲ σῆμ' ἔχεαν, περὶ δὲ σκοποὶ ἧατο πάντηι,
μὴ πρὶν ἐφορμηθεῖεν ἐϋκνήμιδες Ἀχαιοί.
χεύαντες δὲ τὸ σῆμα πάλιν κίον· αὐτὰρ ἔπειτα — 801 cf. Ψ 257
εὖ συναγειρόμενοι δαίνυντ' ἐρικυδέα δαῖτα — 802b = γ 66 ν 26 υ 280
δώμασιν ἓν Πριάμοιο διοτρεφέος βασιλῆος.
ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.

---

796. πορφυρεοισ πεπλοισι] φάρεσι πορφυρεοισι Nauck. Cf. § 60 et Θ 221 Φ 84. — καλύψαντεσ] καθάψαντεσ l. a. in T. || 802. συναγειρόμενοι] -ράμενοι pap. 114 A². || 804. ἱπποδάμοιο] ἦλθε δ' Ἀμαζὼν | Ἄρηος θυγάτηρ μεγαλήτορος ἀνδροφόνοιο quidam in schol. T, sic Iliadi subiungentes *Aethiopidem* carmen.

---

796. καλύψαντεσ] obiectum est ὀστέα. — *Patrocli* vero ossa *adipe* fuerunt involuta, quippe quae *in tempus tantum* sic abderentur donec cum Achillis ossibus iungerentur, a putredine interim servanda (cf. Ψ 243 sq., 253 sq.).

799. ἧατο] § 220.

801—803. Cf. quae ad vs. 665 sq. sunt annotata.

# ADDENDA ET CORRIGENDA.

Prior Iliadis pars (prolegomena et libros A—M continens) sub finem anni 1912 est edita. Post quam evulgatam innotuit codex papyraceus litteris cursivis exaratus saeculi post Christum III$^{i}$ vel IV$^{i}$, ab J. Pierpont Morgan emtus (*Iliaspapyrus P. Morgan*, ed. vWilamowitz und Plaumann, Sitz.ber. d. k. p. Ak. d. Wiss. 1912 p. 1198—1219, cum duabus tabulis M 465—N 23 et N 820—Ξ 10 exhibentibus). Qui codex vitiis omne genus, orthographicis praesertim, oppletus olim foliis 62 sive paginis 124 habuit Iliadis libros ΛMNΞOΠ; nunc interierunt initium et exitus (Λ 1—130 paene toti et Π 500 sqq.). Pessimae autem licet sit notae, minime tamen est neglegendus, et in huius editionis parte posteriore suis locis est commemoratus. In libris Λ et M haec habet mentione haud indigna:

Λ 181. ἔμελλεν.
186. ἐνίσπεσ.
195—209. Propter versuum 194 sq. et 209 sq. similitudinem om.
216. ἐκ.
252. ὕ[περθε] pro ἔνερθε.
262. υἷε.
263. ἔβαν.
270. μογοστόκοσ Εἰλείθυα.
277. πελάσσετε$^{1}$ pro ἀμύνετε.
282. ἄφραινον pro ἄφρεον.
305. Ζέφυροσ νέφεα.
306. θυίων, quod coniecerat Nauck, pro τύπτων.
316. Accedit versus: διογενὲσ Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ (= B 173 al.), item post vs. 346.
323. εἴασεν et ἀπέπαυσεν.
Λ 345. ἐνόησε.
417. δὲ ἀΐσσονται.
423. ἀΐξαντα.
459. ἐπεὶ.
470. πάθησι μετὰ.
519. ἐλάαν.
525. ἄνδρεσ pro αὐτοί.
568. φεύγων pro -γειν.
597. Νηλήϊον ἵπποι.
622. στὰν δὲ.
672. βοηλασίησισ.
733. διαπραθέειν.
767. δέ τ'.
770. καλλιγύναικα.
796. καὶ ἄμ' ἄλλον λαὸν ἐπέσθω.
797. γένηται pro γένηαι.
805. ἐπὶ pro παρὰ.
822. πεπνυμένοσ.
830. πάσσον aut πάσσαν.

M 11. εσθαι (?) pro ἔπλε.
26. συννεχέσ.
49. ἐλιλίσσεθ'.
58. ἐΰξοον pro ἐΰτροχον.
64. αὐτὴν, quod coniecerat Platt, pro αὐτοὺσ.
68. βούλετο νίκην (ut N 347) pro ϝίετ'(αι) ἀρήγειν.
M 95. τρίτατοσ pro τρίτοσ.
211. ἐνιπλήσσεισ.
249. ἀποτρέψεισ.
297. χρυσείοισ.
356. ἔνθα pro ὄφρα.
382. χειρὶ δὲ τῆι ἑτέρηι φέροι.
448—450. Desunt.

Quae in Prolegomenis pag. IL, 9 commemorata sunt SCHOLIA AD LIBRUM B in papyro I[1] ante Christum saeculi reperta, in notis criticis aut in commentario laudari non potuerunt; habent autem haec praesertim notatu digna:

B 766. Πηρείηι ut papyrus Oxoniensis. Conferri possunt οἱ Πηρεῖσ gens Dittenb. Syll.[2] 425.
783. *Arime* in *Pisidia* collocatur.
791—795. Causae, quibus Aristarchus motus est ut hos versus damnaret, fuse enarrantur.
793. Αἰσυιήταο.
795. σφιν θ' μετέφη.
797. ὥσ τε ποτ' εἰρήνησ.
825. Ἀνδείροιο l. a. commemoratur (cf. Strab. 602).

Prolegomenis haec addantur:

Pag. XIV post vs. 8: „De arte poetae nuper etiam in libro qui patrio sermone conscriptus est disputavi: *Homerus, Gestalten en Tooneelen van het oud-griekse Heldendicht.* Sijthoff 1913."

Pag. XXXIV post vs. 6: „Simile vitium correxit BENTLEY ζ 296 pro ἄστυδε ἔλθωμεν scribendo (ϝ)άστυ διέλθωμεν. Nunc id ipsum legitur in papyro Fayumensi 7."

Pag. XXXV: „Pro κούρην | ἂψ ἀπονάσσωσιν Π 86 BEKKER invitis omnibus codicibus et multis criticis improbantibus olim scripsit id quod poscit contextus: ἀποδάσσωσιν, *restituendi* verbum requiri sentiens. Nunc id ipsum praebet Morgani codex papyraceus, praestantissima hac lectione permulta vitia compensans.

Pag. XLIII vs. 16—20. Ipse poeta quomodo carmen suum diviserit, quoniam multo maioris id erat ambitus quam quod uno tenore totum proferretur unquam, sagaci disputatione efficere conatus est ENGELBERTUS DRERUP, Hochland Jan. 1913, 428—446 et in libro cui titulus: *das fünfte Buch der Ilias*, 1913, 421 sqq., in rhapsodias duodeviginti Iliadem probabiliter dirimens, Odysseam in rhapsodias quindecim.

ADOLPHI ROEMERI librum egregium de Aristarchi arte critica (*Aristarchs Athetesen in der Homerkritik*, Leipzig, Teubner, 1912) tum cum prior Iliadis pars typis perscribebatur consulere nondum poteram. Si potuissem, Aristarchi nomen delevissem locis compluribus, ubi nunc extat commemoratum. Nam prorsus mihi persuasit vir ille doctus et sagax, multo plura quam

putabamus perperam Aristarcho imputari in scholiis, praesertim codicis A, e. g. quae de B 130—133 vel de Γ 432—436 ab eo damnatis feruntur tradita. Quamquam de plurimis locis anceps manet iudicium et manebit semper, nisi novi fontes indagentur.

Denique vitia nonnulla hic sunt notanda; quorum complura indicavit mihi vir doctus sagax industrius B. O. Foster litteris benevolentissimis ex Californiae Universitate Stanfordiensi missis, τηλόθεν ἐξ ἀπίησ γαίησ.

In Prolegomenis:

Pag. XXII, 30 commentariso leg. -rios.

„ XXXIII, 16 ΤΗΝΔΕΔΙΞΑΜΕΝΟC leg. ΤΗΝΔΕΛΙΞΑΜΕΝΟC.

In notis criticis:

A 64. Leg.: ϝείπηι] κ' εἴπηι vel -οι Ω.

Θ 252. Versus, quem praebet papyrus 689*a*, sic potius videtur explendus: Ζεὺσ δὲ πατὴρ ὕτρυνε φ[άλαγγασ χειρὶ κραταιῆι] coll. O 695.

In Commentariis:

B 93. Pro υ 253 leg. υ 353.

130—133. Sic leg.: „Ipsi cives vix decimam militum nostrorum partem aequant numero; sed multos habent socios". Vel sic tamen multo pauciores Achivis (cf. O 407 et quae ad vs. 123 sqq. modo sunt observata). Fuere qui vs. 130—133 damnarent, sed non possunt deleri nisi et vicina mutentur, ne desit aptus transitus ad vs. 134.

Γ 238. Ultima verba sic legantur: item κασίγνητοσ Υ 419; cf. etiam O 545.

382. Pro O 99 leg. o 99.

Δ 20. „ edit „ redit.

378. „ *Diomedes* „ *Polynices.*

521. „ Δ 521 „ Γ 56.

E 309. Del. T 79.

777. Pro vescentis „ vescenti

Z 93. „ locrum „ locum.

417—420. „ expugnatum „ expugnatam.

I 76. „ l. a. ὅτι „ l. a. ὅτε.

315. „ Ψ 134 sq. „ Υ 134 sq.

K 56. „ Menelaus „ Agamemnon.

266 sq. „ Patrocli „ Phoenicis.

N 359. „ *restira* „ *restem*

Π 38—45. Ultimum paginae 561 vocabulum leg. poetae.

Leviores autem errores complures sciens nunc praetermitto, quales sunt н pro η vel η pro н scriptum vel signa prosodiaca praeli pondere elisa.

Lugd. Bat., Sept. 1944. v. L.

53-0005824-SB
507-16

DATE DUE

| | | | |
|---|---|---|---|
| OCT 8 1975 | | | |
| SEP 9 1985 | | | |
| JUN 0 1 2009 | | | |
| | | | |
| | | | |
| | | | |
| | | | |
| | | | |
| | | | |
| | | | |
| | | | |
| | | | |
| | | | |
| | | | |
| | | | |
| | | | |
| GAYLORD | | | PRINTED IN U.S.A. |

WITHDRAWN
3 5132 00170 5342
UNIVERSITY OF THE PACIFIC LIBRARY

Homerus.
Ilias.

PA
4019
A2
1912
v.2

114173